# ΠΡΟΟΙΜΙΟΝ

ΕΙΣ ΤΗΝ

# ΙΣΤΟΡΙΑΝ ΤΗΣ ΦΙΛΟΣΟΦΙΑΣ

ΥΠΟ

ΔΗΜΗΤΡΙΟΥ ΑΛΕΞΑΝΔΡΟΥ ΧΑΝΤΣΕΡΗ,

Διδάκτορος τῆς Φιλοσοφίας.

ΑΘΗΝΗΣΙΝ,

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ Χ. Ν. ΦΙΛΑΔΕΛΦΕΩΣ.

(Παρὰ τῇ Ἀρχῇ τῆς Ἀγορᾶς ἀριθ. 4.)

1867

# ΠΡΟΟΙΜΙΟΝ

ΕΙΣ ΤΗΝ

# ΙΣΤΟΡΙΑΝ ΤΗΣ ΦΙΛΟΣΟΦΙΑΣ

ΥΠΟ

ΔΗΜΗΤΡΙΟΥ ΑΛΕΞΑΝΔΡΟΥ ΧΑΝΤΣΕΡΗ,

Διδάκτορος τῆς Φιλοσοφίας.

**ΑΘΗΝΗΣΙΝ,**

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ Χ. Ν. ΦΙΛΑΔΕΛΦΕΩΣ.

*(Παρὰ τῇ Πύλῃ τῆς Ἀγορᾶς ἀριθ. 4.)*

1867

Τουτὶ τὸ προοίμιον ἕν ἐστι τῶν ἐν Γερμανίᾳ πάλαι συντεταγ-
μένων μοι πονηματίων, ὅπερ, ὡς *ἐναίσιμον διατριβήν*, ἄνδρες
τὰ πρῶτα ἐπὶ σοφίᾳ φερόμενοι, ἐπιδοκιμασίας τινὸς οὐκ ἀπηξίω-
σαν, ζῆλον πρὸς τὰ βελτίω ἐμοὶ ἐμποιῆσαι μᾶλλον προτιθέμενοι,
ὡς εἰκάζω, ἢ εἰς αὐτὴν τὴν ἀξίαν τοῦ ἐξετασθέντος ἔργου ἀπο-
βλέψαντες, σμικρά τινα ψιχία περιλαμβάνοντος ἀπὸ τῆς πολυβρι-
θοῦς πανδαισίας τῶν ἐν Γερμανίᾳ εὐωχουμένων Μουσῶν. Ἀλλὰ
καὶ οὕτω σμικρὸν καὶ εὐτελὲς πρὸς τὰ μεγάλα ὄν, ἔδοξέ μοι οὐδὲν
ἧσσον εἰς φῶς αὐτὸ ἐκδοῦναι δεῖν, μὴ πάμπαν ἄχαρι ἐλπίσας μηδ'
ἀλυσιτελὲς αὐτὸ εἰς παραμυθίαν τινὰ τοῖς παρ' ἡμῖν εὐμούσοις
ἔσεσθαι, καθ' ὅσον τοιαύτης ὑποθέσεως ἐχομένων γραμμάτων εὖ
οἶδ' ὅτι σφόδρα σπανίζουσιν.

Τετύπωται δὲ ἤδη αὐτὸ ἅμα τῇ ἐκδοθείσῃ Ἱστορίᾳ τῆς
παρ' Ἕλλησι Φιλοσοφίας (α) καθάπερ προήγγελται καὶ ἐπὶ
τρία ὅλα ἔτη ἀπέκειτο ἀνέκδοτον ἐν τῇ ἀποθήκῃ τοῦ τυπο-
γραφείου, ἑτέραν τινὰ διατριβὴν ἀναμένον, ὅπως ἂν σὺν αὐ-
τῇ εἰς τὸ κοινὸν προέλθοι. Ἐπεὶ δὲ ταύτην τὴν δευτέραν
διατριβὴν ἐπὶ πλεῖον μῆκος ὁρῶμεν τείνουσαν ἢ ὅσον τὸ κατ'
ἀρχὰς ἐνομίσαμεν (β), χρόνος δὲ ἤδη πολὺς ὁ ἐν τῷ με-

---

(α) Φέρει δὲ αὕτη ἐπιγραφὴν ὁλοσχερῆ τὴν ἐφεξῆς· «Ἱστορία τῆς
παρ' Ἕλλησι φιλοσοφίας, συνταχθεῖσα μὲν ὑπὸ Ἀλβέρτου Σουεγλερίου,
διδάκτορος καὶ καθηγητοῦ τῆς φιλοσοφίας, διασκευασθεῖσα δὲ καὶ συντελε-
σθεῖσα ὑπὸ Καρόλου Κοιστλινίου διδάκτορος καὶ καθηγητοῦ τῆς φιλοσ. ἐν
Τυβίγγῃ. Κατὰ δὲ τὰς ἀρχῆθεν πηγὰς ἐξελληνισθεῖσα ἄλλαις
τε πολλαῖς προσθήκαις καὶ ἀναλύσει τῶν τεσσάρων περὶ ἀθανασίας τῆς ψυ-
χῆς λόγων τῶν ἐν τῷ Φαίδωνι τοῦ Πλάτωνος ἐπαυξηθεῖσα ὑπὸ Δημητρίου
Ἀλεξάνδρου Χαντσερῆ, διδάκτορος τῆς φιλοσοφίας. Ἀθήνῃσι 1867.

(β) Τούτης τῆς ὑπὸ τὰ πιεστήρια ἤδη οὔσης διατριβῆς ἐκδέδοται ἄρτι ἀπό-
σπασμα, ὀλίγα τινὰ περὶ τῶν καλῶν τεχνῶν περιέχον, ἐν τῷ ΙΑ' καὶ ΙΒ'

ταξὺ διαγεγένηται, ἀποχωρίσαντες τὸ προοίμιον ἐκδίδομεν μόνον, προθύμως ὑπακούοντες τῇ προτροπῇ ἀνδρῶν εὐγνωμόνων καὶ εἰλικρινῶς φιλομούσων, οἵτινες τὴν παρ' ἡμῖν *παντελῆ* ἔλλειψιν καὶ *ἀμέλειαν* τῶν τοιούτων δυσφοροῦντες καὶ τὰ ἐλάχιστα ἀποδέχονται μετ' ἀνοχῆς καὶ ἐπιεικείας, ὡς ἀληθῶς παραδειγματικῆς. Ὅ γάρ τισι τελέως ἀμαθέσι καὶ σκαιοῖς τὸ ἦθος ἀνθρώποις προειρήκαμεν, «ὅτι οὔτε ἡ παντοίων πλημμελημάτων ἀνάμεστος καὶ δὴ καὶ ἀνώνυμος προκατάκρισις καὶ προκαταβολὴ αὐτῶν περὶ πραγμάτων παντάπασί γε αὐτοῖς ἀγνώστων τῆς τῶν εὖ φρονούντων γνώμης κυριεύσει, οὔτε ἡ ὑπ' ἐμοῦ ἐν παρέργου μέρει, ὡς εἰκός, γιγνομένη ἀπολογία, ἀλλ' ἔστι τις μεταξὺ ἡμῶν ἀμφοτέρων τρίτος κριτὴς ἴσος καὶ ἐπιεικής, τὸ ὡς ἀληθῶς σοφὸν καὶ φιλοδίκαιον μέρος τῶν ἡμετέρων πολιτῶν, οἵτινες, τὰ ἐμὰ ἔργα πρὸς τοὺς ἀπὸ παραβύστου ἀνάνδρως βαλλομένους λόγους ἐκείνων παραβάλλοντες, κρινοῦσιν. Ἐπεὶ οὐκ ἐρήμη δὴ ἡ Ἑλλὰς ἀνδρῶν σπουδαίων οὕτως, ὡς ἄνθρωποι ἀρκνεῖς—ἡγοῦνται . . .» Ταῦτα κατ' εὐχὴν ἡμῶν καὶ μᾶλλον ἢ ὅσον τότ' ἠλπίζομεν, ἀπέβη. Καὶ γὰρ ἄνδρες τὸν ἀριθμὸν μὲν ὀλίγοι, ἀλλ' ὁμολογουμένως οἱ σεβασμιώτατα καὶ τῶν ἑλληνικῶν γραμμάτων οἱ ἐγκρατέστατοι, πολλαχῶς ἡμᾶς πρὸς ὃ σκοποῦμεν τέλος ἐθάρρυναν καὶ οὐδὲν παύονται θαρρύνοντες(α). Φύσει γὰρ τὸ σοφὸν ἐπιεικὲς διά τε τὴν ἐν αὐτῷ θάλλουσαν ἔφεσιν τῶν βελτιόνων καὶ δι' ἣν αὐτὸ πεῖραν ἔχει περὶ τῶν καλῶν, ὅτι

τεύχει τοῦ ἀξιολογωτάτου Εὐαγγελικοῦ Κήρυκος, ἔνθα διορθωτέα ἐστὶ κατὰ τὸ ἡμέτερον χειρόγραφον τὰ ἐφεξῆς παροράματα ὧδε· σ. 505. στίχ. 4. ἀντὶ τοῦ ψευδέστατον γρ. ψευδίστατον. — σ. 533. στίχ. 31. ἀντὶ τοῦ σαφέστερον γρ. σαφέστερα. — σ. 534. στίχ. 1. ἀντὶ τοῦ ἀντιπαραθοῖτο γρ. ἀντιπαράθοιτο. — σ. 537 στίχ. 8. ἀντὶ τοῦ κομψευριπιδικῶς γρ. κομψευριπικῶς. — σ. 543. στίχ. 17. ἀντὶ τοῦ τιθῆται γρ. τίθηται.—

(α) Τούτων τινὰς ὀνομάσομεν ἐν τῷ ὅσον οὐκ ἤδη ἐκδοθησομένῳ πονήματι, ἔνθα καὶ λεκτικάς τινας χρήσεις διὰ παραδειγμάτων ἀ ν α μ φ η ρ ί σ τ ω ν ἐπικυρώσομεν.



σὺν πόνῳ τε καὶ μόχθῳ κατορθοῦται, μακρῷ δὲ πλείονι καὶ τὰ ἐλάχιστά γε παρ' ἡμῖν, παντὸς ἐπικουρήματος πάμπαν στερουμένοις. Εἰλικρινῶς δὲ καὶ ἁγνῶς τὴν ἑαυτῶν πατρίδα φιλοῦντες, πολλῷ τοι πλέον τοῖς σμικροῖς ἔργοις τῶν πολιτῶν στέργουσιν ἢ τοῖς μεγάλοις θησαυροῖς τῶν ἐν πάσῃ εὐκολίᾳ νηχομένων ἀλλοδαπῶν. Εἰ δέ πού τι καὶ ἐφάμιλλον καί, εἰ μή γε φορτικώτερον λέγειν, ἀσυγκρίτῳ λόγῳ ἐπιπονώτερον ἔργον Ἕλληνος ὁ γνησίως Ἕλλην ὁρᾷ ἢ ἀνδρὸς ἀλλοδαποῦ, οὐ μόνον τότε τὸ οἰκεῖον καὶ εὔστομον κατὰ πᾶν τοῦ ἀλλοτρίου προτιμᾷ, ἀλλὰ καὶ ὅλος χαρᾷ τὴν ψυχὴν διαχεῖται καὶ ἀγαλλιάσει ἀφάτῳ κατέχεται. Τοῦτο ἀσφαλὲς σημεῖον μελλούσης ἀκμῆς παρὰ πᾶσιν ὁμοίως τοῖς ἔθνεσι τοῖς ἐπὶ γῆς οἰκοῦσι κέκριται.

Τοὐναντίον δ', ὅσοι τὰ μὲν οἰκεῖα τὰ διὰ χρόνου καὶ διὰ χρόνου μάλα μόγις φυόμενα, πάσῃ προθυμίᾳ καὶ πάσῃ μηχανῇ, ἀπὸ παρασκευῆς δὲ πενιχροτάτης ὁρμώμενοι, ἀλόγως ἐκψέγουσι καὶ ἐκ περιουσίας κακίζουσιν, ἢ ἔνθα ἂν τοῦτό γε μὴ πάνυ κατὰ θυμὸν αὐτοῖς προχωρῇ, σιγῇ ἐπίτηδες παρέρχονται, ἂν δέ τι παρ' ἄλλοις σοφωτάτοις ἔθνεσιν ἔργον προσόμοιον κατὰ συμβεβηκὸς ἄρτι φανὲν ἴδωσιν, εὐθέως τοῦτο, καίπερ ἀσυγκρίτῳ γε λόγῳ εὐχερέστερον τοῦ ἐν τῇ σφετέρᾳ προτετελεσμένου ὄν, εἰς τὰ ἄστρα ἐξαίρουσι καὶ Στεντορείῳ τῇ φωνῇ ἐξεπίτηδες ἀναβοῶσιν, ἐπίδοσιν καὶ προκοπὴν τῶν καλῶν τοῖς ἑαυτῶν πολίταις προμηθεῖσθαι σκηπτόμενοι οὗτοι, ὡς ἀληθεῖ γε λόγῳ χρήσασθαι, οὐδὲν ἄλλο ἐπιζητοῦσιν, ἢ τὸ ἀπομαράναι τὸν ζῆλον τῶν ἐν παντοίαις στερήσεσι καὶ ταλαιπωρίαις ἐργαζομένων ἀνδρῶν καὶ ἀποσβέσαι καὶ αὐτὰ τὰ σμικρὰ λαμπάδια τὰ ἐν γωνίᾳ που ὑπὸ τειχίῳ ἀμυδρῶς πάνυ ὑπαυγάζοντα, ὅπως αὐτοί, ἐν παντελεῖ γνόφῳ τε καὶ ζάλῃ μανικῶν ὡς ἀληθῶς καὶ ἀπαισίων παθῶν αἰτίας καὶ ἀφορμὰς ἀνέδην ἐξευρίσκοντες, δριμύτητας λόγων καὶ σφοδρὰς καταφορὰς ἐπιδεικνύωνται, ἐπὶ τῇ τῶν ἰδίων πολιτῶν διαφθορᾷ ποτνιώμενοι καὶ τὰς τῶν μοχθηρῶν κεφαλὰς πικραῖς ἐπιπλήξεσι καταλεῶντες, οὗτοι οἱ ἐν συμμιγεῖ σκαιότητι καὶ μοχθηρίᾳ τρεφόμενοι καὶ πτερούμε-

νοι γραικίσκοι, δοκησισοφίας τε καὶ ἀλαζονείας ἀνάμεστα ἀνδράποδα.

Τί γὰρ ὄφελος αὐτοῖς τε καὶ τοῖς λοιποῖς ἀνθρώποις τῶν ἰσχνῶν γραμμάτων, ἅπερ τῇ ἰοβόλῳ γλώσσῃ ἀναῤῥιπτοῦντες ἐπ' ὀλέθρῳ παντὸς καλοῦ ἀλήκτως τονθολυγοῦσιν; Ἐὰν γάρ τις ἀνὴρ ψυχολόγος τὴν κριτικήν, ὡς σμίλην ἐν χερσί, λαβών, τὰς χρυσοφανεῖς πομφόλυγας τουτωνὶ τῶν λόγων τῶν συνεχῶν ἀνατάμῃ, ἀποκαλύψει εἰς φῶς τέρας κατεσκληκὸς καὶ παμβδέλυρον, ἐν ᾧ τὸ σπέρμα τοῦ θανάτου, ὁ ἐπάρατος φθόνος ἀπὸ τῶν σπλάγχνων διὰ τῶν φλεβῶν ἀνιάτως κυκλοφορεῖται. Ἀλλὰ τούτων μὲν πέρι εἰσαῦθις· ἀνὴρ γὰρ πρὸς ἐπαίνους τε καὶ ψόγους ποιῶν τινων ἀνθρώπων ὁμοίως κωφεύων καὶ οὐδεμίαν ἀξίωσιν ἔχων οὔτε μεγάλην οὔτε σμικράν, ἥκιστά γε ἀνθρώπων ταράσσεται πρὸς τὰς φωνὰς Γραικίσκων, ὧν τὸ ἦθος παρὰ τοῖς γνησίως Ἕλλησι δῆλον πάλαι γεγένηται.

Περὶ αὐτοῦ δὲ τοῦ ὑποκειμένου πονήματος λεκτέον μοι αὖθις τοσόνδε, ὅτι ὤφειλον ἴσως ἐνίας τῶν ἐλλείψεων αὐτοῦ ἐξ ἄλλων μου ἔργων ἀρυσάμενος κατὰ δύναμιν ἀποπληρῶσαι. Τοῦτο μέντοι διὰ πολλὰ αἴτια οὐκ ἀποχρώντως ἐποίησα, ὧν εἴ τις ἂν ἕν ποτε μάθοι, εἰκότως ἄν μοι τῆς μελλήσεως συγγνώμην ἕξοι, ἄλλως τε καὶ περὶ ἄλλα ἀσχολουμένῳ, ὧν ἡ ἔκδοσις ὅσον οὐκ ἤδη ἄρξεται. Οὕτω δὴ οὖν ὅλος ὁ βίος ὁ πνευματικὸς παρ' ἡμῖν πλήρης ἀνίας καὶ λύπης καὶ ἀγανακτήσεως διέρχεται, ὧν πάμπαν ἄγευστοι διατελοῦσιν οἱ ἀλλαχοῦ ταῖς Μούσαις αἰσίως λατρεύοντες.

Ἀλλὰ προὔργου μοι ἐν τῷ παρόντι ἔδοξεν ἔσεσθαι τῷ ἀναγνώστῃ εἰς κατάληψιν, οὗ προβαλλόμεθα τέλους ἐν τούτῳ τῷ προοιμίῳ, ΣΥΝΟΨΙΝ τινα προτάξαι τῶν ἐν αὐτῷ περιεχομένων, τόνδε τὸν τρόπον ἔχουσαν.

---

Πρῶτον μὲν οὖν τὸν τῆς φιλοσοφίας ὁρισμὸν ἐπιχειροῦμεν καὶ ἡμεῖς ἀποδοῦναι. Ἐπεὶ μέντοι ἡ φιλοσοφία ἐπ' ἄπειρον πέφυκε τείνειν, δῆλον ὅτι καὶ ὁ ὁρισμὸς αὐτῆς οὔ τι ἐν χρόνῳ ἀπειργασμένον ἐμφαίνει, ἀλλ' ἐν διηνεκεῖ προόδῳ ὑπάρχον (σ. α'.). Τοῦτο δ' ἦν ἡ τῆς ἱστορίας ἰδέα. Συμπίπτειν πως ἄρα τὴν φιλοσοφίαν εἰς ταὐτὸν τῇ ἱστορίᾳ τῆς φιλοσοφίας φαμέν, καθ' ὅσον μάλιστα τήν τε ἱστορίαν τῶν ἐν ἀνθρώποις πρασσομένων καὶ ἔτι μᾶλλον τὴν τῶν καθόλου νοουμένων κατὰ νόμους τῆς ἀνθρωπικῆς διανοίας χωρεῖν δεχόμεθα ἀναλλοιώτους, τὴν τοῦ Ἑγέλου γνώμην πολλῷ μᾶλλον θαυμάζοντες ἢ τὴν τῶν ἐναντίων (σ. β'—γ'.). Εἰ δὲ καὶ ἕξις κυριωτάτη τἀνθρώπου ἡ φιλοσοφία ἐστίν, ἡ ἱστορία ἄρα αὐτῆς πασῶν ἐπιστημῶν ἀνθρωπικωτάτη φαίνεται. δῆλον δὲ τοῦτο, ἐξ οὗ γε προτίθεται ἔργου (σ. δ'.). Ἀπὸ τῶν παλαιτάτων δὲ μύθων προσήκει ἄρχεσθαι τὴν ἱστορίαν ὅλης τε τῆς φιλοσοφίας καὶ τῆς παρ' Ἕλλησιν ἰδίᾳ βουλόμενον συγγράψαι. Τοὺς δὲ παρ' Ἕλλησι μύθους τριχῇ ἡμεῖς γε διαιροῦμεν (σ. ε'.). Πάντων δὲ μάλιστα ταῖς κοσμογονίαις τὴν διάνοιαν ἐφιστάναι ἀξιοῦμεν. Ἐκ γὰρ τῆς ὁμοιότητος τῶν παρ' Ἕλλησι κοσμογονιῶν πρὸς τὰς τῶν λοιπῶν ἐθνῶν δηλωθείη ἂν ἐπιεικῶς ἔνθεν μὲν ἡ κατ' ἀρχὴν ὁμοφυΐα, ὡς εἰκός, καὶ ἡ ἐκ τοῦ ἐπὶ πλεῖστον ἐπικοινωνία τῶν ἀνθρωπικῶν φυλῶν πρὸς ἀλλήλας, ἔνθεν δὲ καὶ ἡ ἐν χρόνοις ἱστορικοῖς ἐπιμιξία τοῦ ἑλληνικοῦ ἤδη ὡς ἔθνους ἰδίᾳ πρὸς τὰ λοιπὰ ἔθνη τῆς τε Ἀσίας καὶ τῆς Αἰγύπτου. καὶ παραδείγματα ὁμοιότητος τῶν ἑλληνικῶν πρὸς τὰ ἀσιατικὰ προειρήκαμεν, τὸ ἀρχῆθεν ὁμόφυλον ἁπλῶς ἐμφαίνοντα. Εἶτα δὲ καὶ ἄλλα ὅμοια τῶν ἑλληνικῶν πρὸς τὰ ἐθνικὰ ὑποδείκνυμεν, ὡς ἐξ Ἀσίας τε καὶ Αἰγύπτου πάντως εἰς Ἕλληνας κατ' ἐπιμιξίαν χρόνῳ ὕστερον ἐπιφοιτήσαντα. Εἰρήσθω δέ μοι τοῦ ὁλοσχεροῦς ἕνεκεν ἐνταῦθα, ὅτι καὶ περὶ τῶν κατὰ τόπους Ἑλληνικῶν μύθων ἀμφότερα ὡσαύτως δέδεικται ἤδη καὶ ὑπ' ἀνδρῶν ἐς τὰ μάλιστα λογίων. Ἔνιοι μὲν γὰρ αὐτῶν διὰ τὸ ὁμόφυλον καὶ τὴν παλαιτάτην ἐπικοινωνίαν τῶν φύλων ὅμοιοι καταφαίνονται πρὸς ἄλλους ἄλλων ἐθνῶν ἀρχαιοτάτων, ἔνιοι δὲ διὰ τὴν χρόνῳ ὕστερον ἐπιμιξίαν τοῦ Ἑλληνικοῦ πρός τε τοὺς Ἀσιάτας καὶ τοὺς Αἰγυπτίους (σ. ϛ'—ιά.). Ἀλλ' οὐδὲν ἧσσον οὐ πάντες οἱ σοφοὶ περὶ

τὰ τοιαῦτα ὁμοφωνοῦσιν, ἀλλ᾽ αἱ γνῶμαι αὐτῶν δίχα διῄρηνται· οἱ μὲν γὰρ μονονοὺ πάντα τὰ παρ᾽ Ἕλλησι φιλοσοφήματα σὺν τοῖς θρησκευτικοῖς δόγμασιν ἔωθέν φασιν εἰς Ἑλλάδα κομισθῆναι, οἱ δ᾽ αὖ καὶ αὐτῆς τῆς ῥητῆς τῶν πάλαι Ἑλλήνων μαρτυρίας ὀλιγωροῦντες, πάντα ὡς ἐξ Ἑλλήνων ἀρχῆθεν προελθόντα ἀποδεικνύναι φιλοτιμοῦνται. Ἡμεῖς δὲ τὴν μέσην ὁδὸν τέμνομεν τὴν μεταξὺ ἀμφοτέρων ἄγουσαν. Τελοῦσι δὲ εἰς τοὺς καθ᾽ ὑπερβολὴν ἑλληνίζοντας ἄλλοι τε πολλοὶ καὶ ὁ σοφὸς *Σελλέριος*, ὃς καὶ τὴν ὁμηρικὴν ποίησιν εἰς μέσον φέρει, οἱονεὶ τὰ ζώπυρα περιλαμβάνουσαν τῆς ὕστερον παρ᾽ Ἕλλησι τελειωθείσης φιλοσοφίας. Καὶ γὰρ ταύτῃ τῇ δημοτικῇ μούσῃ φύσιν ἐνορᾷ, πρὸς τὸ ζητεῖν τὸ καθόλου τείνουσαν. Τεκμήριον δὲ τούτου ἐπάγεται τὴν περὶ τῆς Εἱμαρμένης δόξαν, ὡς Μονάδος τῶν Θεῶν ἁπάντων ὑπερτάτης (σ. ιά—ιδ΄.). Τἀναντία δὲ τῷ σοφῷ Οὐελκερίῳ δοκεῖ περὶ τούτου· μηδὲν γὰρ ἴχνος φησὶν ὑπάρχειν ἐν τοῖς Ὁμήρου ποιήμασι τῆς ὕστερον παρ᾽ Ἕλλησι δόξης περὶ τῆς Εἱμαρμένης, ὡς τινος ὄντος τῶν θεῶν ἁπάντων ὑπερτάτου. Τὸ δέ γ᾽ ἡμέτερον, τρίτην γνώμην καὶ τούτου πέρι ἔχομεν τὴν μεταξὺ ἀμφοῖν τῶν εἰρημένων τὸ μέσον ἔχουσαν. Ὑπάρχειν μὲν γάρ πώς φαμεν τὴν τῆς Εἱμαρμένης ἔννοιαν ἐν τοῖς ὁμηρικοῖς ἔπεσιν, ἀλλ᾽ οὐχ οἵανπερ ὁ σοφὸς Σελλέριος δέχεται, ὡς ἐξ αὐτῆς τῆς λελογισμένης τοῦ ἑλληνικοῦ δήμου διανοίας καὶ συναισθήσεως προεληλυθυῖαν, ἀλλ᾽ ὡς ἀνάμνησιν δόγματος ἀσιατικοῦ καὶ ἰδέαν τρόπον τινὰ ἀπηρχαιωμένην (σ. ιδ΄—ιζ΄.). Παραπλησίως δὲ καὶ περὶ τῆς τοῦ Διὸς ἰδέας ἡμῖν δοκεῖ, ὡς ἐκ τοῦ ἐπὶ πλεῖστον καθολικωτάτης τῶν ἀνθρώπων συναισθήσεως γενομένης, παρ᾽ Ἕλλησι δ᾽ ἀεὶ κατὰ σμικρὸν περιοριζομένης. Καὶ γνώμας ἀνδρῶν πολλῶν τε καὶ σοφῶν ἐκ συγγραμμάτων ἀξιολογωτάτων παραλαβόντες, προςκαταβαίνομεν ἐγκωμιάζοντες τὴν περὶ τοῦ Διὸς γνώμην, ἣν καὶ ὁ σοφὸς Οὐελκέριος εἴρηκεν (σ. ιή—ιθ΄.). Ἀλλ᾽ οὗτος ὁ ἀξιάγαστος ἀνὴρ πρὸς τοῖς ἄλλοις καὶ τάδε λέγει· ὅτι ἡ τῶν Ἑλλήνων διάνοια ἐν τῇ ὁμηρικῇ ἐποποιΐᾳ τοὺς θεοὺς ἐκ νέου αὖθις ἀλλήλοις συνήρμοσεν ἐπὶ τοῦ Ὀλύμπου καὶ τρόπον τινὰ ἑκό-



την αὐτῶν ἀπέδειξεν, ὅπερ πάντως τῇ πρόσθεν λεχθείσῃ γνώμῃ τοῦ σοφοῦ Σελλερίου οὐκ ὀλίγον ἐπικουρεῖ, εἰπόντος ὅτι φύσει πως τὸ ἑλληνικὸν τὸ καθόλου καὶ τὴν μονάδα ἐπεζήτει. Ἡμεῖς δὲ περὶ τοῦ ἐναντίου σφόδρα πεπεισμένοι ὅτι ὁ δῆμος ὁ ἑλληνικὸς φύσιν εἶχε τὰ πάντα καταμερίζειν, ἄλλην δόξαν τολμῶμεν τῷ σοφῷ Οὐελκερίῳ περὶ τῶν παρ᾽ Ὁμήρῳ ὀλυμπίων Θεῶν ἀνθυποβάλλειν, ὅτι τὸ μὲν αὐτῶν δημιούργημά ἐστι τῆς ἀνθρωποποιούσης τῶν Ἑλλήνων φαντασίας πρὸς τὰ παραδείγματα τοῦ κοινῇ καὶ ἰδίᾳ παρ᾽ αὐτοῖς βίου, ὅπερ ἥκιστά γε βαθεῖαν διάνοιαν ἐμφαίνει, τῶν καθόλου ζητητικήν· τὸ δὲ ἀνάμνησις συναισθήσεως πάντως καθολικωτέρας, ἣν μεθ᾽ ἑαυτῶν οἱ Ἕλληνες ἐξ Ἀσίας εἰς Ἑλλάδα καὶ τοὺς περὶ τὴν Ἑλλάδα τόπους ἐκόμισαν (σ. ιθ΄—κδ΄.). Ὅτι δὲ ὁ δῆμος ὁ τῶν Ἑλλήνων ἥκιστα τῶν καθόλου ζητητικὸς ὤν, ἥκιστα πρὸς τὸ φιλοσοφεῖν ἔρρεπε, μαρτυρεῖ εἴπερ τι καὶ ἄλλο, ἐναργῶς ἡ ὀλιγωρία ἣν εἶχε περὶ τῶν [illegible] ζητημάτων (σ. κδ΄—κθ΄.). Οὐ μέντοι γε ὁμοίως αὐτῶν φαίνονται ὀλιγωροῦντες καὶ οἱ τὰ μυστήρια μεμυημένοι, ἅπερ σοφίας τινὸς πάντως ὀθνείας εἴχετο (σ. κθ΄—μγ΄.). Εἶτα δὲ εἰς τὸν πρόσθεν λόγον αὖθις ἐπανιόντες, λέγομεν ὡς ἄρα ὁ δῆμος ὁ ἑλληνικὸς ἐπὶ Ὁμήρου τε καὶ ὕστερον καθολικῆς τῶν ὄντων ἀντιλήψεως, ἤτοι φιλοσοφικῆς ἕξεως ἀπολείπεται. Καὶ διὰ τοῦτον τὸν λόγον οἱ παρὰ τῷ δήμῳ εὐδοκιμοῦντες ποιηταὶ, πλαστικῆς μὲν χάριτος βρίθοντες, ἥκιστα μέντοι φιλοσοφοῦντες, πολὺ παραλλάσσοντες φαίνονται τῶν θεολογούντων ποιητῶν καὶ φιλοσόφων, ὧν κύριος χαρακτήρ ἐστι τὸ ὕψος καὶ ἡ μεγαλοπρέπεια (σ. μδ΄—ν΄.). Περὶ δὲ τῆς παρ᾽ Ἰνδοῖς ἐξανθρωπιστικῆς μυθολογίας, ἐγγυτέρω αὕτη τῆς τῶν ὄντων φύσεως οὖσα, ἐγγυτέρω ἐστὶ καὶ τοῦ φιλοσοφεῖν ἢ ἡ παρὰ τοῖς Ἕλλησιν. Ἡ γε μὴν τῶν φυσικῶν ἀποθέωσις ἡ παρὰ τοῖς Ἕλλησιν ὡς πολλῷ φιλοσοφικωτέρα τῆς παρ᾽ Ἰνδοῖς ἀνακάμπτει. Καὶ ταύτην μὲν ἄνω ὁδὸν προσαγορεύοντες, ἔργον φαμὲν εἶναι τῶν ὀλίγων θεολόγων τε καὶ φιλοσόφων παρὰ τοῖς Ἕλλησι, τὴν δὲ ἀνθρωποποίησιν τῆς φύσεως τῷ δήμῳ τῷ ἑλληνικῷ κοινῇ ἀποδίδομεν

(σ. ν'—νά.) Ἐπεὶ δὴ οὖν φιλοσοφεῖν μάλιστά ἐστι τὸ καθόλου ἐπιζητεῖν, τὸν δὲ δῆμον τὸν ἑλληνικὸν φύσει πως τούτου ἀφίστασθαι ἔφαμεν, ὡς τὰ καθόλου ἀεὶ εἰς πολλὰ διαιροῦντα, τελευτῶντες ἄλλα παραδείγματα ὑποδείκνυμεν, τὸ μεριστικὸν τῆς ἑλληνικῆς διανοίας ἔργον ἐναργέστερον ἐπιμαρτυροῦντα, ἔνθα καὶ τὴν πρώτην ἀρχὴν τῆς μυθολογίας τῶν Ἰνδοευρωπαίων ἐν γένει ἀποδίδομεν, ὡς νοσηρᾶς διανοίας τε καὶ φαντασίας ἕξεως οὔσης. ὥςτε τὸ παρ' Ἕλλησι φιλοσοφεῖν σχολῇ γε ὡς ἐξ αὐτοῦ τοῦ δήμου προελθὸν δείκνυται, καθάπερ οἱ περὶ τὸν Σελλέριον διατείνονται, ἀλλ' ἐξ ἀνδρῶν ὀλίγων παρ' αὐτοῖς φύσιν τε ἄλλως βαθεῖαν ἐχόντων καὶ τὰ ὀθνεῖα δόγματα ὡς οὐκ ἀλλότρια τῶν ἔκπαλαι ἐπιχωρίων παραδόσεων τῇ ἑαυτῶν μούσῃ συγκαταμιγνύντων (σ. νά—νθ'.) Ἴσα δὲ καὶ πρὸς ἄλλον λόγον ἀντιλέγομεν, δι' ὃ σοφὸς Σελλέριος δύναμιν οὐ τὴν τυχοῦσαν ἔχειν ἡγεῖται πρὸς τὸ ἀποδεῖξαι ὅτι ἡ παρ' Ἕλλησι φιλοσοφία οὐδὲν σχεδὸν παρὰ τῶν ἄλλων πρεσβυγενῶν ἐθνῶν παρείληφεν (σ. ξ'—ξϛ'.). Οὐδ' ἥνπερ ῥῆσιν τοῦ θείου Πλάτωνος ἐπιμαρτύρεται, προθυμούμενος εἰπεῖν, ὡς ἄρα οὐδὲν οἱ Ἕλληνες παρ' Αἰγυπτίων παρειλήφεσαν, ἐπικουρεῖν τι τῷ λόγῳ αὐτοῦ ἡγούμεθα (σ. ξϛ'—ξή.). Ἀλλὰ καὶ τὰ παρὰ Κλήμεντι τῷ Ἀλεξανδρεῖ ὁ σοφὸς Σελλέριος, καθάπερ καὶ ἄλλοι κριτικῶς ἀνερευνῶν, οὐδὲν περὶ τῆς θρυλλουμένης τῶν Αἰγυπτίων σοφίας, ὅ,τι καὶ λόγου ἄξιον πορίζεται. Ἡμεῖς δὲ πρὸς ταύτην τὴν ἐκφαύλισιν τῆς τῶν Αἰγυπτίων παλαιφάτου σοφίας τὸ ἀναμφήριστον κῦρος προςάγομεν Λεψίου τοῦ περιπύστου Αἰγυπτιολόγου (σ. ξή—οζ'). Καὶ περὶ ἀστρονομίας δὲ τῆς κατὰ τὴν Αἴγυπτον, ἐξ ἧς μαθήσεις τινὰς παλαιόθεν εἰς Ἕλληνας μετενηνεγμένας ἐν τοῖς ἔμπροσθεν διέγνωμεν, αἱ τῶν σοφῶν γνῶμαι ὡςαύτως διχάζονται. Διὰ τοῦτο προὔργου ἡμῖν ἔδοξεν εἶναι ταύτην τὴν διαφωνίαν ὡς διὰ βραχυτάτων ὑποδεῖξαι, δυοῖν ἐξόχων αἰγυπτιολόγων τὰς γνώμας ἀντιπαραθεμένους. (σ. οζ'—πζ'. ἣν δὲ ἡμεῖς γε τούτου πέρι γνώμην πεποιημένοι τανῦν τυγχάνομεν, παραβαλόντες πρὸς ἀλλήλας τὰς κρίσεις καὶ



ἄλλων ἐλλογίμων αἰγυπτιολόγων, εἰςαῦθις ἐν ἄλλῳ τόπῳ δηλώσομεν.). Ἔτι δὲ ὁ Σελλέριος καὶ ἄλλοι τινὲς τῶν σοφῶν οὐδὲ τὰς ἐκ παλαιτάτου χρόνου θρυλλουμένας τῶν Αἰγυπτίων ἀποικίας εἰς Ἑλλάδα ὡς ἀληθῶς γενομένας ἀποδέχονται. Ἀλλ' ὅμως ἄνδρες πλείονες αὐτῶν καὶ πολλῷ μεῖζον κῦρος ἔν γε τοῖς τοιούτοις ἔχοντες, διαῤῥήδην περὶ αὐτῶν ὡς γενομένων ἀποφαίνονται (σ. πζ'—πθ'.) Ἀλλ' ὁ σοφὸς Σελλέριος καὶ ἄλλον λόγον προςάγει τολμηρότατον, πάσης σοφίας εἰς Ἑλλάδα ὡς ἔξωθεν ἐλθούσης ἀναιρετικόν· Τοὺς γὰρ ἔωθεν ἢ ἐξ Αἰγύπτου καὶ μόριόν τι σοφίας σμικρὸν ὡς εἰς Ἑλλάδα κομισθὲν δεχομένους ἀξιοῖ ὑποδεῖξαι πρότερον καὶ θεοκρατείαν ἅμα εἰς Ἕλληνας ἐκεῖθεν εἰςηγμένην, οἵαν περ γενέσθαι παρὰ τοῖς ἔθνεσιν, ἐξ ὧν οἴονται τοὺς Ἕλληνας τὴν σοφίαν παραλαβεῖν. Οὗτος ὁ λόγος πρόῤῥιζου δεῖται ἀνασκευῆς, καθ' ὅσον οἱ περὶ τὸν Σελλέριον οὐ πάνυ μεμνημένοι φαίνονται τῶν αἰτίων τῆς Ἀσιατικῆς ἢ καὶ Αἰγυπτιακῆς θεοκρατείας. Σκιαγραφοῦντες τοίνυν κατὰ δύναμιν τὴν πρώτην σύστασιν τῆς θεοκρατικῆς πολιτείας παρὰ τοῖς Ἰνδοῖς ὡς τῆς κατ' ἐξοχὴν διαβεβοημένης, ὑποδείκνυμεν οἷον χρῆμ' ἀνάρμοστον τῇ τῶν Ἑλλήνων φύσει καὶ αὐτῆς γε τῆς Ἑλλάδος χώρας ἀπαιτεῖ ὡς ἀντάλλαγμα τοῦ πεισθῆναι καὶ αὐτὸς ὅτι ἔωθεν εἰς Ἑλλάδα σοφία τις θεολογικὴ ἢ φιλοσοφικὴ εἰςῆκτο (σ. πθ'—ϟή.). Τοσαῦτα μὲν οὖν εἰπόντες πρὸς τοὺς καθ' ὑπερβολὴν ἑλληνίζοντας, προςάγομεν τὸν λόγον καὶ πρὸς τοὺς τὴν γνώμην ἐναντιώτατα διακειμένους. Ταῦτα μέντοι ἐπεξιόντες, διὰ μνήμης ἀεὶ φέρομεν οἵων πραγμάτων προςήκει τὸν προοίμιον εἰς τὴν ἱστορίαν τῆς φιλοσοφίας συγγράφοντα ἐπιμνησθῆναι. Διὸ πλάνην τινὰ βουλόμενοι ὑπελέγξαι τοῦ Ῥοιθίου, εἰς τοὺς Αἰγυπτίους τὴν ἀρχὴν καὶ τῶν τεσσάρων παρ' Ἕλλησι στοιχείων ἀναγαγεῖν προθυμουμένου, παραλαμβάνομεν πραγματείαν ἀξιολογωτάτην τοῦ περιπύστου Λεψίου, ὃς καὶ παλαιτάτας τινὰς κοσμογονίας ἐν αὐτῇ τῷ λόγῳ ἐπεξιών, προςαναβιβάζει ἡμᾶς χαριέντως εἰς τὴν ἀρχῆθεν συγγένειαν τῶν ἐθνῶν πρὸς ἄλληλα. Ἐπεὶ δὲ τὰ τῆς Παλαιᾶς Γραφῆς περὶ τῆς κατ' ἀρχὴν ἑνότητος τοῦ ἀνθρωπίνου γένους, εἴ

πέρ τι καὶ ἄλλο, δοξάζομεν καὶ ταυτηνὶ τὴν δόξαν λυσιτελεστάτην οἰόμεθα εἰς διαφώτισιν τῆς ἱστορίας τῶν ἀνθρωπίνων μαθήσεων ἐν γένει, ἐκτιθέμεθα πρότερον, ὡς προοιμιαζόμενοι, ὅσους λόγους ἠδυνήθημεν ἐκ παντοίων συγγραμμάτων συλλέξαι, αὐτὸ τοῦτο τὴν κατ' ἀρχὴν ἑνότητα τοῦ ἀνθρωπίνου γένους ἐπιμαρτυροῦντας (σ. ϟή—ρή). Εἶτα ἐπιτομὴν ποιούμεθα τῆς ἄρτι εἰρημένης πραγματείας τοῦ Λεψίου, συμπληροῦντες ἅμα αὐτὴν καὶ ἄλλοις τισὶν ἀλλαχόθεν παρειλημμένοις, ὅσα πρὸς τὸν προκείμενον σκοπὸν τοῦ προοιμίου πάνυ λυσιτελῆ ἡμῖν ἔδοξεν εἶναι. πρῶτον μὲν οὖν ἐπιεικῶς ἀποδείκνυται ὅτι εἰ καὶ ἡ παρ' Ἕλλησι τῶν στοιχείων τετρακτὺς, ἐν σχήματι τεσσάρων διδύμων θεῶν ἐπὶ πολλῶν Αἰγυπτιακῶν μνημείων γεγραμμένη ἡμῖν ὑπαντᾷ, τὸ μὲν ἀρχῆθεν ἀλλοτρία τῆς τε μυθολογίας καὶ φυσιολογίας τῶν Αἰγυπτίων ἐγένετο· ὑστέρῳ γὰρ χρόνῳ, ἐπὶ Πτολεμαίων τῶν πρώτων ἴσως, οἱ Αἰγύπτιοι παρὰ τῶν Ἑλλήνων αὐτὴν παραλαβόντες, τοῖς πάλαι αἰγυπτιακοῖς μύθοις συνέπλεξαν (σ. ρή—ριδ'.). Ἰδίᾳ δὲ εἰς τοὺς Ἴωνας φυσιολόγους ἡ περὶ τὰ στοιχεῖα πραγματεία ἀναβιβάζεται (σ. ριδ'—ριϛ'.). καὶ ἀπὸ τούτων αὖθις εἰς τοὺς πρώτους θεολογήσαντας καὶ τὰς κοσμογονίας συντάξαντας. Κἀντεῦθεν ὁ λόγος ἀνιὼν, κοσμογονίας τινὰς τῶν παρ' ἑκάστοις ἔθνεσιν ἐπέξεισιν, ὁμογενῆ ἀλλήλαις παραπλησίας οὔσας. Καὶ πρῶτον μὲν περὶ τῆς τῶν Ὀρφικῶν ὁ λόγος γίγνεται (σ. ριϛ'.—ριή.). Εἶτα δὲ περὶ τῆς παρ' Ἡσιόδῳ (σ. ριή—ριθ'.). Εἶτα δὲ περὶ τῆς παρ' Ὁμήρῳ (σ. ριθ'.). Μετὰ δὲ ταύτας ὀλίγα τινὰ περὶ τῆς τῶν Ἰνδῶν κοσμογονίας προστίθεμεν (σ. ριθ'.—ρκέ.). Ἐφεξῆς δὲ περὶ τῆς τῶν Φοινίκων λόγος γίγνεται, ἐν σημειώσει δέ τινι καὶ περὶ τῆς τῶν Χαλδαίων (σ. ρκέ.—ρκή.), καὶ τελευταῖον περὶ τῆς καθ' Ἑβραίους (σ. ρκή). Εἶτα δὲ ὁ κοινὸς πάσαις ταῖς εἰρημέναις κοσμογονίαις χαρακτὴρ ἀποδίδοται, ὅστις ἐστὶν ὅτι πρώτην ἀρχὴν τῶν ὄντων ἁπάντων ῥευστόν τι καὶ ὑδατῶδες τίθενται, καθάπερ καὶ ἡ παλαιτάτη καὶ γνησίως αἰγυπτιακὴ κοσμογονία, ἥπερ προσηρμόσθη ἐπὶ τῶν Πτολεμαίων καὶ ἡ παρ' Ἕλλησι τῶν στοιχείων



τετρακτύς. πάσας τοίνυν τὰς κοσμογονίας τὰς τὴν ἀρχὴν τοῦ κόσμου εἰς ὕδωρ ἢ ὑδατῶδές τι χάος ἀναγούσας τάχα που ἐξ Αἰγυπτίων φησὶν ὁ σοφὸς Λέψιος, ὡς πάντων ἐθνῶν πρεσβυτάτων ὄντων, τὸ πρῶτον ὁρμηθῆναι, καὶ τὴν περὶ φύσεως δὲ τοῦ Θάλητος πραγματείαν καὶ πολλὰς ἄλλας παρ' Ἕλλησιν ὡσαύτως (σ. ρκή.—ρλδ'.). Τὸ δὲ γ' ἡμέτερον, τοῦτον τὸν τρόπον περὶ τῶν κοσμογονιῶν βραχέα τινὰ διαλαβόντες καὶ τὴν ἀρχῆθεν συγγένειαν καὶ ἐπικοινωνίαν τῶν πρεσβυτάτων ἐθνῶν πρὸς ἄλληλα ὑπαινιξάμενοι, ἐπὶ τὰ πρόσω χωροῦμεν, πρῶτον μὲν μαθήσεις ὑποδεικνύντες, οἵας περ δεῖ τὸν ἱστορίαν τῆς φιλοσοφίας συγγράφοντα ὡς ἐπικουρίας εἰς τοὔργον παραλαμβάνειν, ἔνθα καὶ τὴν ἀπὸ τῆς ὑποκειμένης ἐπιστήμης ὠφέλειαν ὑποδηλοῦμεν (σ. ρλδ'.—ρλή). Εἶτα δὲ περὶ τῶν περιόδων τῆς ὅλης φιλοσοφίας λέγομεν, ὅσας μέχρι τοῦ δεῦρο διήνυσεν, ἔνθα καὶ τὴν ὑστάτην φάσιν αὐτῆς ἐπαινοῦμεν (σ. ρλή.—ρμά.), ἐξ ἧς ἀφορμὴν λαβόντες, ὀλίγα τινὰ περὶ τῆς ἐν φιλοσοφίᾳ πείρας διέξιμεν καὶ εἰς τοῦτο καταντῶμεν ὅτι καὶ αὐτὴ ἡ φιλοσοφία εἰς ταὐτὸν τῇ ἱστορίᾳ τῆς φιλοσοφίας τρόπον τινὰ συμπίπτει (σ. ρμά.—ρμδ'.). φιλοσοφοίη μὲν οὖν ἄν τις ὀρθῶς τανῦν ὁ τὴν ἱστορίαν τῆς φιλοσοφίας καὶ τὰς ἄλλας τὰς περὶ αὐτὴν μαθήσεις σαφῶς πρότερον παρ' ἑαυτῷ λαβών. οὐ μέντοι γε διὰ τοῦτο καὶ ἐκλεκτικός τις τὴν ἕξιν καθίσταται, ἀλλὰ καὶ ἐναντιώτατα τούτῳ τε καὶ τῷ σκεπτικῷ διάκειται. εἶτα δὲ ὁ καθόλου χαρακτὴρ τοῦ νυνὶ φιλοσοφοῦντος ἀνθρώπου ἀποδίδοται (σ. ρμέ.—ρμή.). Ταῦτα δὲ διεξελθόντες εἰς ἄλλον λόγον προσκαταβαίνομεν, ὡς δυνατὸν ἐναργῶς ἀποδεῖξαι προτιθέμενοι ὅτι ἄλλο μέν ἐστιν ἡ θρησκεία, ἄλλο δέ τι ἡ φιλοσοφία. Καὶ πρῶτον μὲν λέγομεν ὅτι ὅσοι ἄνδρες ἄμφω τούτω ἀλλήλοιν συναρμόσαι ἐπεχείρησαν, τηνάλλως ἐπόνησαν καὶ πρὸς οὐδὲν ὄφελος τῆς ἀνθρωπότητος. Εἶτα δὲ διὰ τῆς ἀδυναμίας τοῦ νοῦ ὁδεύοντες, ὡς μὴ οἵου τε ὄντος τὰ ἐν ἡμῖν αὐτοῖς συμβαίνοντα διασαφῆσαι, ἐπιχειροῦμεν τὴν τῆς θρησκείας ἀρχὴν εἰς τὴν ὑψηλὴν συναίσθησιν τοῦ εἴδους τῶν εἰδῶν τῆς ὑπερτάτης οὐσίας ἀναρ-

τῆσαι. Τὴν μὲν οὖν φιλοσοφίαν τῷ Νῷ προςνέμομεν, τὴν δὲ Θρησκείαν τῇ ὑψηλῇ Συναισθήσει. Πᾶν ἄρα ἄλλο τι εἶναί φαμεν τὴν φιλοσοφίαν καὶ πᾶν ἄλλο τὴν Θρησκείαν. μαρτυροῦντας δὲ τῷ λόγῳ τούτῳ ἐπαγόμεθα τοὺς δαιμονιωτάτους τῶν θνητῶν ἁπάντων, Πλάτωνά τε καὶ Δάντην τὸν ποιητὴν (σ. ρμή.—ρξά.). Εἶτα δὲ καὶ τόδε ἀναβαλλόμεθα ὑποδεῖξαι ὅτι καὶ αὐτὸς ὁ νοῦς οὐδεπώποτε ἑαυτὸν φαίνεται ἀποπληρῶν, τοῖς γε ἑαυτοῦ νόμοις χρώμενος, ἀλλὰ *σύνοιδεν* ἑαυτῷ ἀπολειπομένῳ τοῦ λόγου τῶν ἁπάντων. καὶ γὰρ τὸ τέλος καὶ ὁ σκοπὸς, ὃν προτίθεται φιλοσοφῶν, τὴν φύσιν αὐτοῦ ὑπερβαίνει (σ. ρξά.—ρξέ.), δι' οὓς γε λόγους ἐκτίθεμεν ἐφεξῆς (σ. ρξέ.—ρξζ΄), μεθ' οὓς εἰς τοῦτο καταντῶμεν, ὅτι δυοῖν θάτερον τῷ νῷ ὑπολείπεται, σαφήνειάν τινα ἔχον' ἤτοι τὸ Θεῖον, ὅπερ μάλιστα πᾶσα φιλοσοφία προτίθεται ἀνευρεῖν, ὡς δημιουργὸν νοῆσαι, ἐκτὸς τοῦ δημιουργήματος τὸ εἶναι ἔχοντα ἢ Δημιουργὸν καὶ δημιούργημα ἄμφω Ἕν. Τὸ μὲν οὖν πρῶτον καλοῖμεν ἂν καθόλου *Θεϊσμόν*, τὸ δὲ δεύτερον *Πανθεϊσμόν*. Εἶτα δ' ἀποπειρώμεθα εἰπεῖν ὀλίγα τινὰ περὶ ἑκατέρας τῶν ὑποθέσεων τούτων. Καὶ πρῶτον μὲν περὶ τῶν θεϊστικῶν συστημάτων τῶν παρὰ τοῖς πάλαι φιλοσόφοις ὀλίγα τινὰ τῷ ἀναγνώστῃ ὑπομιμνήσκομεν. καὶ σαφὴς, οἶμαι, ὁ λόγος, δι' ὃν τὸ τοῦ θείου Πλάτωνος ὡς παράδειγμα παραλαμβάνομεν, οὗπερ διὰ βραχυτάτων τὸ κῦρος ὁμολογοῦμεν, ἀλλὰ τελευτῶντες πάνυ ἀνεπαρκὲς αὐτὸ ὑποδείκνυμεν καὶ πρὸς αὐτὸν τὸν νοῦν ὑπάρχον, πολὺ δὲ μᾶλλον πρὸς τὴν ἐν ἡμῖν ὑψηλὴν συναίσθησιν, ἥπερ τοῦ κύρους τοῦ θρησκευτικοῦ ἐς τὰ μάλιστα χρῄζει (σ. ρξζ΄.—ρπέ.). Εἶτα δὲ περὶ τῆς ἑτέρας ὑποθέσεως λόγον ποιούμεθα, καθ' ἣν Δημιουργός τε καὶ δημιούργημα, ὡς ἓν ὂν καὶ ταυτὸν ἄμφω λαμβάνεται ἤτοι περὶ τοῦ Πανθεϊσμοῦ καθόλου νοουμένου. Ὑποδείκνυμεν οὖν καὶ περὶ τούτου ὅτι οὐδεπώποτε οἷός τ' ἐγένετο οὐδὲ τὸν νοῦν τοῦ ζητοῦντος ἀποπληρώσας, καθησυχάσαι, μή τί γε δὴ τὴν ψυχήν (σ. ρπέ.—ρπθ΄.). Ταῦτα δὲ διὰ βραχυτάτων διαλαβόντες περί τε τῆς *μονοθεΐας τῆς ἰδανι*-



κῆς, ἢ ὡς ἄν τις εἴποι τοῦ *Δυϊσμοῦ* καὶ περὶ τοῦ *Πανθεϊσμοῦ*, μεταβαίνομεν εἰς τὴν κυρίως καὶ κατ' ἐξοχὴν μονοθεϊκὴν φιλοσοφίαν, τὸν *Θεϊσμὸν* λεγόμενον. Ἀλλὰ πρίν τι καὶ τούτου πέρι εἰπεῖν, προὔργου ἡμῖν ἔδοξεν εἶναι, οἷον δὴ προοίμιον εἰς τὴν ἱστορίαν τῆς φιλοσοφίας συγγράφουσι, μηδαμῶς τὸ νέον ζώπυρον σιγῇ παρελθεῖν, ὅπερ διὰ τῆς ἐπιφανείας τῆς Θείας Χάριτος τοῦ χριστιανισμοῦ εἰς τὰ πάλαι δόγματα τῶν ἐθνικῶν εἰςήχθη. Τοῦτο δ' ἐστὶν ὁ Σημιτικὸς χαρακτὴρ τῆς Μονοθεΐας. Ἐπεὶ δέ τινας ὁρῶμεν ἄνδρας ἄλλως καὶ πάνυ σοφοὺς ἐκεῖνον τὸν χαρακτῆρα οὐκ ἐς δέον διαστέλλοντας τῆς ὕστερον πολλαχῇ πολλαχόθεν παρειςφρησάσης μούσης τῆς ἐθνικῆς εἰς τοὺς Ἰσραηλίτας, ἐδέησεν, ἄνωθεν ἀρξαμένοις, πρῶτον μὲν ὡς διὰ βραχυτάτων τινὰ εἰπεῖν περὶ τῶν ἱερῶν γραφῶν, ὡς παραδόσεως Ἑβραϊκῆς, εἶτα δὲ περὶ τῆς ἀεὶ μᾶλλον ξενιζούσης ἑρμηνείας αὐτῶν καὶ τῆς ὕστερον παραδόσεως τῆς Ἰουδαϊκῆς. Οὕτω γὰρ ἂν ἔχειν ἡμᾶς οἶμαι τὸν γνήσιον νοῦν τῶν ἑβραϊκῶν παραδόσεων τῆς ὀθνείας Μούσης διαστέλλειν. Ὑποδείκνυμεν τοίνυν οἷος ἦν ὁ ἐξ ἀρχῆς ἱερὸς καὶ γνήσιος τῆς ἑβραϊκῆς Μονοθεΐας χαρακτήρ. Μετὰ δὲ ταῦτα τόνδε τὸν τρόπον ἀποφαινόμεθα, ὡς ἄρα τὸ φιλοσοφεῖν ὅλως ἀλλότριον ἡμῖν δοκεῖ εἶναι τῆς φύσεως τῆς Σημιτικῆς καὶ δὴ καὶ τῶν ἑβραϊκῶν γραφῶν. καὶ γὰρ ὅσα ἡ φιλοσοφία οὐδὲν παύεται εἰς ζήτησιν προβαλλομένη, ταῦτα ὡς δεδομένα καὶ βέβαια ἡ τῶν Ἰσραηλιτῶν θρησκευτικὴ συναίσθησις παραλαμβάνει. Εἰ μὲν οὖν ἡ παλαιὰ Γραφὴ ἀλλοτρία πως φιλοσοφίας πέφανται εἶναι, ἀλλοτρία πάντως ἐστὶ καὶ ἡ χριστιανικὴ διδασκαλία, καθ' *ὅσα γε μέρη ἐπ'* ἐκείνης ἐρήρεισται. Τὴν δὲ ἱερὰν δογματικὴν, ὕψος ἄφατον ὡς ἀληθῶς ἔχουσαν, σιγῇ ἔν γε τῷ παρόντι γεραίροντες, μεταβαίνομεν εἰς τὴν τοῦ νέου ἀνθρώπου φιλοσοφίαν, τὴν κυρίως θεϊστικὴν (σ. ρπθ΄.—σκ΄.). Λέγομεν δὴ οὖν καὶ περὶ ταύτης ὅτι *ὡς φιλοσοφία* οὐ μόνον τῇ ὑψηλῇ συναισθήσει ἀνεπαρκὴς ἐλέγχεται ἐπὶ τῶν ὑψίστων ζητημάτων, οἷόν που τὸ περὶ τοῦ Θεοῦ, τὸ περὶ ἀθανασίας τῆς ψυχῆς καὶ τὰ παραπλήσια, ἀλλὰ

καὶ αὐτῇ τῇ διανοίᾳ καὶ τῷ λόγῳ τῷ ἐποπτικῷ. Φέρε γάρ· τρεῖς λόγους κυρίους ἡ ἄρτι λεχθεῖσα πραγματεία πρὸς ἀπόδειξιν τοῦ Θεοῦ προφέρεται. Τούτων δὲ τοὺς μὲν δύο πρώτους διὰ βραχυτάτων ἀνασκευάζομεν. τὸν δὲ τρίτον, ᾧπερ πολὺ κῦρος εἰώθασιν οἱ σοφοὶ ἀποδιδόναι, οὐ μόνον ἀνεπαρκῆ, ἀλλὰ καὶ μᾶλλον τοῖς ἐθνικοῖς ἢ τῷ νέῳ ἀνθρώπῳ προσήκοντα ἀποδείκνυμεν· ὁ γὰρ νέος ἄνθρωπος οὐδαμόθεν ἄλλοθεν ὀφείλει τὸ Θεῖον πορίζεσθαι ἢ ἐκ τοῦ βίου τοῦ πνευματικοῦ, ἐκ τοῦ κατ᾽ ἐξοχὴν ἀνθρώπου τοῦ ἐσωτερικοῦ, ἐκ τοῦ ἤθους καὶ τῆς ἐν ἑαυτῷ ἱερᾶς καὶ ὑψηλῆς συναισθήσεως τῆς θρησκευτικῆς, κατὰ τἀναντία πρὸς τὸν πάλαι ἄνθρωπον, ὃς καὶ τοῦ Ἀριστοτέλους ὕστερον, ὡς στωϊκὸς ἢ σκεπτικὸς ἢ ἐκλεκτικὸς ἢ νεοπλατώνειος *γνησίως ἠθικῆς* ἐλευθερίας σχεδόν τι πάμπαν ἄγευστος διετέλεσεν (σ. σκʹ.—σμέ.). Εἶτα δὲ ὁ λόγος ἡμῖν εἰς τοιόνδε τι τέλος ἀπολήγει· ὅτι χωρίζειν ἄρα προσήκει τὴν θρησκείαν, ὡς ἕτερόν τι ὄν, τῆς φιλοσοφίας. οὕτω γὰρ ἑκάτερον τὴν οἰκείαν ὁδὸν εἰς ὄφελος τῆς ἀνθρωπότητος βαδιεῖ (σ. σμέ —σμθʹ.). τὰ δὲ λοιπὰ τοῦ λόγου πᾶσιν, οἶμαι σαφῆ ὑπάρξει. Τοιαύτη τίς ἐστιν ἡ καθόλου ἰδέα καὶ μέθοδος τοῦ ὑποκειμένου προοιμίου.

Λοιπὸν δ᾽ ἂν εἴη μοι, δύο τινὰ προαγγελτικώτερον εἰπεῖν, ἐφ᾽ οἷς βουλοίμην ἂν ἀρχῆθεν ἐπιστῆσαι τὴν διάνοιαν τοὺς εὐμενεῖς ἀναγνώστας. Ἐπεὶ γὰρ δυοῖν στίχων ἐκτοπισμὸς συμβέβηκε κατὰ τὴν τύπωσιν μεταξὺ τῆς ρβʹ καὶ ρδʹ σελίδος, παρακαλοῦμεν αὐτούς, ἀναγνόντας ὅλην τὴν ρβʹ σελίδα, αὐτίκα μεταβῆναι εἰς τὴν ρδʹ. Ἐκ δὲ ταύτης τῆς ρδʹ τοὺς δύο πρώτους στίχους παραλαβόντας, ὑποστρέψαι αὖθις εἰς τὴν ργʹ σελίδα καὶ οὕτω τὰ λοιπὰ ἐφεξῆς κατὰ τὸ συνεχὲς ἀκωλύτως ἀναγνῶναι, πλὴν ἀμφοῖν τῶν στίχων τῶν προαναγνωσθέντων δηλονότι.

Τὸ δὲ δεύτερον, ᾧ ἐπιστῆσαι τὸν νοῦν τοῦ ἀναγνώστου ἐκ προοιμίων βούλομαι, τόδε ἐστίν. Ἐπεὶ τὸ παρ᾽ Ἕλλησιν ἀλφάβητον ἀνεπαρκὲς ἐπὶ τέλους ἀποβέβηκεν εἰς δήλωσιν φωνῶν τινων ὀθνείων εἴτε ἀσιατικῶν εἴτε εὐρωπαϊκῶν· ἡ δὲ κατὰ συνθήκην ψιλὴν καὶ ὡς ἔγγιστα δήλωσις αὐτῶν παρά τε τὸν ἀκριβῆ καὶ ἐπιστημονικὸν λόγον ἐστὶν ὡς πρὸς τὸ καθόλου ἀλφάβητον καὶ πολλῆς συγχύσεως καὶ ἀσαφείας πρόξενος τῇ γλωττικῇ ἐπιστήμῃ καθίσταται, ὡς οὐκ ὀλίγαι φωναὶ μαρτυροῦσι καὶ ἀσιατικαὶ καὶ αἰγυπτιακαί, ὅσαι δυσδιάκριτοι καὶ ἐπιπόνου ἑρμηνείας ἔτι καὶ νῦν δεόμεναι παρὰ τοῖς πάλαι συγγραφεῦσιν ἡμῖν ὑπαντῶσιν, ἔδοξέ μοι στοιχεῖά τινα εἰσαγαγεῖν, καινοφανῆ μὲν παρ᾽ ἡμῖν ὄντα, μεθοδικώτερον μέντοι τὰς ἀλλοτρίας φωνὰς ἀποδιδόντα. Τούτων δὲ τὰ κυριώτατα ὡς ἐφεξῆς ἑρμηνεύομεν. πρῶτον μέν, τοῖς περὶ τὰ τοιαῦτα σοφοῖς ἑπόμενοι, ἔστιν ἃ τῶν συμφώνων δασύνομεν, ἐν οἷς καὶ τὸ σ̇ ἢ Σ̤ πρὸς ἀπόδοσιν τῆς φωνῆς sh. Εἶτα δὲ τὸν διὰ τοῦ H ἢ h εὐδηλότερον ἢ ἀδηλότερον πνευματισμὸν εἰσάγομεν διὰ τοῦ Χ̈ ἢ χ̈, ὅπερ αὐτοτελὲς ὄν, μηδ᾽ ἄλλῳ συμφώνῳ ἐπικουροῦν, μετὰ δασύτητος αἰσθητῆς ἔνδοθεν ἐκφέρεται, ἤτοι ὡς ἐναρκτικὸν λέξεων ἢ πρὸ φωνήεντος τεθειμένον. τὴν δὲ φωνήν, οἵα παρ᾽ Ἰταλοῖς, φέρ᾽ εἰπεῖν, διὰ τοῦ g πρὸ τῶν e καὶ i ἀκούεται, διὰ γάμμα ὀξυτονουμένου εἰσάγομεν ὧδε, Γ́ ἢ γ́. Ταῦτα μὲν δὴ ἱκανὰ ἔν γε τῷ παρόντι, εἰσαῦθις δὲ πλείω καὶ περὶ τούτου.

Ἀθήνησι, περὶ τὰς ἱερὰς ἑορτὰς τῶν Θεοφανείων, ἔτους 1870ῷ.

# ΠΡΟΟΙΜΙΟΝ.

Πάντες ἄνθρωποι φιλοσοφεῖν πεφύκαμεν, λόγον ἡμῖν αὐτοῖς τῶν ὄντων ἁπάντων ὅσον οἷόν τ' ἀποδιδόναι ἐπιχειροῦντες, οὐχ ἥκιστα δὲ καὶ τῆς γ' ἐν ἡμῖν αὐτοῖς ὑπαρχούσης ἕξεως τῆς τοιαύτης. Πειρατέον τοίνυν ὡς ἐν τύπῳ λαβόντας εἰπεῖν, ἥτις πότ' ἐστὶν ἡ τοιαύτη ἕξις, ᾗ περ πάλαι τε καὶ νῦν φιλοσοφία ὄνομα ὑπάρχει. Ἦν ποτε χρόνος ὅτε τῶν περὶ τὰ τοιαῦτα σοφῶν ἄλλος ἄλλον τοῦ πράγματος τούτου, ὡς καὶ πάσης ἄλλης μαθήσεως ὁρισμὸν ἀποδιδόντες, εὐχερέστερόν πως ηὐδοκίμουν· οὐ μέντοι γε ὁμοίως καὶ τὰ νῦν εὐδοκιμοῦσιν. εἰ μὲν γάρ τις φιλοσοφίαν τὸ ᾗ γε δέον εἶναι τῶν ὄντων ἀναζητεῖν, κἂν που τοῦτό γε ὑπὲρ θνητοῦ μοῖραν ἀναφανῇ, τὸ ᾗ γε ἀνθρωπίνῳ νῷ ἐφικτὸν εἶναι τῶν ὄντων εἴποι, τάχ' ἂν εἴποι τι· οὐ μέντοι τὸ πᾶν ἐδήλωσεν· οὐ γὰρ περὶ τάδε ἢ τάδε τῶν ὄντων ἡ φιλοσοφία ἐπιστήμη τις τυγχάνει οὖσα, ἀλλ' ἀπὸ τῶν καθ' ἕκαστον ὁρμωμένη, τὸ Ἓν, τὸ μάλιστα καθόλου καὶ ἀνυπόθετον καὶ ὄντως Ὂν ἀεὶ ἐπιζητεῖ. τούτου γε μὴν αὐτοῦ καθ' αὑτὸ (οἷον κατ' ἀνθυπόστασιν λέγω) ἀνθρωπικῇ διανοίᾳ ἀλήπτου πεφυκότος, δῆλον ὅτι παρ' ἄλλοις μὲν ἔθνεσιν ἄλλως πεπαιδευμένοις καὶ ἐν ἄλλῳ χρόνῳ ἄλλο εἶναι ἔδοξε καὶ ἀλλοῖον ἔτι δόξει ἕς τ' ἂν θνητοὶ ἡλίου φῶς ὁρῶσιν.

Εἴ τις οὖν βούλεται ὅ τι πότ' ἐστὶν ἡ φιλοσοφία εἰδέ-

ναι, ἀνάγκη αὐτὸν ὅσον οἷόν τε ἐξ ἀρχῆς ὁρμηθέντα
τὴν πανταχοῦ ἐν χρόνῳ πρόοδον αὐτῆς ἀνιχνεῦσαι.
τοῦτο δ' ἐστὶν οὐδὲν ἄλλο ἢ ἡ ἱστορία τῆς φιλοσοφίας.
ταύτην δέ φαμεν ὅτι οὐχ ὡς ἔτυχεν, ἀλλὰ κατὰ νόμους
τῆς ἀνθρωπικῆς διανοίας ἀναλλοιώτους εἰς τοσοῦτον
μεγαλεῖον ἐπήρθη, τὴν τοῦ μεγαλωνύμου Φιλοσόφου
γνώμην πάνυ τιμῶντες, τὰς δ' ἐναντίας αὐτῇ ὡς πάνυ
ἀνεπαρκεῖς οἰόμενοι· τοὺς γὰρ τὰ Ἐγέλου ἐπικρίνειν
προθυμουμένους ὀφείλειν δοκοῦμεν τοῖς ὀνόμασιν, ἥν-
περ κἀκεῖνος μὴ μόνον λόγῳ, ἀλλὰ καὶ ἔργῳ ἀπο-
διδόναι ἔννοιαν, καὶ λογικὴν δὲ λέγοντας αὐτό γε τοῦ-
το, ὅ τι κἀκεῖνος λογικὴν λέγων, νοεῖν. μηδὲ καθ' ἥν-
περ ἀλληλουχίαν ἐν τοῖς ἐγχειριδίοις ἡ λογικὴ τοῖς νέοις
διδάσκεται, κατὰ τὴν αὐτήν που καὶ ὑπὸ τοῦ φιλοσο-
φοῦντος ἀνθρώπου ἐν χρόνῳ εὑρεθῆναι ἡγητέον.

Εἰ μὲν οὖν ἐν τῇ ἱστορίᾳ τῶν πεπραγμένων νόμον
τινὰ καθόλου ἢ θείαν Πρόνοιαν ἐνορῶμεν, ἢ τὸ ἀνθρώ-
πειον εἰς τελειότητά τινα ἄγει, τὴν δὲ τὸ τοιοῦτον ἐπι-
ζητοῦσαν ἐπιστήμην, φιλοσοφίαν τῆς ἱστορίας ἀποκα-
λοῦμεν· πολλῷ τοι μᾶλλον δίκαιοι ἂν εἴημεν ἐν τῇ τῶν
νοηθέντων ἱστορίᾳ (α) νόμον τινὰ καθόλου ἐνορᾶν, καθ'

(α) Καθ' ὅσον μὲν ἡ ἱστορία τῆς φιλοσοφίας ἡ τὰ καθόλου νοη-
θέντα ἐν λόγοις διεξιοῦσα τῆς ἄλλης ἱστορίας τῆς τὰ πεπραγ-
μένα ἀφηγουμένης κατά τε οὐσίαν καὶ δὴ καὶ κατ' εἶδος δια-
στέλλεται· καθ' ὅσον δὲ καὶ ἡ φιλοσοφία τῆς ἱστορίας αὐτῆς τῆς
ἱστορίας διαφέρει, οἷον τὸ τοιόνδε λέγω· εἴπως ἡ φιλοσοφία
τῆς ἱστορίας ἐξ αὐτῆς τῆς ἱστορίας ποριστέα ἐστὶν ἢ ἔκ τινος
ἄλλης ἄλλοθεν ἰδέας περὶ τῆς ἀνθρωπότητος καθόλου, ἥνπερ,
οἶμαι, τὸ ἔσχατον ἀλλ' οὐχὶ τὸ πρῶτον ὑποληπτέον εἶναι,
τούτων πέρι εἰσαῦθις ἐν τόπῳ οἰκειοτέρῳ. τὸ δέ γε νῦν ἔχον



ὅν γε δὴ ὁ ἀνθρωπικὸς νοῦς ἐπὶ τὸ μάλιστα καθόλου
προσαναβαίνειν πέφυκεν (α).

τοσόνδε μόνον λέγομεν ὅτι ὁ σοφὸς Σελλέριος τὰ τοῦ Ἐγέλου
μάλα προθυμούμενος ἀνασκευάσαι, οὐ πάνυ συμφωνοῦντα ἀλ-
λήλοις λέγει, ὅσα ἐν τῷ προοιμίῳ τῆς ἑαυτοῦ ἱστορίας τῆς
παρ' Ἕλλησι φιλοσοφίας λέγει.

(α) Φανεροὶ ἄρα ἐσμὲν ὅτι καὶ τὴν μεγαλειοτάτην γνώμην
τοῦ Φιλοσόφου θαυμάζοντες, οὐκ ὀλίγον αὐτῆς ἀφιστάμεθα·
καὶ ὡς ἐν ἄλλῳ λόγῳ δηλῶσαι, οἱ τῷ Ἐγέλῳ ἀντειπόντες σο-
φοί, οὐκ ὤφειλον, ὡς ἐγῷμαι, αὐτῇ τῇ γνώμῃ καθόλου λαμβα-
νομένῃ ἀντειπεῖν· ἐπεὶ εἴπερ τί ποτε μεγαλοπρεπὲς ἐρρέθη,
ἔστι καὶ τοῦτο, ὃ ὁ Ἔγελος εἴρηκεν· ἀλλ' ὤφειλον μᾶλλον πρός
τινα τοῦ εἴδους (τὴν σχηματολογίαν) ἀντειπεῖν, ὅπερ ταύτῃ
τῇ γνώμῃ ὁ φιλόσοφος, ἔκ γε τοῦ ἑαυτοῦ συστήματος ὁρμώμε-
νος, περιῆψεν. αὐτὴ δὲ ἡ γνώμη καθ' αὑτὴν τοσοῦτον κῦρός τε
καὶ βρῖθος ἐφάνη ἔχουσα, ὥστε καὶ αὐτοὶ οἱ ἀντειπόντες ἐπ'
ἀκριβὲς αὐτῇ ἠκολούθησαν. Θέμις δὲ τὰ οἰκεῖα τοῖς οἰκείοις
ἀποδιδόναι· τοὺς γὰρ περὶ τὸν Ἔγελον μάλιστα φαίη ἄν τις
ἐνδίκως τὴν τῆς φιλοσοφίας ἱστορίαν αὐτὸ δὴ τοῦτο ἐπιστήμην
περὶ τὸ καθόλου οὖσαν ἀναδεῖξαι. οὐδ' αὖ ὅσα ὁ σοφὸς καὶ
πυκινόφρων Βρανδίσιος, εὐθὺς ἐν ἀρχῇ τοῦ προοιμίου τῆς ἀξιο-
λογωτάτης ἱστορίας τῆς Ἑλληνορωμαϊκῆς φιλοσοφίας λέγει,
περιστέλλει πως τὸ κῦρος τῆς γνώμης τοῦ περιπύστου φιλο-
σόφου, ἥτις εἰς τὴν ἐσωτερικὴν ἱστορίαν τῆς φιλοσοφίας ἀνα-
φορὰν πάντως ἔχει. καὶ αὐτὸς δὲ ὁ Ἔγελος ἐπίδρασίν τινα
ἄλλοθέν ποθεν τῇ φιλοσοφίᾳ προσγιγνομένην ὁμολογεῖ ἤτοι
καὶ ἐξωτερικὴν ἱστορίαν τῆς φιλοσοφίας ἀποδέχεται, ἀλλ' ἅ-
πανθ' ὁμοίως εἰς νόμον τινὰ ἀναλλοίωτον καὶ ἀναγκαῖον ἀνά-
γει· ὥστ' οὐκ ἔστιν ὅπως οὐκ αἰνέσομεν τὴν φαεινὴν καὶ μεγα-
λοπρεπῆ τοῦ Ἐγέλου ἰδέαν, ἧς γε δὴ οὐκ οἶδ' εἴ τι σεμνότερον
καὶ ἐξοχώτερον ἐν ἐπιστήμαις κατὰ τόνδε τὸν αἰῶνα ἀνέλαμψεν.

Ἀλλ' εἴπερ τὸ καθόλου φιλοσοφεῖν κυριώτατος χαρακτὴρ τῆς τοῦ ἀνθρώπου φύσεως ὑπάρχει, ἡ δ' ἱστορία τῆς φιλοσοφίας τὰς παντοειδεῖς αὐτῆς φάσεις ὡς σύνολόν τι ἡμῖν ἐναργῶς προφαίνει· πῶς οὐχ ὑπολάβοι τις ἂν τὴν τοιαύτην ἐπιστήμην ὡς τὴν ἀνθρωπικωτάτην οὖσαν πασῶν τῶν ἄλλων; ἔργον γὰρ ταύτης τῆς καλῆς ἐπιστήμης, καλῶς νοουμένης, τὸ ὑποδεῖξαι ἡμῖν ἐστι πᾶσαν συλλήβδην τὴν ἐν χρόνῳ τε καὶ τόπῳ ψυχικὴν τοῦ ἀνθρώπου ἐνέργειαν, ὃς φύσει πως θεολογῶν, ἐφυσιολόγει, καὶ φυσιολογῶν ἐφιλοσόφει τὸ πρῶτον φύρδην μίγδην (α)· ἔτι δὲ καὶ τὰς αἰτίας τῆς τοιᾶσδε ἢ τοιᾶσδε ψυχικῆς ἐνεργείας.

(α) Οὐ γὰρ πάνυ τι τὴν τοῦ Σελλερίου γνώμην, τὰ τοῦ Ῥοιθίου ἐπικρίνοντος, ἡμεῖς γε προσιέμεθα, καθ' ἣν οὐδεμία οὐδενὸς ἔθνους θρησκεία περὶ καθόλου τινὰς ἐννοίας ἢ ἀντιλήψεις εἴη, ἤτοι «περὶ τὸ Σύμπαν τόδε εἰς μεγάλας μοίρας διῃρημένον καὶ τὰς ἐν αὐτῷ δρώσας δυνάμεις,» ὡς αὐτὸς ὁ Ῥοίθιός φησιν. (ἱστ. τ. Φιλοσ. τ. Α, σ. 51.). ὁμολογοῦμεν γὰρ καὶ ἡμεῖς μάλα προθύμως ὅτι ὡς ἐν ὅλῳ διάφορος ἡ θρησκευτικὴ συναίσθησίς ἐστι τῆς διανοίας, ἐξ ἧς περ ἐκεῖναι αἱ ἔννοιαι παράγονται· ἀλλ' εἴποτε ὁ ἄνθρωπος ἐθελήσει ταύτην τὴν ἐνδογενῆ ἑαυτῷ συναίσθησιν τὴν θρησκευτικὴν τῇ διανοίᾳ λαβεῖν καὶ ὁπωςδήποτ' ἔκφαντον ποιῆσαι, ἴστω ὅτι μιᾷ οἱᾳδήποτε ἢ πολλαῖς ἅμα ἐκείνων τῶν καθόλου ἐννοιῶν ἐν εἴδει συμβόλου χρήσεται. ἄῤῥητον γὰρ καθ' αὐτὸ τοῦτό γε τὸ πρᾶγμα πέφυκε· χαρακτὴρ δὲ τοῦ ἀῤῥήτου τὸ ἄλλην τινὰ αὐτῷ δύναμιν λόγῳ ἢ ἔργῳ ἀποδιδόναι ἢ ἥνπερ ἐκεῖνο ἐβούλετο σημαίνειν· ὥστε οὐδὲν θαυμαστὸν, εἴπερ καὶ ἡ πρώτη τῶν Αἰγυπτίων θρησκεία περὶ τοιαύτας τινὰς ἐννοίας καθόλου ἦν· τοῦτο γάρ ἐστι τὸ π ρ ῶ τ ο ν καθόλου γνώρισμα πάντων ὁμοίως τῶν πάλαι ἐθνικῶν



Προςήκει τοίνυν τὸν ἱστορίαν τῆς φιλοσοφίας συγγράψαι προαιρούμενον εἰς τὸν βαθὺν ὄρθρον τῆς ἀνθρωπότητος διὰ τῆς ἀρχαιολογίας προσαναβάντα, τὰς συναισθήσει ἀφάτῳ, γήθει καὶ λύπῃ ἢ φόβῳ καὶ ἐλπίδι νεαλεῖ συμμεμιγμένας αὐτῆς διαθέσεις ὅσον οἷόν τ' ἀνασκέψασθαι καὶ τὰ πρῶτα οἷον ψελλίσματα ἀκοῦσαι, ἅπερ γενναῖόν τι βάθος ἐγκρύπτοντα, τὴν θείαν γένεσιν αὐτῆς ὑπεμφαίνει.

Τοὺς δὲ παρ' Ἕλλησι μύθους τριχῇ, ὡς ἔγωγ' ἂν βουλοίμην, διελόντα, πρῶτον μὲν εἰς τοὺς ἐν τῇ πρώτῃ ἑστίᾳ αὐτῶν τῇ ἀνθρωπομήτορι Ἀσίᾳ πρὸ ἀμνημονεύτων ἤδη αἰώνων ἀρχὴν λαβόντας, οἵτινες τῆς ἔνδον

θρησκευμάτων καὶ τῶν Περσῶν ὡςαύτως. Πρβλ. Λάσσενος Ἰνδ. ἀρχαιολ. τόμ. Α, σ. 755, κ.φ.ξ. — Κοιππενίου περὶ τῆς θρησκ. τοῦ Βούδδα, τόμ. Α, σ. 2 κ.φ.ξ. — Οὐελκέρου, Θεολογ. Ἑλλην. τόμ. Α, σ. 135 κ.φ.ξ. ἔτι δὲ Λεψίου, «περὶ τῶν θεῶν τῶν τεσσάρων στοιχείων. κ.λ.π. — Ἀλλ' ὁ σοφὸς Σελλέριος ἔοικεν ἀνθυποβάλλοντι ὅτι ὁ ἄνθρωπος προσωπικοὺς θεοὺς κατὰ τὸ ἑαυτοῦ ὁμοίωμα τὸ πρῶτον ἐλάτρευσε (τόμ. Α, σ. 28.)· τοῦτο δ' ἂν εἴη σαφῶς πάνυ, οἶμαι, τὸ δεύτερον ἀντὶ τοῦ πρώτου ἐκλαμβάνειν. ἀλλ' οὐδὲν ἧσσον ὁμολογητέον ὅτι καὶ ὅσα ὁ σοφὸς Ῥοίθιος περὶ ἀρχῆς τῆς θρησκείας εἴρηκεν, οὐ πάνυ τι ἀλλήλοις συνᾴδειν ἐθέλει· καὶ τὸ ὑπ' αὐτοῦ δὲ λεχθὲν ὅτι «καὶ αὐταὶ τῶν θεῶν αἱ ἰδέαι ἐκ τῆς ὁρατῆς φύσεως παρελήφθησαν,» [πρβλ. περὶ τῶν θρησκευμάτων τῶν πάλαι ἐθνῶν (Συμβολ. τοῦ Κρευζερίου) ὑπὸ Γιγνιώτου, τόμ. Α, μέρ. Βον σ. 523.] οὐδ' ἡμῖν ἀρέσκει. φαίημεν γὰρ ἂν ἡμεῖς γε ὅτι ὁ ἄνθρωπος τὸ ἐν ἑαυτῷ ἤδη ὑπολανθάνον καὶ ὡς ἔπος εἰπεῖν, ἀ θ έ σ φ α τ ο ν διὰ τῆς ὁρατῆς φύσεως ἡρμήνευσε μόνον καὶ ἐξέφηνεν, οὐ μέντοι τὴν ἀρχὴν ἐξ αὐτῆς παρέλαβεν.

συναισθήσεως τοῦ ἀνθρώπου ἐν γένει καὶ τῆς ἐπ' αὐτὸν ἐπιδράσεως τῆς ὁρατῆς φύσεως, οἷον ἔκφανσίς τις ὑπάρχει· Δεύτερον δὲ εἰς τὰς ἐν δευτέρῳ χρόνῳ ὥς γ' ἐπὶ τὸ πλῆθος ἐξ ἐκείνων ὑπὸ τῶν τὴν Ἑλλάδα ἤδη οἰκούντων συστηματικώτερον συνταχθείσας κοσμογονίας· καὶ τρίτον εἰς τοὺς τοπικοὺς ἐν γένει λεγομένους μύθους, ἐν αὐτῇ τῇ Ἑλλάδι ποιηθέντας ἢ καὶ ἄλλοθέν ποθεν παραληφθέντας. τὴν δὲ ἐναργῶς φαινομένην ὁμοιότητα τῶν παρ' Ἕλλησι κοσμογονιῶν πρὸς τὰς τῶν ἄλλων πρεσβυγενῶν ἐθνῶν ἀκριβέστερον μελετήσαντα (α), ἐπιμελῶς ἀναζητῆσαι, εἴπως τὸ κατ' ἀρχὴν ἑνιαῖον γένος τῶν ἀνθρώπων εἰς φυλάς τε καὶ ἔθνη ὕστερον ἀποσχισθέντες ὁπωσδήποτ' ἀλλήλοις ἐπιμιγνύμενοι διετέλουν. καὶ τούτου δ' ὅσον οἷόν τε φανεροῦ καταστάντος, φανερὰ γένοιτ' ἂν καὶ ἡ τοπικῶν τινων παρ' Ἕλλησι μύθων ὁμοιότης πρός τινας τῶν παρ' ἄλλοις ὁμοφύλοις ἔθνεσιν. Πάντα γὰρ τὰ ἐξ ὁμοίας τινὸς ἀρχῆς τὸ πρῶτον ὁρμηθέντα, ὅμοια καὶ ὕστερον ἀλλήλοις φανήσεται,

(α) Ἀλλὰ προσήκει μᾶλλον τῇ συναισθήσει τὸν νοῦν προσέχειν, ἐξ ἧς γε ἑκάστη μυθολογικὴ ἔννοια ἐν τῇ ψυχῇ τοῦ ἐθνικοῦ παρήχθη ἢ αὐτῇ τῇ μυθολογικῇ ἐννοίᾳ· κατὰ τοσοῦτον γὰρ ἔχοι τις ἂν θρησκευτικὴν ὑπόληψιν ἢ δόξαν ὁπωσδήποτ' ἐκπεφρασμένην τῇ διανοίᾳ συλλαμβάνειν, καθ' ὅσον περ αὐτὴν ἐν σχέσει πρὸς τὴν ἀντιστοιχοῦσαν θρησκευτικὴν συναίσθησιν νοῇ. ὡς οὐδὲ θεολογία ταὐτόν που ἐθέλει εἶναι τῇ περὶ πίστεως θεωρίᾳ. καὶ γὰρ θεολογία μέν ἐστιν (οὐδ' ὁπωστιοῦν ἐνταῦθα τὴν κατὰ θείαν ἀποκάλυψιν νοοῦμεν) ἡ ἐν λόγοις δήλωσις τοῦ θείου τῇ διανοίᾳ πρότερον ληπτοῦ γενομένου· ἡ δὲ πίστις ἐν αὐτῇ τῇ συναισθήσει καὶ φύσει καὶ ἕξει τῆς ἀνθρωπικῆς ψυχῆς τὴν ἀρχὴν ἔχει. παράβαλε δὲ καὶ Στουρίου, ἱστορ. τῶν θρησκ. τ. Α. σ. 111, κ.φ.ξ.



καίτοι ἀλλήλων πάλαι πάμπαν χωρισθέντα. Ἐννοήσειε δ' ἄν τις τοῦτο καὶ ἐπὶ τῶν ὕστερον φιλοσοφημάτων τῶν ἐξ ἀρχῆς ὁμοφύλων γενομένων ἐθνῶν συμβαῖνον. Εἰ γάρ τις ὁμοιότητά τινα τῶν Πλατωνικῶν, φέρ' εἰπεῖν, θεωριῶν πρὸς τὰ ὑπὸ τῶν Βραχμάνων τε καὶ Βυδδιστῶν θεουργικῶς λεχθέντα ἢ πραχθέντα εὕροι, μηδαμῶς αὐτὴν ἐπιμιξίᾳ τινὶ ἀμέσῳ ἢ ἐμμέσῳ ἀποδιδότω, ὅπερ τῇ ἱστορίᾳ οὐ πάνυ τι ἐθέλει συνᾴδειν, ἀλλ' ἀρχικῇ τινι συγγενείᾳ τῶν φύλων τούτων πρὸς ἄλληλα.

Οὐχ που, φέρ' εἰπεῖν, καὶ ἡ παρ' Ἰνδοῖς δημιουργία τοῦ κόσμου ἐστὶ τοῦ τε πνευματικοῦ καὶ τοῦ ὁρατοῦ, ἀνάλογά τινα ἔχουσα καὶ προσόμοια πρὸς τὴν παρὰ Πλάτωνι ψυχογονίαν καὶ κοσμοποιΐαν καὶ τὴν πρώτην τῶν ἀνθρωπείων ψυχῶν ἐνσάρκωσιν, εἰ καὶ οὔπω παρ' αὐτῷ ἡ πρώτη ἐνσάρκωσις, ὡς δόγμα ἤδη ἀπειργασμένον καὶ ἔμπεδον φαίνεται, ἀλλ' ὡς ἔπος εἰπεῖν, ἐν τῷ γίγνεσθαι σαλεύει, ὡς τὸ ποικίλον αὐτοῦ σχῆμα ἱκανῶς ἐμφαίνει. — καὶ ἡ εἰκὼν δέ, ἥν περ ἐν τῷ Φαίδρῳ ὁ Πλάτων περὶ τἀνθρώπου ποιεῖται, ὡς τριχῇ τε διειλημμένου, καὶ οἷον τρισὶ κόσμοις ἐπικοινωνοῦντος καὶ ὅτι εἰς τὸν ἄνω κόσμον τὸν παρ' Ἰνδοῖς ἀργύφεον ἔνθα τὸ τοῦ Διὸς ἅρμα τὸ πτηνὸν ἐν ἀπλέτῳ αἴγλῃ μαρμαῖρον ἐλαύνει, εἰς ἐκεῖνο τὸ ὑπερουράνιον τῆς Ἀληθείας πεδίον, οὗ ἡ ἐν ἡμῖν συναίσθησις ἀπαύστως ἐφίεται, τῆς ξυνωρίδος ὁ ἵππος ὁ λευκὸς ἀναβιβάζει τὸν ἡνίοχον, ὁ δὲ μέλας πρὸς τὴν ἀπάτην τῆς ἐπὶ γῆς γνοφώδους φαύσεως τῶν ἀεὶ ῥεόντων ἤτοι πρὸς τὴν παρ' Ἰνδοῖς μαγικὴν καὶ ἀπατηλὴν Μάγαν πτοούμενος, κάτω εἰς τὸν οἰκεῖον ἑαυτῷ τόπον τὸν ἐρεβώδη καθέλκει. ταῦτα πάντα δηλοῖ ὅτι παρ' Ἰνδοῖς τε ἅμα καὶ παρὰ Πλάτωνι ὁ ἄνθρωπος ὡς μεταξὺ δυοῖν κόσμοιν ἄνω κάτω τραγικῶς ἑλκόμενος, τοῦ ὑπεράνω τοῦ οὐρανοῦ καὶ τοῦ Ταρτάρου, ἐν τῷ μέσῳ τῷ ὁρατῷ καὶ τρόπον τινὰ ὑποβρυχίῳ ἱδρῶτι μοχθῶν ποιεῖται. — ἔτι δὲ λέγεται παρ' Ἰνδοῖς «ὡς οἱ θεωρητικοὶ συζευγνύμενοι νοερῶς τῷ θεῷ, ἐγκαταλείπουσι τὸ σῶμα, ὅτε θέλουσιν» (ἐν Ραγὺ-Βανσα, ὑπομνημάτιον Γαλανοῦ σ. 102. ἐπιθι δὲ μάλιστα Κοιππενίου περὶ τῆς θρησκ. τοῦ Βούδδα σ. 62.). τοῦτο δ' ἦν τὸ ἐγγυτάτω τῆς τελειώσεως γέρας, ὅπερ καὶ ἐνθάδε μὲν ἐπὶ γῆς τυγχάνουσι, τελευτήσαντες δὲ τῇ παγκοσμίᾳ ψυχῇ Ἄτμαν, Παρανᾶτμαν, τῷ ταῖς αἰσθήσεσι μὲν ἀλήπτῳ, ὡσαύτως δὲ καὶ κατὰ τὰ αὐτὰ ἑαυτῷ ἀεὶ ὄντι ἀρχῆθεν Βράχμα, Ἐκείνῳ, τῷ Ἄημ, εἰς ταὐτὸν συνέρχονται, ὅσοι παρὰ

πάντα τὸν βίον ἐν θεαρέστοις ἔργοις καὶ ἐπὶ τέλους ἐν ἡσυχίᾳ καὶ ἀσκήσει μυρίᾳ τοῦ σωματοειδοῦς ἐπικρατοῦντες διατελοῦσιν, ὡς αὐτοὶ οἱ Βραχμᾶνες λέγουσιν· ἡ μόνη μελέτη βαθείᾳ καὶ ἀσκήσει καὶ ἀτενεῖ τοῦ θείου θέᾳ παραδιδόμενοι, τοῦ αὐτοῦ γέρας τυγχάνουσιν, ὡς αὖ οἱ μὴ Βραχμᾶνες ἀναχωρηταί, μάλιστα δὲ οἱ τῆς ὕλης Βέδαντα φιλοσοφίας τὴν οὐττάρα ἢ Βράχμα μίμανσαν (ἤτοι τὴν δευτέραν ἢ τὴν τοῦ Βράχμα ἔρευναν) τὴν καὶ κατ' ἐξοχὴν Βέδανταν καλουμένην γεραίροντες προαγγέλλουσι, τῶν ἐξωτερικῶν ἔργων καὶ θεσπισμάτων, τῆς τελεταρχικῆς θυηπολίας καὶ μυσταγωγίας τῶν βραχμάνων ὡς γελοίων πάντων ὑπερφρονοῦντες, οὗτοι, λέγω, οἱ Βεδαντικοὶ φιλόσοφοι· ἡ δ' ὕστερον ἐπελθοῦσα, ὡς ἄν τις φαίη κατὰ λέξιν, ἀριθμητική, λογιστικὴ ἢ κατὰ τὸ ἐπάγγελμα ἐκλογικευτική, Σάνκ'γα φιλοσοφία εὐαγγελίζεται τοῖς ἀνθρώποις ὅτι ὅσοι δι' ὅλου τοῦ βίου τοῦτο μάλιστα μελετῶντες ἦσαν, τὴν ἑαυτῶν ψυχὴν τῆς φύσεως διαστέλλειν καὶ δὴ καὶ ἐπιγιγνώσκειν αὐτὴν καὶ οὕτως ἐν ὁσιότητι, ἁγνότητι καὶ αὐτεπιγνώσει ὄντες, πάντων τῶν διὰ τῶν αἰσθήσεων ὡς ἔνι μάλιστ' ἀλλοτριοῦσθαι, τούτων μετὰ θάνατον ἡ ψυχὴ παντελοῦς τεύξεται ἀπαλλαγῆς ἀπ' ἐκείνης τῆς φοβερᾶς καὶ ἀλήκτου πλάνης τὸν ἀΐδιον χρόνον· ὅσοι δὲ τοὐναντίον οἷον ἐμπεπορπημένοι ταῖς ἡδοναῖς τε καὶ ἐπιθυμίαις τοῦ ἐνθάδε βίου διάγουσιν, οὗτοι αὖ μετὰ θάνατον πλάνῃ δυσφόρῳ περιπίπτουσιν, εἰς ζῴου ὁμοήθους φύσιν εἰσέρποντες. — ταῦτα δὲ ἓν πρὸς ἓν ἀνάλογά μοι δοκεῖ εἶναι πρὸς τὰ τοῦ θείου Πλάτωνος, ὃς ἐν μὲν τῷ Φαίδωνί φησιν ὅτι οἱ φιλοσοφοῦντες κἂν τῷδε τῷ βίῳ τρόπον τινὰ τὸ τεθνάναι μελετῶσι καὶ ζῶντες δὲ θνήσκουσι μελέτῃ τοῦ σωματοειδοῦς ἐπικρατοῦντες. ἐν δὲ τῷ Φαίδρῳ λέγει ὅτι ἡ τοῦ ἀδόλως φιλοσοφήσαντος ψυχὴ τάχιστα πασῶν τῆς πλάνης ἀπαλασσομένη, μακάριον βίον διάγει, καὶ ἀμφὶ τὸν ὅλον αἰῶνα, ἐὰν τῷ Θεῷ ξυνεπομένη τἀληθὲς ἀεὶ θεᾶται. ἐν δὲ τῷ Φαίδωνι αὖθις λέγει ὅτι ἡ μὲν ὕλης σεσαγμένη ψυχὴ εἰς θηρίου εἶδος ὁμοήθους μεταβαίνει, ἀλλ' «οἱ φιλοσοφίᾳ ἱκανῶς καθηράμενοι ἄνευ τε σωμάτων ζῶσι τὸ παράπαν εἰς τὸν ἔπειτα χρόνον, καὶ εἰς οἰκήσεις ἔτι τούτων καλλίους ἀφικνοῦνται.» — καὶ ἡ εἰς τρία δὲ γένη τῶν πολιτῶν διαίρεσις ἐν τῇ τοῦ Πλάτωνος πολιτείᾳ κατὰ τὰ τρία τῆς ψυχῆς μόρια, ἤγουν τὸ λογιστικόν, θυμοειδὲς καὶ ἐπιθυμητικόν, συνείρει πως τῇ ἡμετέρᾳ μνήμῃ, ὅπως καὶ οἱ Βραχμᾶνες τὰ παρ' αὐτοῖς γένη ἤτοι τὰς φυλὰς τὰς τρεῖς πρώτας ἢ καὶ πάσας τὰς τέσσαρας ἀπὸ τῶν μελῶν τοῦ Βραχμᾶ παρῆγον. (ἔπιθι Οὐϊνδισμάννου, τὴν φιλοσ. ἐν προόδῳ τῆς παγκοσμίου ἱστορίας Τ. Α. μέρ. β. σ. 901.) ἔτι δὲ πρὸς τούτοις τὸ ἀρχῆθεν καὶ ταῖς αἰσθήσεσι διὰ λεπτότητ' ἄληπτον καί, ὡς ἔπος εἰπεῖν, νοητὸν σῶμα τῆς ψυχῆς (λίνγα ἢ λίνγα — σαρίρα) κατὰ τὴν



Σάνκ'γα φιλοσοφίαν ἀνάλογόν ἐστι πρὸς τὴν παρὰ Πλάτωνι ψυχὴν καὶ τὸ φθαρτὸν αὐτῆς μόριον, αὐτὴ δὲ ἡ ψυχὴ παρὰ τῇ Σάνκ'γα φιλοσοφίᾳ ἀνάλογόν ἐστι πρὸς τὸν νοῦν παρὰ Πλάτωνι ἐν τῷ Τιμαίῳ. — ἔπιθι Κοιππενίου αὐτ. τ. Α, σ. 53—70. — «ἐπειδὰν ὁ Βραχμᾶν πάντα τὰ ὑπὸ τοῦ νόμου αὐτῷ διατεταγμένα ἐπιτελέσῃ καὶ ἀτενεῖ προσευχῇ (μελέτῃ) ἑαυτὸν ὅλον ἀφιερώσῃ, ἀναμιμνήσκεται τῆς προτέρας ἑαυτοῦ γενέσεως.» Οὐϊνδ. αὐτ. σ. 921. τοῦτο τὸ δόγμα τὸ περὶ τῆς ἀναμνήσεως, καὶ ὡς ἀληθῶς γε πανόμοιον τῷ πλατωνικῷ, προσαναβαίνει εἰς χρόνον ἔτι πολιώτερον· ἀναγράφεται γὰρ εἰς τὸν Κρίσναν ἐν τῷ μεγάλῳ ἔπει, ὧδέ πως ἔχον: «τὸ Ἀληθὲς ἀρχῆθεν τῷ ἀνθρώπῳ ἐνετέθη· ἀλλὰ κατὰ σμικρὸν κοιμισθέν, λήθῃ παρεδόθη· πᾶσα οὖν μάθησις, οἷον ἀνάμνησις προτέρας γνώσεως αὖθις ὑποστρέφει.» ἔπιθι Γουλιέλμου τοῦ Χουμβόλτου περί τινος ἐπεισοδίου τοῦ ἔπους Μαχαβαράτα, τῶν ἀναλέκτων συγγραμ. ἐν Τ. Α. σ. 73. παράβαλε δὲ περὶ τῶν πρόσθεν λεχθέντων Οὐϊνδ. αὐτόθι μέρ. β. σ. 892 κ. φ. ἑ. — μέρ. γ'. σ. 989—990 καὶ ἄλλοθι πολλαχόθι. — Τὰς δὲ τοιαύτας ὁμοιότητας, οἵας ἐπὶ πολλῶν ἐπιχωρίων παρ' Ἕλλησι μύθων καὶ πολλῶν φιλοσοφημάτων πρὸς τὰ ἐν Ἀσίᾳ εὑρίσκομεν, οὐ κατὰ πᾶσαν ἀνάγκην εἰς ἱστορικὴν ἐπιμιξίαν ἀναφέρειν αὐτὰς εἰσηγούμεθα, ἀλλ' ἁπλῶς εἰς τὴν ἐξ ἀρχῆς ὁμοφυΐαν τοῦ ἑλληνικοῦ πρὸς τὰ Ἀσιατικά· ὅμοιον γὰρ νοητὸν ἢ αἰσθητὸν εἰς ὅμοιον φιλεῖ που ἄγειν, κἂν ἐν μέσῳ πολλὰ ἀνόμοια ἐμπέσῃ, ὥς που καὶ τὰ φυτὰ καὶ τῶν ζῴων τὰ γένη διὰ πολλῶν γενεῶν αἴφνης τὰ ἀρχῆθεν ὅμοια φαίνει. ἔστι δὲ ἄλλα τὰ ἐξ Ἀσίας ἢ τῆς Αἰγύπτου εἰς Ἕλληνας ἐλθόντα, περὶ ὧν ὀλίγα τινὰ αὐτίκα λεκτέον.

Τὸν δ' οὖν ἱστορίαν τῆς φιλοσοφίας συγγράψαι προαιρούμενον φημὶ δεῖν τὰς θεολογικὰς καὶ κοσμογονικὰς παραδόσεις τῶν πάλαι ἐθνῶν πρὸς ἀλλήλας παραβαλόντα, εἰς τὰς τῶν παλαιτάτων Ἑλλήνων θεολόγων τε καὶ ποιητῶν μεταβῆναι, κἄν πού τι ἐν αὐτοῖς ὅμοιον τοῖς τῶν πρεσβυτέρων ἐθνῶν εὕροι (εὑρήσει δ' οὐχ ἕν, οὐδὲ δύο, ἀλλὰ πάμπολλα), μὴ παγίως πάνυ ἰσχυρίσασθαι, ὡς ἐν Ἑλλάδι ἀρχὴν τὸ πρῶτον ἔσχεν, ὥσπερ καὶ πρότερόν μοι ἄλλοθί που εἴρηται, ἀλλὰ καὶ τὸ οἰκεῖον τοῖς οἰκείοις προσνέμοντα, τὸ κλέος τῶν πάλαι Ἑλλήνων ἀκήρατον διασώζειν ἡγητέον. Ταῦτα δὲ ὅσον οἷόν τ' ἀκρι-

βέστερον ἀνασκεψάμενον καὶ τὰ πάγκαλα καὶ ἐπιστημονικὸν κῦρος μέγα ἔχοντα συγγράμματα τῶν περὶ τὴν ἐπιστημονικὴν σύγκρισιν τῶν γλωσσῶν πρὸς ἀλλήλας ἐνασχολουμένων ἀνδρῶν ἐπιμελῶς πάνυ μελετήσαντα καὶ κατὰ κόσμον καὶ μέτρον συνδυάσαντα, τὸν δ' εἱρμὸν καὶ ἀλληλουχίαν τῶν τῆς καθόλου ἀνθρωπικῆς διανοίας καὶ φύσεως ἔργων ἀνιχνεύοντα, εἰς τὴν τῶν Ἰώνων φυσιολογίαν μετελθεῖν, μηδ' ὁπωστιοῦν αὐτὴν ὡς τῶν πρόσθεν μαθήσεων χωρὶς οὖσαν ἡγησάμενον. Ὅτι μὲν οὖν Θαλῆς ὁ Μιλήσιος τὸ ὕδωρ ἀρχὴν εἶναι τῶν ὄντων ἁπάντων ἔθετο, Ἀναξιμένης δὲ τὸν ἀέρα καὶ Ἡράκλειτος τὸ πῦρ, σαφῶς ἡμῖν οἱ πάλαι παραδιδόασι. Δι' ἣν μέν τοι αἰτίαν τόδε ἢ τόδε ἀρχὴν εἶναι τῶν ὄντων ἕκαστος ἔφη, οὐ πάνυ πιθανῶς λέγουσιν· ἡ μὲν γὰρ αἰτίᾳ ὡς πιθανὴ καὶ αὐτὸς ὁ Ἀριστοτέλης τὸ Θάλητος δόγμα ἀπονέμει, οὐ πάνυ τι προσιέμεθα, πολλῷ δ' ἂν μᾶλλον, οὗπερ αὐτὸς ἐν τῷ αὐτῷ τόπῳ μνείαν ποιεῖται εἰς τοὺς πρώτους θεολογήσαντας τὰ τοιαῦτα ἀναφέρων. (Ἀρις. τῶν μετὰ τὰ Φυσ. Α, κεφ. Γ, σ. 983ϐ 20. τῆς ἐν Βερολ. ἐκδόσ.)· οὐ γὰρ ταῦτα τὰ τῶν πρώτων θεολογησάντων Ὠκεανόν τε καὶ Τηθὺν τῆς γενέσεως πατέρας ποιησάντων ἀλλότρια Ἀσίας τῆς ἀνθρωπομήτορος ἡμεῖς γε εἶναι ἡγούμεθα· ἥκιστα δὲ πάντων τὰ τῶν Ἰώνων φυσιολόγων, κατὰ τὴν μικρὰν Ἀσίαν ἀκμασάντων ἐν χρόνῳ, ὅτε τῶν τῆς Ἀσίας πραγμάτων εἰς τὰ μάλιστα κυμαινομένων, τὰ ἔθνη καὶ πολλῷ μᾶλλον ἢ πρότερον ἀλλήλοις ἐπεκοινώνει (α). Ἀλλὰ

(α) Ῥητέον δέ μοι αὖθις σαφηνείας τούτων τε καὶ τῶν πρόσθεν χάριν ὅτι πολλὰ μὲν παρ' Ἰνδοῖς καὶ ἄλλοις Ἀσιάταις



γὰρ τάγε τοιαῦτα οὐ μετ' εὐχερείας οὐδὲ διὰ βραχέων ἔξεστιν εἰπεῖν, καθ' ὅσον περ οἱ περὶ ταῦτα σοφοὶ οὔπω ἐθέλουσι τὸ μέσον τέμνειν, ἀλλ' εἰς δύο αἱρέσεις ἀποσχισθέντες, ὑπερβολῇ, δοκεῖν ἐμοί, ἑκάτεροι χρῶνται.

Ὁ μὲν οὖν σοφὸς Σελλέριος φησὶν ὅτι μάτην βουλοίμεθ' ἂν τὴν τῆς παρ' Ἕλλησι φιλοσοφίας ἀρχὴν παρὰ

διὰ τὸ ἀρχῆθεν συγγενὲς παραπλήσια τυγχάνει ὄντα τοῖς ἑλληνικοῖς, ὡς ἄρτι εἴρηται, οἷόν που καὶ τὸ τῆς Δραυπαδίης τῆς θυγατρὸς τοῦ ἡγεμόνος τῶν Παντσάλα (Λουγκερίου ἱσ. τῶν πάλαι ἐθνῶν. Τ. Β. σ. 37.) τὴν ἐν Ὀδυσσείᾳ θέσιν τοῦ τόξου εἰς μνήμην ἀνακαλεῖ, ὥς ποτε καὶ ἐν τῇ Πανδώρᾳ ἐγράφομεν (Τ. ΙΑ. σ. 372. κ.φ.ξ.). καὶ πολλὰ δὲ ἄλλα τῆς ὅλης ἐποποιΐας Μαχαβχάρατα τῇ ἡμετέρᾳ διανοίᾳ ἐναργῶς παρίστησι τὰ ἐν Ἰλιάδι ᾀδόμενα, ἐκείνην τὴν μῆνιν τοῦ Ἀχιλλέως καὶ τοῦ Ἀγαμέμνονος καὶ τὰ παραπλήσια.—ἔπιθι πρὸς τοῖς ἄλλοις καὶ τὸ ἔναγχος ἐκδεδομένον σύγγραμμα τοῦ σοφοῦ Καρριέρου «ἡ τέχνη καὶ τὰ ἰδανικὰ τῆς ἀνθρωπότητος.» τ. Α. σ. 412 κ.φ.ξ. — οὐ μέντοι γε ἐκείνῃ τῇ ἀρχῆθεν συγγενείᾳ πρὸς τοὺς Ἀσιάτας διατελοῦμεν τὰ νῦν ἀποδιδόντες καὶ πάνθ' ὅσα παρὰ Πλάτωνι περὶ τὴν πλάνην τῶν ψυχῶν ἤτοι τὴν μετεμψύχωσιν ἡμῖν ὑπαντᾷ· καὶ γὰρ ὅσα μὲν αὐτῆς πρὸς τὰ Ἰνδικὰ καὶ Βραχμανικὰ ἀμηγέπῃ συνᾴδει, κατά τινα λόγον καθολικὸν τοῦτό γε συμβαίνειν πάντως ὑποληπτέον, ᾧ πέφυκεν ὁ τῶν ἀρχῆθεν ὁμοφύλων νοῦς ἐνεργῶν ἕπεσθαι. ἀλλ' ἔςιν ὅμως αὐτῆς καὶ ἄλλα κατὰ μέρος ἓν πρὸς ἓν ὅμοια πρὸς τὰ τῶν Αἰγυπτίων (ὥσπερ τὰ τῶν Ἰώνων πρὸς τὰ ἐξ Ἀσίας), περὶ ὧν γε δὴ οὐκ ἂν ἔχοι τις, οἶμαι, πρὸς περιπύστους Αἰγυπτιολόγους ἀντιλέγων, ἰσχυρίζεσθαι ὡς οὐ κατ' ἐπιμιξίαν παρὰ τῶν Αἰγυπτίων ἀμέσως αὐτὰ ὁ Πλάτων παρέλαβεν, ὡς προσωτέρω τοῦ λόγου δειχθήσεται.

τοῖς κατὰ τὴν Ἀσίαν ἢ Αἴγυπτον πρεσβυγενέσιν ἔθνεσιν ἀναζητεῖν, ἐξὸν αὐτὴν ἐξ αὐτῆς γε τῆς κοινῆς πάντων τῶν Ἑλλήνων φύσεως καὶ διανοίας ἐμφανῶς πάνυ συναγαγεῖν. ὡς ἓν δὲ τῶν ἐναργῶν μαρτυρίων τὴν ὁμηρικὴν ποίησιν προφέρεται (Ἱστ. τ. Ἑλλ. Φιλ. Τ. Α. σ. 34 κ.φ.ξ.). Ὅσα μὲν οὖν ἄλλα τὴν ὁμηρικὴν μοῦσαν, ὡς κοινὴν πάντων τῶν Ἑλλήνων οὖσαν, ἐγκωμιάζει, ταῦτά που πολλοῖς ἤδη τῶν σοφῶν ῥηθέντα, διατελοῦμεν καὶ ἡμεῖς ἀγάμενοι. Ἀλλά γε τὰ Ὁμήρου ποιήματα προδηλοῖ πως αὐτῷ καὶ ἔμφυτόν τινα τοῖς Ἕλλησι ῥοπὴν πρὸς τὸ ζητεῖν τὸ καθόλου, ὅπερ ἔδει πάντως ὕστερον τὴν παρ' Ἕλλησι φιλοσοφίαν παραγαγεῖν. Αὐτό γε δὴ τοῦτο ὅπερ ἡμεῖς οὐδέποτ' ἀποδεξόμεθα, ὅτι ἐν τοῖς Ὁμήρου ποιήμασιν ὑποφαίνεταί τις κλίσις πρὸς τὸ ζητεῖν τὸ καθόλου· οὐδαμοῦ γὰρ τὸ ἄκρον ἐναντίον τούτου, ὥςπερ ἐν τοῖς Ὁμήρου ἔπεσι, καταφαίνεται· οὐδέν τ' ἄλλο ἔθνος τῶν πεπολισμένων, πλὴν εἴ τις τοὺς Ἰνδοὺς ἐξέλοι, τοσαύτην ῥοπὴν πρὸς τὸ μερίζειν καὶ κατακερματίζειν τὸ καθόλου ὂν ἀνέδειξεν, ὥσπερ τὸ ἑλληνικόν (α). Αὕτη ἡ ἕξις καὶ φύσις τοῦ ἀντιλαμβάνεσθαι τῶν καθ' ἕκαστον ἄνευ συναφείας πρὸς ἄλληλα, διήκει διὰ πάσης τῆς ἑλληνικῆς ἱστορίας, καθόλου νοουμένης ἀπὸ τῶν παλαιτάτων αἰώνων μέχρι τῆς τελευτῆς ὡς τὸ κατὰ σμικρὸν ἐνεργοῦν δηλητήριον, ὅπερ ἔμελλεν αὐτοὺς καὶ παντάπασι καταλῦσαι (β). ταῦτα δὲ

(α) Πρβλ. καὶ Βερνάρδυος ἱςορίαν τῶν παρ' Ἕλλησι λεκτικῶν τεχνῶν, Μ. Αον σ. 38 καὶ 219 τῆς γης ἐκδόσ.

(β) Λέγουσί τινες ὅτι οἱ Ἕλληνες τῷ κοινῷ ἀγαθῷ τὰ πάντα προςέφερον, τοῦ κοινῇ συμφέροντος κηδόμενοι καὶ αὐτὸ δὴ



λέγων ἐξαιρῶ λόγου τοὺς κατὰ καιρὸν ἄλλως φιλοσοφήσαντας (α)· ἐπεὶ ἐνταῦθα ὁ Σελλέριος τρόπον τινὰ αὐτῇ γε τῇ φύσει τοῦ ἑλληνικοῦ δήμου ὡς ἑπομένην τὴν φιλοσοφίαν βούλεται καταδεῖξαι.

Πρῶτον μὲν οὖν ὡς ἐν παρόδῳ μοι εἰρήσθω ὅτι ὃν ἔπαινον ὁ Σελλέριος τῆς ἑλληνικῆς φαντασίας ποιεῖται (σ. 35.), ὡς ἀεὶ τὸ μέτρον ἐκ νηπίων ἐχούσης κατὰ τἀναντία πρὸς τὴν θερμουργὸν καὶ τερατώδη φαντασίαν ἄλλων ἐθνῶν ὑπεμφαίνει μοί πως ὅτι ἡ ἑλληνικὴ φύσις οὐ πάνυ τι τῷ καθόλου διεχεῖτο, ὅπερ τὴν τῶν ἀπαιδεύτων ἐθνῶν φαντασίαν ἐξάπτει καὶ ἐκφλογίζει, ὡς τερατώδους καὶ φρικαλέου αὐτοῦ τὸ πρῶτον ἀντιλαμβανομένην. Ὡσαύτως δὲ καὶ ἣν γαλήνην τε καὶ ἁρμονίαν ἡ τῶν Ἑλλήνων ψυχὴ πρὸν τὴν ἀνθυφεστῶσαν φύσιν καὶ

τοῦτο καθολικοὶ ἄνθρωποι ὄντες, τῶν δὲ ἰδίᾳ συμφερόντων σχεδόν τι ὀλιγωροῦντες· εἶτα δ' αἴφνης ἐφαλλόμενοι, ἀποφαίνονται ὅτι οἱ νεώτεροι φίλαυτοί τινές εἰσιν, ὡς τὸ ἴδιον μὲν σκοποῦντες, τῶν δὲ κοινῶν ὡς γ' ἐπὶ τὸ πλῆθος ἀμελοῦντες. Ἀναστρεψάτωσαν ταῦτα, εἴπερ αὐτοῖς μέλει τἀληθῆ λέγειν· πᾶν γὰρ τοὐναντίον τοῦ ἀληθοῦς ἐπορίσθησαν ἐκ τοῦ ζήλου ἐξαπατηθέντες, μεθ' οὗ οἱ πάλαι ὑπὲρ τοῦ ἑαυτῶν δήμου ἠγωνίζοντο. ἀλλ' ὁ νέος ἄνθρωπος ὑπὲρ ἑαυτοῦ, ὡς ἰδίᾳ ἀνθρώπου, ἀγωνιζόμενος, ὑπὲρ τῆς καθόλου ἀνθρωπότητος ἀγωνίζεται, καθόλου καὶ ὁ ἰδίᾳ ἄνθρωπος ὤν, ἐν Χριστῷ φιλάνθρωπος. Εἴ τις τοίνυν τῶν νῦν δὴ ἀνθρώπων εἰς φιλοπατρίαν βουλόμενος ἐξοτρύνειν, τὰ τῶν πάλαι γνωματεύματα εἰς μέσον φέρει, ἴσω ὅτι γέλωτα τοῖς εἰδήμοσιν ὀφλισκάνει, ῥήματα ἕτοιμα καὶ εὔηχα τῇ γλώσσῃ προφέρων, ὧν τὴν ἀληθῆ ἔννοιαν, ἅτε ἐν ἀμαθίᾳ οἰκτρῶς κυλινδούμενος, οὐδ' ὁπωςτιοῦν νοεῖ.

(α) Πρβλ. Βερν. ἔν. ἀν. Μ. Αον σ. 411.

θρησκείαν αὐτῶν εἶχεν (σ. 37.), ἥκιστα ψυχὴν ἐμφαίνει τὸ ἄπειρον ζητοῦσαν καὶ τὴν ἐνέργειαν αὐτοῦ συναισθανομένην, ὅπερ ἀγῶνα ἐσωτερικὸν πρὸς τὸν ἐξωτερικὸν κόσμον ἀεὶ ἐπεγείρειν πέφυκεν. ὁ θειότατος Πλάτων μαρτυρεῖ μου τῷ λόγῳ διαπρυσίως.

Ἀλλὰ κύριον λόγον ὁ σοφὸς Σελλέριος πρὸς ἀπόδειξιν τοῦ πρόσθεν λεχθέντος τόνδε εἰς μέσον προτείνει. πάντων γάρ, φησί, τῶν ἑλληνικῶν θεῶν ὥς τι Ὂν ἀνώτατον καὶ δεσποτοῦν ἀναφαίνεται ἡ Μοῖρα, ἡ Εἱμαρμένη, ἥν γε δὴ (προςθείην ἂν ἔγωγε) καί τινες τῶν ὕστερον περιφανεστάτων φιλοσόφων Ἀνάγκην ὕμνησαν.

Ἀλλ', ἐροίμεθ' ἄν, τοῦτο δὴ τὸ Ὂν, ἡ Μοῖρα ἐξ αὐτῆς ἆρά γε τῆς ἑλληνικῆς διανοίας παρήχθη, τὰς τῶν καθ' ἕκαστον θεῶν ἰδέας ἀλλήλαις συναρμοζούσης, ὥςπέρ τις νόμος τοῦ σύμπαντος καθολικώτατος; Ὤφθη ἄρα τὸ ἑλληνικόν, ἐν σπαργάνοις ἔτι ὄν, τελέως φιλοσοφῆσαν, εἴπερ κατὰ διάνοιαν ἐναργῆ ἐκ τῶν καθ' ἕκαστον τὸν καθόλου τοῦ Σύμπαντος νόμον ἀνεῦρε τὸν ἠθικόν· ἢ πολλῷ μᾶλλον ὧδε ῥητέον, ὅτι ἐκείνη ἡ ἰδέα ὅλως ἄσχετος μὲν οὐκ ἦν (ὡς ἂν ἡμεῖς γε φαίημεν) πρὸς τὰς τῶν καθ' ἕκαστον θεῶν, ἀλλὰ σκοτεινή τις συναίσθησις, ἀπηρχαιωμένη ἰδέα, ἀνατολικὸν δόγμα, ὑπ' αὐτῶν ἴσως τῶν Ἑλλήνων εἰς Ἑλλάδα κομισθὲν, οὗτινος ὕστερον οἱ Ἕλληνες ὅσῳ μᾶλλον ἠλλοτριοῦντο, τοσούτῳ καὶ τῆς Ἀσιατικῆς χαυνότητος ἀπηλλάσσοντο;

Ὁ Σοφὸς Οὐέλκερος ἐν τῇ ἑλληνικῇ θεολογίᾳ (Τ. Α. σ. 183 κ.φ.ξ, 180.) τὴν Αἶσαν καὶ Μοῖραν μετὰ τοῦ ἐπιθέτου *θέςφατον* συνάπτων, θεὸν δὲ καὶ θεῖον ταὐτόσημον εἶναι τῷ Διῒ παρ' Ὁμήρῳ προαποδείξας, ἑρμηνεύει αὐτὴν ὡς *βουλὴν* τρόπον τινὰ τοῦ Διός, οὐδέν τι κοινὸν ἔχουσαν πρὸς τὴν Εἱμαρμένην ἢ Πεπρωμένην αὐτὴν καθ' αὑτὴν ὥς τι Ὂν τυφλὸν ὑπὸ τῶν ὕστερον νομιζομένην. καὶ συχνὰς χρήσεις Ὁμηρικὰς



ἐπιμαρτύρεται, τὰς μαρτυρίας διασαφῶν καὶ εἴ πού τι ἀντιφατικὸν ἐν αὐταῖς δοκοίη, τὴν ἀντίφασιν σοφῶς διαλύων, ὡς ὅτε ὁ Ζεὺς ἐν κλόνῳ ἀμφιδηρίτῳ μάχης δεινῆς τὰ χρύσεια τάλαντα ἐν χερσὶ λαβὼν, ἐτίθει δύο κῆρε τανηλεγέος θανάτοιο καὶ ζυγοστατήσας, εἶδε ῥέπον *αἴσιμον* ἦμαρ Ἀχαιῶν (Ἰλ. Θ, 70.), καὶ ὅτε αὖθις δύο κῆρας τὴν μὲν Ἀχιλλῆος, τὴν δ' Ἕκτορος ἱπποδάμοιο τὸν αὐτὸν τρόπον σταθμησάμενος, ἐνόησε ῥέπον *αἴσιμον* ἦμαρ Ἕκτορος, καὶ οὗτος ὁ δείλαιος παραυτὰ ᾤχετο εἰς Ἀίδαο, λίπεν δὲ ἑ Φοῖβος Ἀπόλλων, (Ἰλ. Χ.) ταῦτα καὶ ἄλλα παραπλήσια ἀντιφατικῶς ἔχειν δοκοῦντα πρὸς τὴν ἑαυτοῦ δόξαν, ἄλλους σοφοὺς ἄνδρας ἐπανορθῶν ὁ ἐν ἐπιστήμαις Νέστωρ, θαυμάσια ἑρμηνεύει λέγων, μηθὲν ἄλλο σημαίνειν, πλὴν ὅτι ὁ Ποιητὴς ποιεῖ καὶ τὸν θεὸν ἐπὶ θάτερα τὴν γνώμην ταλαντεύεσθαι, διάνδιχα μερμηρίζοντα κατὰ φρένα καὶ κατὰ θυμὸν, οὐχ ὥςπερ ὁ Ἀχιλλεὺς διὰ μῆνιν πρὸς τὸν Ἀγαμέμνονα, ἀλλ' ὁτὲ μὲν εὐσπλαγχνίᾳ κινούμενον καὶ φιλανθρωπίᾳ, ὁτὲ δὲ καὶ αὐτῆς ἕνεκα τῆς ἀξίας τῶν μελλόντων ἀπολεῖσθαι· ἐπεὶ καὶ ὁ Ζεὺς, φήμ' ἐγὼ, οὔτοι λίθος ἐγεγόνει, οἷον Κρόνος ἀφραδίῃσιν ἑῇσι φθάσας κατέπιεν, ἀλλ' ἐν Ἀσίᾳ καὶ οὗτος παρ' ἀνθρώποις ἐξελοχεύθη, ἐν δ' Ἕλλησιν ἀπεγαλακτίσθη καὶ κατὰ σμικρὸν ἐτράφη ὑφ' Ἑλληνίδος, τῆς τὰ πάντα ἀνθρωποποιούσης φαντασίας. ἔτι δὲ καὶ τὴν τῆς Ἀθηνᾶς πρὸς τὸν Τηλέμαχον νουθέτησιν ὧδε ἔχουσαν,

Ὀδυσσ. Γ. 236. ἀλλ' ἤτοι θάνατον μὲν ὁμοίιον οὐδὲ θεοί περ
καὶ φίλῳ ἀνδρὶ δύνανται ἀλαλκέμεν, ὁππότε κεν δὴ
μοῖρ' ὀλοὴ καθέλῃσι τανηλεγέος θανάτοιο·

δύναμιν καὶ ταύτῃ τῇ ῥήσει ὁ σοφὸς ἀνὴρ ἑρμηνεύων, ἀποδίδωσι τοιάνδε, ὅτι τὸ γενόμενον οὐδ' ἂν θεὸς σθένοι ἀγέννητον αὖθις θεῖναι, «τὸ γὰρ γεγενημένον οὐκέτ' ἄρεκτον ἔσται.» ἄλλας δὲ φράσεις Ὁμηρικὰς ὡς σχήματα ὑπερβολῆς ποιητικῆς ἢ περιγραφῆς ὀρθότατα ἐκλαμβάνει, τὸ *ὑπὲρ μοῖραν*, *ὑπὲρ Διὸς αἶσαν*, καὶ τὰ παραπλήσια. οὕτως οὖν Οὐέλκερος ὁ σοφὸς ἀπέδειξεν ὅτι ἡ Αἶσα καὶ Μοῖρα οὔτε τι τοῦ Διὸς ὑπέρτερον παρ' Ὁμήρῳ ἐστὶν, οὔτε ὅλως ἐκτὸς αὐτοῦ ὑπάρχον, καθάπερ ἡ ὕστερον Εἱμαρμένη, ἀλλ' ἐν αὐτῷ τῷ Διῒ ὡς βουλὴ καὶ νόος αὐτοῦ *διὰ πάντων* ᾄδεται. Διατελοῦμεν ἀεὶ καὶ διατελέσομεν ἔςτ' ἂν πνέωμεν θαυμασταὶ ὄντες τούτου τοῦ τηλαυγοῦς τῆς σοφίας ἀστέρος. εἰ δὲ πού τι ἀποροῦμεν, θέμις, οἶμαι, ἐρωτᾷν. πρῶτον μὲν οὖν ἀνυποστόλως ὁμολογοῦμεν ὅτι τὸ τοῦ Αἰσχύλου περὶ τοῦ Διός, «ὃς πολιῷ νόμῳ αἶσαν ὀρθοῖ,» οὐ πάνυ κατὰ τὴν Ὁμήρου μοῦσαν λεχθέν μοι δοκεῖ, ἀλλ' ὁ Αἰσχύλος τὰς τῶν πρόσθεν δόξας ἐπανορθῶν καὶ ἐπὶ

τὸ ἠθικώτερον τελειῶν ἐν πολλοῖς ἄλλοις πολλῷ ἀξιομνημονευτοτέροις φαίνεται, ἴσως δὲ καὶ ἐν τούτῳ τῷ φθέγματι, φαίη τις ἄν, οὐχ ἧσσον· ἀλλὰ καὶ ὁ θεῖος Πίνδαρος «τὸ μόρσιμον Διόθεν πεπρωμένον,» ἡδὺ κελαδῶν, ὥσπερ καὶ εἴωθεν, οὐ πάνυ ἐλέγχεται οὕτω τὸν νοῦν τῷ ἐτύμῳ τοῦ μόρσιμον ἔχων, ὥστε καὶ τῇ Ὁμήρου ἀντιλήψει συμφωνεῖν, ἄλλως ἥκιστά γε ἀνθρώπων αὐτῷ συμφωνῶν. τὴν δὲ Μοῖραν καὶ Αἶσαν παρ' Ὁμήρῳ οὕτω πως ἡμεῖς γε δυναίμεθ' ἂν νοεῖν, ὅτι ἐστὶν ἡ ὑπ' Ἀνάγκης τινὸς ὑπερτάτης, οὐ μέν τοι πω τελέως ἠθικῆς, τεταγμένη ἑκάστῳ μερὶς ὑπάρξεως. διὸ καὶ περιέχοι ἂν ἐν ἑαυτῇ, ταύτῃ γε τῇ ἐκδοχῇ ἀκολούθως, ἀρχὴν ἤτοι γένεσιν, τελευτὴν ἤτοι θάνατον καὶ τοιάνδε ἢ τοιάνδε συντήρησιν ἢ σωτηρίαν πάντως τοῦ ζῆν. ἄλλως τε ὁ Ὅμηρος δοκεῖ ἡμῖν ἐπ' ἀδείας πολλῆς ἤδη, ἀτημελέστερον καὶ τρόπον τινὰ δημοτικώτερον τά τε ὀνόματα καὶ τὰς ἐννοίας ἀλλήλαις ἐπιπλέκειν, πολλάκις δὲ καὶ τῆς ἀρχῆθεν ἐννοίας ἄλλων τε πολλῶν ἐπιλελῆσθαι, ὡς προσωτέρω τοῦ λόγου εἰρήσεται, ἴσως δὲ καὶ τῆς ἀμήχανον ὅσον χρόνον πρὸ αὐτοῦ παρὰ τοῖς Ἀσιάταις νομιζομένης Μοίρας ἢ Ἀδραστείας, ὡς τοῦ πρώτως καὶ κατ' ἀνάγκην ὄντος, τῷ ληρῴδει ῥεύματι τῆς ἐπικλυζούσης μυθολογίας μᾶλλον καὶ μᾶλλον παραδιδόμενος. κινδυνεύομεν τοίνυν ἡμεῖς γε ἐν ὑποψίᾳ ποιεῖσθαι τὴν Ὁμήρου λέξιν καὶ τὴν τῶν ὀνομάτων πλοκὴν μὴ ἥκιστά γε σαφῶς καὶ τὸ τῆς Μοίρας δηλοῖ, ὡς ἔχει πρὸς τὸν Δία, ἀλλὰ καὶ διὰ λήθην τινὰ καὶ ἀτημέλειαν οἵαις ταῖς πρόσθεν ῥηθείσαις ἀντιφάσεσι περιπίπτῃ. ὅτι μὲν οὖν τὴν μοῖραν καὶ τοῦ Θεοῦ τὴν βούλησιν ἢ ἐνέργειαν ὡς ἓν καὶ ταὐτὸν ἡ Ὁμήρου λέξις ἔστιν ὅτε ᾄδει, ἐπιεικῶς ἂν δηλοίη, πλὴν τινων ἄλλων, καὶ τὸ τοῦ Ἕκτορος, ὅπερ πρὸς Ἀχιλλέα ἐσχάτως ἀγωνιζόμενος ἐφώνησεν·

Ὢ πόποι, ἦ μάλα δή με θεοὶ θάνατόν δε κάλεσαν·
Ἰλ. Χ, 300. ἐγγύθι μοι θάνατος κακὸς οὐδέ τ' ἄνευθεν,
οὐδ' ἀλέη· ἦ γάρ ῥα πάλαι τό γε φίλτερον ἦεν
Ζηνί τε καὶ Διὸς υἱεῖ ἑκηβόλῳ, οἵ με πάρος γε
πρόφρονες εἰρύατο· νῦν αὖτέ με μοῖρα κιχάνει.

ἀλλ' ὅπερ ἔγωγ' ἂν μάλιστα βουλοίμην ἐρέσθαι τὸν ἐπιεικέστατον τῶν σοφῶν, ὡς εἰώθειν ποτὲ ἐγγύθεν ἐρωτᾶν καὶ τὰ κάλλιστα παρ' Αὐτοῦ μανθάνειν, τόδε ἐστὶν ἔν τε τούτῳ τῷ φθέγματι τοῦ Ἕκτορος καὶ ἐν ἄλλοις πολλοῖς, περὶ τοῦ σχήματος, λέγω, τῆς φράσεως ὡσαύτως συχνάκις εἰς χρῆσιν ἐπανιόντος, πρὸς τί δὴ οὖν τὰ ὀνόματ' ἐκεῖνα, μοῖρα καὶ αἶσα καὶ τὰ παραπλήσια, πρὸς τίνα λόγον ἡ προσωποποίησις αὕτη ἡ ἔμμεσος καὶ παντάπασιν ἑτερώνυμος τῆς βουλῆς ἢ βουλήσεως τοῦ Διὸς μὴ ὅτι γε μόνον, ἀλλὰ καὶ τῆς Ἥρας, εἰ δὲ βούλει, καὶ τοῦ θείου καθόλου καὶ ἀορίστου (αὐτ. σ. 187, 188) ὅπερ ἂν καὶ πλείονας ἀντιλήψεις παρέχοι; τὸ σχῆμα, λέγω, τοῦτο τί μάλιστ' ἂν ἐμφαίνοι; καὶ ἐπ' ἀμφοτέρων τῶν πρόσθεν παραδειγμάτων, ἐν οἷς ὁ Ζεὺς τὰς κῆρας ἕλκει, κύριος ἢ κοσμήτωρ φαίνεται τούτων πάντως τῶν κηρῶν, ἃς ζυγοστατεῖ, ἀλλὰ κύριος αὐτῶν τρόπον τινὰ ὡς νομισμάτων, ἅπερ ἄλλος τις καὶ ἔκοψε καὶ ἐχάραξε. ῥητέον δέ μοι οὐδὲν ἧσσον καὶ τόδε, ὡς εἴπερ ἡ Μοῖρα ταὐτὸν ἀεὶ παρ' Ὁμήρῳ ἦν τῇ τοῦ Διὸς βουλῇ, διὰ τί ἆρά γε ἡ Θέτις οὐκ ἐλίσσατο τὸν Δία, ὃ μάλιστ' αὐτὴν ἐλύπει, τὴν ταχεῖαν Αἶσαν τοῦ φιλτάτου παιδὸς παρατρέψαι, ἀλλὰ τοῦτο μὲν τὸ πένθος καὶ αὐτὴ ὡς ἀμετάτρεπτον νομίζουσα λέγει,

« τίμησόν μοι υἱόν, ὃς ὠκυμορώτατος ἄλλων

ἔπλετο; τοῦτο δ' ἂν εἴη ἰσοδύναμον τῷ εἵμαρται, πέπρωται αὐτῷ ὠκεῖ μόρῳ ὀλέσθαι. τοιόνδε τί που ἄρα ἐρωτῶμεν, μὴ αὐτὴ ἡ Ἰδέα τῆς Εἱμαρμένης, ὕστερον πολλῷ μᾶλλον τελειωθεῖσα, αὐτὸ τοῦτο ὡς ἰδέα ἀπηρχαιωμένη, μὴ οὐ πάμπαν ἀλλοτρία ὑπάρχῃ τοῦ ἑλληνικοῦ δήμου καὶ ἐπὶ Ὁμήρου ἤδη, καί πως ἐνυπολανθάνουσα μὴ ᾖ ἐν τῷ ὁμηρικῷ οἰκοδομήματι, ὥς περ λείψανα ἀρχαιοτέρου ναοῦ εἰκῇ καὶ ὡς ἔτυχεν ἄλλῳ ναῷ ἐνδεδομημένα πολλῷ νεωτέρῳ. Εἰ δ' αὐτὴ ἡ Μοῖρα οὐδεμιᾶς λατρείας, οὔτε ναῶν, οὔτε βωμῶν παρὰ τοῖς Ἕλλησιν ἠξίωτο, παρ' Ὁμήρῳ δὲ οὐδὲ τιμῆς τινος ἰδίας ὅλως, οὐδὲν θαυμαστόν· ταὐτὸν γὰρ πεπόνθασι καὶ πολλοὶ ἄλλοι παρ' ἄλλοις ἔθνεσι θεοὶ οἱ χρόνῳ παλαίτατοι, ὡς ἄλλοθί που ῥηθήσεται. Ἴσως οὖν ἡ περὶ σκοτεινῆς τινος Εἱμαρμένης ἢ Μοίρας δόξα τῶν Ἑλλήνων εἰς αἰῶνα πολιώτερον τὴν ἀρχὴν ἀνάγει ἢ ἡ περὶ αὐτοῦ τοῦ Διός, οἷόν γε παρ' Ὁμήρῳ ὁρῶμεν ἀνθρωποειδῆ τε ἤδη ὄντα καὶ ἀνθρωποπαθῆ εἰς ἄκρον. Ἡράκλειτον δὲ πρῶτον καὶ πολλῷ ὕστερον τοὺς Στωϊκοὺς ἡμεῖς γε σαφῶς ἴσμεν τὴν Εἱμαρμένην τῷ λόγῳ τῷ κοινῷ, τῇ προνοίᾳ καὶ βουλῇ τοῦ Διὸς εἰς ταὐτὸν συναρμόζειν προθυμουμένους, ὡς μήπω γνωστῆς οὔσης παρ' Ἕλλησι πρότερον τῆς τοιαύτης συναρμογῆς, οὐ μέν τοι γε καὶ οὕτως δεδομένον ἦν, δοκοῦμεν, τῇ ἰνδοευρωπαϊκῇ φυλῇ, τὸν φυσικόν, ὕστερον δὲ καὶ ἠθικὸν ἅμα νόμον τὸν ἀνώτατον τῇ βουλήσει ἑνὸς Θεοῦ προσωπικοῦ, φαμέν, εἰς ταὐτὸν συνάπτειν, ἀλλὰ τουτὶ τὸ γέρας ἡμεῖς τῇ Σημιτῶν φυλῇ προσνέμομεν, αὐτοῖς τε τοῖς Ἰσραηλίταις καὶ μακρῷ ὕστερον τοῖς ὁμοφύλοις Ἄραψιν, ἡνίκα παρὰ τοῖς Ἄραψι καὶ φιλοσοφικὴ αἵρεσις ἀνέλαμψεν ἰδίᾳ τοῦ Ἀσσαριάχ καλουμένη, τὴν Εἱμαρμένην καὶ πεπρωμένην νομίζουσα, καὶ ταυτηνὶ τὴν Εἱμαρμένην ὡς καὶ πάντων τῶν Ὄντων τὰς αἰτίας εἰς τὴν ὄντως βούλησιν τὴν ἠθικὴν τοῦ Ἑνὸς Θεοῦ ἀναρτῶσα.

Ἀλλὰ καὶ περὶ τοῦ Διὸς ὡσαύτως ἡμῖν δοκεῖ ὅτι καθ' ὅσον ἄν τις ἐπὶ πλέον τοῦ παρελθόντος χρόνου ἐπανίῃ, τόσῳ μᾶλλον τὴν τοῦ Διὸς ἰδέαν καθολικωτέραν ἀνευρίσκει.

Ὁ μὲν οὖν σοφὸς Ῥενᾶν ἐν τῇ παγκάλῃ «Ἱστορίᾳ τῶν Σημιτικῶν γλωσσῶν» μόνῃ τῇ Σημιτικῇ φυλῇ ὡς ἀρχῆθεν φύσει προσήκουσαν τὴν Μονοθείαν προσνέμει (Τ. Α. σ. 5 κ.φ.ξ.—πρβ. καὶ «Μελέτας Θρησκευτικὰς» σ. 273. — καὶ πολλαχοῦ τῶν καλλίστων αὐτοῦ συγγραμμάτων)· τῆς δὲ Ἰνδοευρωπαϊκῆς φυλῆς κυριώτατον γνώρισμα τὴν Πολυθείαν εἶναι λέγει. — Παραπλησίως δὲ τῷ Ῥενᾶνι ἀποφαίνεται περὶ Ἀράβων (φύλου Σημιτικοῦ, ὡς τοῖς Ἑλλήνων παισὶν ἑρμηνεῦσαι) καὶ ὁ σοφὸς Σπρεγγέριος, ὧδέ πως λέγων· Εἰ καὶ φῦλά τινα Ἀραβικὰ τὸν Ἥλιον καὶ τὸν Σείριον θεοὺς εἶναι ἐνόμιζον, καθόλου μέντοι εἰπεῖν, ἡ τῶν Ἀράβων πολυθεΐα ἐν τούτῳ μάλιστα ἦν· Ἀλλὰχ γὰρ τῷ Θεῷ τῶν κόσμων πνεύματα, Γίνν περιπολοῦντα προςένεμον, ὧν ὥςπερ Σάγχ (Σέχης) ἡγεῖτο, ταῦτα δὲ τὰ πνεύματα προςάται καὶ γενέθλιοι θεοὶ ἦσαν. ἐπεὶ δὲ τοῖς ἀνθρώποις μᾶλλον ἐπλησίαζον ἢ αὐτὸς ὁ Θεὸς τῶν κόσμων, σχεδόν τι αὐτὰ μόνα τιμῆς τε καὶ λατρείας παρ' Ἄραψιν ἠξιοῦτο. Ἀλλ' οἱ Ἄραβες, ὥςπερ πάντα τὰ ἀπαίδευτα καὶ οὔπω ἥμερα ἔθνη σύμβολα χειροποίητα ἢ αὐτόματα προσεκύνουν. ταῦτα δὲ τὰ χειροποίητα τὸν αὐτόν που λόγον πρὸς τὰ πνεύματ' ἐκεῖνα εἶχεν, ὅνπερ τὰ λείψανα καὶ εἰκονίσματα τῶν καθολικῶν πρὸς τοὺς ἁγίους· παρὰ μὲν γὰρ τοῖς σοφωτέροις σύμβολα ἦν ἁπλᾶ, παρὰ δὲ τοῖς ἁπλουστέροις ὄντα ὑπερφυσικὰ καὶ ὅλως θείαν ἔχοντα δύναμιν.» Διὸ οὐκ ἂν ἔχοι τις εἰπεῖν ὅτι οἱ Ἄραβες πολύθεοι ἦσαν τὸ πρῶτον, ἀλλὰ κυρίως ἕνα θεὸν ὑπέρτατον τὸν Ἀλλὰχ ἐπρέσβευον, τῶν πνευμάτων ἐκείνων προϊστάμενον. ἔπιδε «βίον καὶ διδαχὴν τοῦ Μοχαμμὰδ», Τ. Α. σ. 15, κ.φ.ξ.— Ὁ δὲ σοφὸς Στεϊνθάλιος ἐν τῷ ἀξιολογωτάτῳ πονήματι, τοιάνδε που ἐπιγραφὴν ἔχοντι «κυριώτατοι χαρακτῆρες τῶν τῆς γλώσσης τύπων» (σ. 242.), λέγει ὅτι καὶ αὐτοὶ οἱ Ἰσραηλῖται πολύθεοι ἦσαν τὸ πρῶτον. Καὶ ὁ σοφὸς Κούνιος ἐν τῇ θαυμασίᾳ πραγματείᾳ περὶ τῆς τοῦ πυρὸς καταπτώσεως καὶ τοῦ θείου ποτοῦ (σ. 3.) ἀποφαίνεται ὅτι πάντα τὰ Ἰνδοευρωπαϊκὰ φῦλα τὸ τοῦ Θεοῦ ὄνομα καὶ κατὰ πληθυντικὸν ἀριθμὸν ἔχοντα, πολύθεα ἦν. Τὴν αὐτὴν δὲ γνώμην ἔοικε καὶ ὁ σοφὸς Οὐεβέριος ἔχειν ἐν τῇ ἱστορίᾳ τῆς τῶν Ἰνδῶν φιλολογίας (σ.4.).— Ἀλλ' ὁ σοφὸς Κοιππένιος ἐν τῷ περὶ τῆς θρησκείας τοῦ Βούδδα ἕνα θεόν φησι κατ' ἀρχὴν τὸ ἀνθρώπειον πᾶν ἐγνωκέναι, τὸ δὲ Ἰνδογερμανικὸν φῦλον τὸν αἰγλήεντα οὐρανὸν καὶ τὸ ἐν οὐρανῷ φῶς πρῶτον θεὸν πρεσβεῦσαι (Τ.Α.σ.3.), σοφώτατα λέγων, ὥςπερ καὶ ὁ περίπυστος Λάσσην ἐν τῇ Ἰνδικῇ ἀρχαιολογίᾳ (Τ. Α. σ. 756.) ἱκανῶς ὑποδείκνυσι. Τούτου οὖν ἕνεκεν καὶ τὴν τοῦ Διὸς ἰδέαν καθ' ὅσον εἰς τοὺς παλαιτάτους χρόνους προσαναβαίνομεν κατὰ τοσοῦτον καθολικωτέραν εὑρίσκομεν, ὡς ὁ σοφὸς Οὐέλκερος λέγει (α). Ἀλλ' ἐν τῷ αὐτῷ τόπῳ φησὶν ὁ

(α) Θεολογίας Ἑλληνικῆς, Τ. Α^ου^, σ. 180. Ἀλλ' οὐκ ἂν ἔχοιμεν, ὡς ἐγῷμαι, τοῦτον τὸν ἕνα φυσικὸν θεὸν ἤτοι τὸ φῶς τῇ ὁπωςδήποτε ἠθικῇ ἰδέᾳ τῆς Εἱμαρμένης ἢ Μοίρας συγχέαι. τὸ γὰρ δέον εἶναι καὶ γίγνεσθαι οὐ τῇ πρώτῃ τῆς συναισθήσεως διαχύσει σύγχρονον ἡμεῖς γε εἶναι

Οὐέλκερος ὅτι ἡ τῶν Ἑλλήνων διάνοια ἐν τοῖς Ὁμήρου ἔπεσιν τοὺς Θεοὺς ἐν Ὀλύμπῳ ἐκ νέου ἀλλήλοις συνήρμοσε καὶ τρόπον τινὰ ἑνότητ' αὐτῶν ἀπέδειξεν, ὅπερ πάντως τῇ πρόσθεν λεχθείσῃ γνώμῃ τοῦ σοφοῦ Σελλερίου οὐκ ὀλίγον ἐπικουρεῖ, εἰπόντος ὅτι φύσει πως τὸ ἑλληνικὸν τὸ καθόλου καὶ τὴν μονάδα ἐζήτει. Ἀλλὰ μέντοι τολμητέον καὶ τάδε.

Φιλεῖ γὰρ πώς, φαμεν, τὸ ἀνθρώπειον κατ' ἀναλογίαν ἢ ἀντίθεσιν πρὸς τὰ παρόντα συναισθάνεσθαί τε καὶ συνεικάζειν τά τε ἀΐδια καὶ τὰ μέλλοντα, τά τε θεῖα καὶ τἀνθρώπεια. Καὶ γὰρ οἱ τὰς ἡλιοκαεῖς τῆς Ἰνδικῆς πεδιάδας οἰκοῦντες, πόῤῥωθεν τὰς τοῦ Ἠμωδοῦ νιφαργεῖς κορυφὰς χρυσανταυγῆ παιζούσας παίγνια πρὸς τὰς τοῦ Φοίβου ἀκτῖνας ὁρῶντες, τὸν δὲ ψυχεινὸν ἄνεμον ἀπὸ τοῦ αἰθρηγενέτου Βοῤῥᾶ πνέοντα προσδεχόμενοι, πρὸς Βοῤῥᾶν τῶν τε Θεῶν καὶ τῶν μακαρίων ἀνδρῶν τὰ ἐνδιαιτήματα ἐποίησαν· τὴν δὲ τοῦ θανάτου χώραν πρὸς

---

ἡγούμεθα, ἀλλὰ καὶ πολλῷ ὕστερον. καὶ ὡς ἂν σαφῶς τὴν ἡμετέραν δόξαν τούτου πέρι διατυπώσωμεν, ὧδε ῥητέον· ὅτι πρεσβυτάτην μὲν πασῶν ἔκφανσιν τῆς θρησκευτικῆς συναισθήσεως παρὰ τῇ ἰνδοευρωπαϊκῇ φυλῇ ταυτηνί φαμεν τὴν φυσικὴν μονοθεΐαν γεγονέναι· μέσην δὲ τῷ χρόνῳ τὴν διὰ τῆς Εἱμαρμένης, ὡς φυσικῆς μὲν τὸ πρῶτον ἀνάγκης δεσμοῖς ἀδαμαντίνοις τὰ ὄντα πάντ' ἀλλήλοις συνειρούσης, πολλῷ δ' ὕστερον κατὰ σμικρὸν ἀεὶ ἐπὶ τὸ ἠθικώτερον τελειωθείσης· τρίτην δὲ τῷ χρόνῳ φαμὲν, οἵαν περ τὴν παλαιτάτην παρὰ τοῖς Ἕλλησι τοῦ Διὸς ἰδέαν (ὥσπερ τὴν τοῦ Ἴνδρα παρὰ τοῖς Ἰνδοῖς) πρεσβυτέραν τε τοῦ Ὁμηρικοῦ Διὸς οὖσαν καὶ, ὡς εἰκὸς, καθολικωτέραν. ἀλλὰ τούτων γε πέρι τὰ δέοντ' εἰσαῦθις ἐν τόπῳ οἰκειοτέρῳ.



μεσημβρίαν, ἐξ ἧς γε τὸ καῦμα καὶ οἱ τυφῶνες καὶ αἱ λαίλαπες εἰς τὴν ἑαυτῶν ἐνέβαλλον. Τό τε Ζενδικὸν καλούμενον φῦλον ἐπὶ τῶν ἀκροτάτων κορυφῶν τῆς πρωτογενοῦς χώρας (Ἀϊργανέμ—Βαϊϳό) ἐπὶ τοῦ ὄρους Χαρᾶ Βερεζαϊτὶ τὸ ἐνδιαίτημα τοῦ Ὡρομάζου (Πλάτ. Ἀλκ. Α. σ. 121.), Ἀχουραμάσδα, τοῦ τῶν ἀγαθῶν δοτῆρος ἐτίθεσαν· πρὸς δὲ δυσμάς τε καὶ Βοῤῥᾶν τὸ βασίλειον τοῦ Ἀριμᾶνος, Ἀγγραμαϊνγοὺς, τοῦ κακόφρονος, κακὸν ἐν φρεσὶ τολυπεύοντος, ὃς πᾶν κακὸν συμπάσῃ τῇ φύσει καὶ τῷ ἀνθρώπῳ προξενεῖ καὶ τῷ ἀγαθοδαίμονι ὅλως ἀντιφέρεται, ἐκ τῆς ἀγρίας φύσεως καὶ οὗτοι τῶν τόπων καὶ τῶν ἐνοικούντων ἀγρίων νομάδων τὴν εἰκόνα παρειληφότες.

Ὡσαύτως δ' ἂν τις εἴποι καὶ περὶ τῶν Αἰγυπτίων (Λεψίου Χρονολ. σ. 61.) καὶ γὰρ καὶ οὗτοι πρὸς ἀνατολὰς τοῦ Λιβυκοῦ ὄρους τὴν σφετέραν χώραν κῆπον τερπνότατον καὶ ἀνθρώπων ἐνδιαίτημα ὀλβίων ὁρῶντες, πρὸς δυσμὰς δ' εὐθὺς πυρίνης ψάμμου ἀτρύγετον Ὠκεανὸν, τὸν δ' ἥλιον ὑπὸ ψάμμου νεφῶν πυρίχρουν δυόμενον, ἐδόξασαν, ὡς εἰκὸς, καὶ τὸν Ἀΐδην πρὸς δυσμὰς εἶναι, ἔνθα ὁ Ὄσιρις ἐπὶ θρόνου καθήμενος, στολὴν νεκροῦ (Μουμίας) ἠμφιεσμένος, τὰς προσερχομένας τῶν θνησκόντων ψυχὰς δικάζει (ἔπιθι τὴν περὶ τῶν νεκρῶν βίβλον τῶν Αἰγυπτίων, προοίμ. Λεψ.).

Τί δὲ καὶ περὶ τοῦ παρ' Ἕλλησιν ἐνδιαιτήματος τῶν μακάρων Θεῶν, τοῦ Ὀλύμπου; πότερα κομίσαντες οἱ Ἕλληνες μεθ' ἑαυτῶν ἐκ τῆς Ἀσίας τὴν ἰδέαν ταύτην ὡς ἱερὰν παράδοσιν, ἐζήτησαν ἐν Ἑλλάδι τὸ ὕψιστον πρὸς Βοῤῥᾶν (α) ὄρος ἵνα τὰ ἐνδιαιτήματα τῶν θεῶν τῇ

(α) Ὁ περίπυστος Ἰνδολόγος Λάσσην τοὺς Ἰνδοὺς φησὶν ὅτι

διανοίᾳ ἱδρύσειαν ἢ καὶ ἄνευ τοιαύτης παραδόσεως, τῇ δ' ἑαυτῶν συναισθήσει ἑπόμενοι τοῖς καλλίστοις καὶ ἀγνοτάτοις τὸν κάλλιστον καὶ ἀβατώτατον χῶρον ὡς ἐνδιαίτημα, ἔνθα ἂν ἀφίκοιντο, προσένεμον;— ταῦτα μὲν οὖν φαίη τις ἂν πάντως παραδόσεις παμπαλαίας εἶναι, αἵτινες ἐκ τῆς ἰνδοευρωπαϊκῆς μάλιστα συναισθήσεως καὶ φαντασίας προῆλθον. Διαστέλλονται μέντοι ἐναργῶς τῶν ἐν Ἑλλάδι ὑπ' αὐτῶν τῶν Ἑλλήνων ποιηθέντων. Εἰ μὲν γὰρ ἐπὶ τοῦ παρ' Ἕλλησιν Ὀλύμπου οἱ θεοὶ ἀλλήλοις συνερχόμενοι, παραπλήσιον ἀνθρώποις βίον διάγουσι, καθόλου μέν τινα νόμον τοῦτό γε ἐμφαίνει, καθ' ὃν ἡ φαντασία παντοσδήποτε ἔθνους πέφυκεν ἐνεργεῖν, τὰ πάντ' ἀνθρωποποιοῦσα, ἰδιαίτατα δὲ τὴν τῶν Ἑλλήνων, οἵα περ μάλιστα ἐν τοῖς Ὁμήρου ἔπεσιν ἐκφαίνεται, ἐν οἷς γε οἱ θεοὶ ἑλληνοπαίδων δίκην ἀλλήλοις ἐρίζουσί τε καὶ ἀντιμάχονται. ἥκιστα γὰρ ἂν ἡμεῖς βαθεῖάν τινα διάνοιαν τοῖς γε τοιούτοις ἐνορῷμεν, τὴν ἔνδον φύσιν ἑκάστου τῶν θεῶν πρὸς ἀλλήλας συνάπτουσαν καὶ τὸ καθόλου ἐπιζητοῦσαν. πολλῷ δὲ μᾶλ-

---

κατὰ τὴν φύσιν τῆς ἑαυτῶν χώρας (ὡς προείρηταί μοι) τὸ τῶν θεῶν ἐνδιαίτημα πρὸς βορρᾶν ἐποίησαν, ἀλλ' οὐκ ἀποβάλλει μέντοι καὶ παράδοσίν τινα ἐκ τοῦ Ζενδικοῦ φύλου ὁρμηθεῖσαν τὸ τοῦ Ὡρομάζου ἐνδιαίτημα ἐπὶ τῶν κορυφῶν τοῦ Βερεζατ τιθέντων. Πῶς δ' ἂν ἔχοι πρὸς ταῦτα καὶ ἡ περὶ τῶν Ὑπερβορείων δόξα τῶν πάλαι; θαυμασίως δὲ καὶ ὁ σοφὸς Βοίκχιος ἐν τῷ καλλίστῳ πονήματι περὶ τοῦ κατὰ Πλάτωνα κοσμικοῦ συστήματος ἑρμηνεύει ὅτι οἱ Ἕλληνες τὰς τοῦ ἡλίου ἀνατολὰς δεξιὰ ἐκάλουν. Ἀλλὰ πρὸς δεξιὰν αἱ ἀνατολαὶ γίγνονται τῷ πρὸς Βορρᾶν τὴν ὄψιν τετραμμένῳ.



λον, ὡς εἴρηταί μοι, τὰ Ὁμήρου ἔπη ἐναργῶς πάνυ δηλοῖ μοι τὸ διαιρετικὸν ἔργον τῆς ἑλληνικῆς διανοίας. Ὥστε τὴν μὲν πρώτην γνώμην τοῦ σοφοῦ Οὐελκέρου, καθ' ἣν ὅσον ἄν τις τῷ χρόνῳ προσαναβαίνῃ, τόσῳ καθολικωτέραν τὴν τοῦ Διὸς ἰδέαν ἀνευρίσκει πάνυ θαυμάζομεν· (α) τήν γε μὴν ἑτέραν ὅτι καὶ ἐπὶ Ὁμήρου τὸ Ἑλληνικὸν ἐσωτερικήν τινα συνάφειαν τῶν θεῶν πρὸς ἀλλήλους ἐκ νέου ἤρξατο ἐπινοεῖν, οὐ πάνυ σαφῶς ἔχομεν νοῆσαι· τὸ γὰρ νῦν ἔχον τοσόνδε μόνον νοοῦμεν, ὅτι ἡ ἐν τῷ Ὀλύμπῳ τῶν θεῶν ὁμιλία πρὸς ἀλλήλους πάνυ ἐξωτερικὴ ὑπάρχει, ἀπαύγασμα τρόπον τινὰ τῶν ἐν Τροίᾳ ἡρώων οὖσα, τοῦ Ἀγαμέμνονος ἡγεμονεύοντος. καὶ τοῦτο μὲν τὸ ἔργον φαμὲν τῆς ἑλληνικῆς διανοίας εἶναι. Εἰ δὲ καὶ ἐν τοῖς Ὀλυμπίοις θεοῖς βαθεῖά τις καὶ **ἐσωτερικὴ** συνάφεια πρὸς ἀλλήλους ἐναργῶς σκοπεῖται· ταύτην οὔ φαμεν ἔργον εἶναι τῆς ἑλληνικῆς διανοίας, ἀλλὰ λείψανον καθολικωτέρας συναισθήσεως τῆς παρ' Ἕλλησι διαμερισθείσης. Βουλοίμεθα δ' ἂν τοῦτό γε μάλιστα σαφῶς εἰπεῖν ὅτι ἐν πολλοῖς μυθολογήμασι τῶν Ἑλλήνων τὰ Ἀσιατικὰ τοῖς ἑλληνικοῖς οὕτω δὴ συνυφασμένα τυγχάνει, ὥστε οὐ πάνυ εὐχερὲς ἂν εἴη ἑκάτερα ἑκατέρων διαστέλλειν. καὶ ἐν τούτῳ τῷ μυθολογήματι περὶ τοῦ Ὀλύμπου καὶ τῶν ἐν αὐτῷ διαιτωμένων θεῶν, ὡσαύτως· τὸν μὲν Ὄλυμπον ὡς τῶν ἀθανάτων ἐνδιαίτημα καὶ τὴν κυριωτάτην ἔννοιαν τὴν ἑκάστῳ γε τῶν θεῶν οἷον ὑπόστασιν οὖσαν, παμπαλαίας συναισθήσεως ἐκφάνσεις εἶναι ἡγούμεθα. τὰ δ' ἄλλα ἀνθρωποειδῆ τῶν θεῶν πάθη, ὅσα περ ἐν τοῖς Ὁμήρου

---

(α) Ἐπιθὲς αὖθις τὸ ὑπομνημάτιον τῆς ΙΘ' σελίδος.

ἔπεσιν ᾄδεται, ἑλληνικοῦ ἤθους καὶ διανοίας οἷον ἐκμάγματα ἢ ἀλληγορήματα καὶ σύμβολα. Εἴ τις οὖν ἐθελήσειεν ἀνάλυσίν τινα τῶν τοιούτων ἐπιχειρῆσαι, οἷός τ' ἂν γένοιτο ἴσως ἰδεῖν, ὅσον ἡ τῶν Ἀσιατῶν καὶ τῶν ἑλληνικῶν προγόνων συναίσθησις τῆς τῶν ἐν Ἑλλάδι Ἑλλήνων διαφέρει. Ἴδιον γὰρ γνώρισμα τῆς πλαστικῆς τοῦ Ἑλληνικοῦ δήμου διανοίας ἦν οὐ τὰ ὅμοια τοῖς ὁμοίοις συνάπτειν καὶ τὸ καθόλου ἐπιζητεῖν, ἀλλὰ τοὐναντίον καὶ τῶν καθόλου καθ' ἕκαστον ἀντιλαμβάνεσθαι.

Ἔτι δὲ τὰ Ὁμήρου ἔπη εὐφυὲς μὲν ἔθνος, χάριεν, ἐνεργές, ἀνδρεῖον καὶ ὅσα ἄλλα τοιαῦτα δηλοῖ μοι, ἀλλὰ καὶ ἔθνος ἁμωσγέπως τῶν ζητημάτων ὀλιγωροῦν, ἅπερ τὴν ἀνθρωπίνην ψυχὴν ἐς τὰ μάλιστα θιγγάνει, ὅταν φύσει πως πρὸς τὸ φιλοσοφεῖν φέρηται. Ὁ Ἀΐδης φέρ' εἰπεῖν, οἷος παρ' Ὁμήρῳ γράφεται ἔχει τι φρικαλέον καὶ ἀποτρόπαιον· σμερδαλέος γάρ, εὐρώεις, στυγερὸς (Ἰλ. Υ, 65.) λέγεται, ὥσπερ καὶ οἱ θάνατοι στυγεροὶ (Ὀδ. Μ, 341.), ζόφος ἠερόεις, ἀτερπὴς χῶρος (Ὀδ. Λ, 57, 94.)· πᾶσα ἡ περιγραφή, τὰ ἄλση τῆς Περσεφόνης, ὁ ἀσφοδελὸς λειμών, ὁ πυκνὸς ζόφος ὁ τὸν ῥιγηλὸν χῶρον ἀμφικαλύπτων ἐμποιοῦσι τῇ τοῦ ἀνθρώπου ψυχῇ βαρυθυμίαν τινὰ ἄφατον καὶ ἀπελπισίαν. Ὁ σοφὸς Οὐέλκερός φησιν ὅτι ὁ ἐν Ὀδυσσείᾳ Ἀΐδης ὁμοιάζει, καθόλου εἰπεῖν, πρὸς τὸν τῶν ἀγρίων φύλων (Ἑλλην. Θεολ. Τ. Α. σ. 804.). Ἐπὶ τῶν πυλῶν τοῦ Ὁμηρικοῦ Ἀΐδου, δι' ὧν εἰσέρχονται αἱ ψυχαὶ πάντων ὁμοίως καὶ ἡρώων καὶ σοφῶν, θαλερῶν αἰζηῶν, παρθένων θ' ἁβρῶν, ὅσαι ἀριστήων ἄλοχοι ἔσαν ἠδὲ θύγατρες, ἔγραφεν ἡ τῶν Ἑλλήνων φαντασία τὴν ἐπιγραφὴν τοῦ Δαντείου Ἀΐδου·



Per me si va nella città dolente;  
per me si va nell'eterno dolore;  
per me si va per la perduta gente.  
— — — — —  
Lasciate ogni speranza voi ch'entrate.

Αἱ ψυχαὶ τῶν δειλῶν βροτῶν ὡς καπνὸς ἐκπνεύσασαι, σκιῇ εἴκελοι ἢ καὶ ὀνείρῳ, εἴδωλα, κάρηνα ἀμενηνά, ἄνευ φρενῶν, ὡς νυκτερίδες τρίζουσαι καταπέμπονται ὑπὸ τοῦ ψυχοπομποῦ εἰς τὸν ζοφερὸν Ἀΐδην ἄνευ ἐλπίδος γλυκερᾶς τοῦ τυχεῖν τινὸς ἀνταμοιβῆς τῶν ἐνθάδε πεπραγμένων αὐτοῖς ἀγαθῶν (Οὐελκέρου. ἔν. ἀν. σ. 819.). Καὶ τὸν ἀγλαὸν δ' ἑλληνόπαιδα Πάτροκλον τῇ φαντασίᾳ παριστάμενοι χαρίεντα, ἀνδρεῖον, γενναῖον μέχρι τῆς χθὲς ὄντα, ἀπελπισίᾳ καὶ λύπῃ βαρείᾳ περιβαλλόμεθα ἀκούοντες, ὡς Ὅμηρος τὴν ψυχὴν αὐτοῦ καθ' ὕπνον τῷ φιλτάτῳ Ἀχιλλεῖ ἐπιφανεῖσαν περιγράφει·

(Ἰλ. Ψ,) Ἦλθε δ' ἐπὶ ψυχὴ Πατροκλῆος δειλοῖο,  
πάντ' αὐτῷ μέγεθός τε καὶ ὄμματα κάλ' εἰκυῖα  
καὶ φωνήν, καὶ τοῖα περὶ χροῒ εἵματα ἕστο.  
στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς, καί μιν πρὸς μῦθον ἔειπεν.  
» εὕδεις, αὐτὰρ ἐμεῖο λελασμένος ἔπλευ, Ἀχιλλεῦ;  
οὐ μέν μευ ζώοντος ἀκήδεις, ἀλλὰ θανόντος.  
θάπτε με ὅττι τάχιστα, πύλας Ἀΐδαο περήσω.  
τῆλέ με εἴργουσι ψυχαί, εἴδωλα καμόντων,  
οὐδέ μέ πω μίσγεσθαι ὑπὲρ ποταμοῖο ἐῶσιν,  
ἀλλ' αὔτως ἀλάλημαι ἀν' εὐρυπυλὲς Ἄϊδος δῶ.  
καί μοι δὸς τὴν χεῖρ', ὀλοφύρομαι· οὐ γὰρ ἔτ' αὖτις  
νίσομαι ἐξ Ἀΐδαο, ἐπήν με πυρὸς λελάχητε.  
οὐ μὲν γὰρ ζωοί γε φίλων ἀπάνευθεν ἑταίρων

βουλὰς ἑζόμενοι βουλεύσομεν, ἀλλ' ἐμὲ μὲν κὴρ
ἀμφέχανε στυγερή, ἥπερ λάχε γιγνόμενόν περ·
καὶ δὲ σοὶ αὐτῷ μοῖρα, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ,
τείχει ὕπο Τρώων εὐηγενέων ἀπολέσθαι.

— — —

— ψυχὴ δὲ κατὰ χθονός, ἠΰτε καπνός,
ᾤχετο τετριγυῖα.

Ἀλλὰ καὶ αὐτοῦ τοῦ Ἀχιλλέως ἡ ψυχὴ παραστᾶσα ἐν Ἅδου τῷ Ὀδυσσεῖ,

Καί ῥ' ὀ λ ο φ υ ρ ο μ έ ν η ἔπεα πτερόεντα προσηύδα.
» Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
σχέτλιε, τίπτ' ἔτι μεῖζον ἐνὶ φρεσὶ μήσεαι ἔργον;
(Ὀδ. Λ.) πῶς ἔτλης Ἄϊδόσδε κατελθέμεν, ἔνθα τε νεκροὶ
ἀφραδέες ναίουσι, βροτῶν εἴδωλα καμόντων;»
« Μὴ δή μοι θάνατόν γε παραύδα, φαίδιμ' Ὀδυσσεῦ.
βουλοίμην κ' ἐπάρουρος ἐὼν θητευέμεν ἄλλῳ,
ἀνδρὶ παρ' ἀκλήρῳ, ᾧ μὴ βίοτος πολὺς εἴη,
ἢ πᾶσιν νεκύεσσι καταφθιμένοισιν ἀνάσσειν.

ὅτι δὲ τῶν γε τοιούτων οἱ Ἕλληνες καὶ ἐν πολλῷ ὑστέρῳ χρόνῳ οὐκ ἀπηλλαγμένοι ἦσαν, ἀλλ' ὡς ἔοικε καὶ οὐκ ὀλίγον πρὸς ταῦτ' ἐθροοῦντο, ἐναργῶς πάνυ ὁ ἱερὸς καὶ θεῖος τῷ ὄντι Πλάτων μαρτυρεῖ, εἰ μή τις Πλάτωνα τἠνάλλως λέγειν ὑπολαμβάνοι, ὅσα ἐν τῷ τρίτῳ τῆς πολιτείας λέγει (σ. 386). Τὴν αὐτὴν δέ που δόξαν περὶ τῶν τοιούτων εἶχον καὶ οἱ Λυρικοί. Σαπφὼ μὲν γὰρ (περὶ το 603 ἔτος π. Χ.) ἡ ὑπὸ τοῦ φύσει ἀγνοῦ Οὐελκέρου ἁγνισθεῖσα πρὸς ἀπαίδευτον γυναῖκα τάδε ᾄδει·



ογ'. [ιθ'.]

κατθάνοισα δὲ κείσῃ, οὐδ' ἔτι τις μναμοσύνα σέθεν
ἔσσετ' οὐδέποτ' εἰς ὕστερον· οὐ γὰρ πεδέχεις βρόδων
τῶν ἐκ Πιερίας, ἀλλ' ἀφανὴς κὴν Ἀΐδα δόμοις
φοιτάσεις πεδ' ἀμαύρων νεκύων ἐκπεποταμένα. (α)

Ἀλλαχοῦ δὲ ἀφελῶς μάλα λέγει·

πα'. [ι'.]

. . . Ἀποθναίσκην κάκον· οἱ θεοὶ γὰρ
οὕτω κεκρίκαισιν.

Ἐκ δὴ τούτων ἐμφανῶς συνάγεται ὅτι τὸ κλέος καὶ ἡ μνήμη τῶν ἀνθρώπων μόνη ἄφθαρτος παραμένει· ταὐτὸν δὲ καὶ ὁ καλλιστέφανος Σιμωνίδης ὁ Κεῖος (556—467 π. Χ.) ὁ ἐν λυρικοῖς ἁβρότερα Πινδάρου ᾄδων, οὗ ἡ Δανάη τὰς ἑαυτῆς τύχας τὰς τραγικὰς ἀποδυρομένη, ὕψος μὲν καὶ ἁρμονίαν Πινδάρειον φαίνει, ἦθος δὲ καὶ χάριν ἐμμελεστέραν τῆς Σακουντάλας καὶ τοῦ θείου συναίσθησιν ἐφάμιλλον τῇ τοῦ Δάντου, ὁ τὴν Δανάην ποιήσας Σιμωνίδης, ἧς τὸ περίλειμμα ὡς μέσος ἀδάμας

(α) Ἔοικε τοίνυν κατὰ σμικρὸν τὰ πάντα τελειοῦσθαι καὶ δὴ καὶ αἱ τῶν ἀνθρώπων δόξαι ἄλλαι τε καὶ ἡ περὶ ἀνθρωπικῆς ἀξίας· οἱ μὲν οὖν παλαιότατοι τῶν ἀνθρώπων τῇ ῥώμῃ καὶ ἀνδρείᾳ τὸν ἄνθρωπον ἐτίμων· Σαπφὼ δὲ ὡς ἔοικεν, ἀλλὰ Ξενοφάνης μάλιστα ὁ Κολοφώνιος πρῶτος διαῤῥήδην τὴν σοφίαν ἀντὶ τῆς ῥώμης μέτρον τιμῆς εἰσάγεται. καὶ ἐν τούτῳ πάντες οἱ πάλαι ἔστησαν, καὶ Πλάτων καὶ Ἀριστοτέλης ὡσαύτως. Ἡμεῖς δὲ νῦν τὸν ἄνθρωπον κατὰ τὸ ἦθος καὶ τὴν συναίσθησιν τιμῶμεν· διὸ δικαίως ἄν τις πολλάκις ἀγρότην καὶ ἁλιέα πολλῷ μᾶλλον πολυμαθοῦς μέν, ἀφίλου δὲ καὶ ὑπεροπτικοῦ τιμήσειεν.

ἀπὸ τῆς αἰθριολαμποῦς κορυφῆς τῆς Ἑλλάδος ἐπιπρεπῶς πᾶσαν ψυχὴν ἀνθρώπου φλέγει, ὁ ἀοίδιμος Σιμωνίδης, ἡ γλυκεῖα ἡ ποθεινὴ ψυχή, παραπλησίως τῇ Σαπφοῖ περὶ τοῦ μέλλοντος ᾄδει ὧδε·

Ἐπικηδείων. ϡη'.

Ἄσβεστον κλέος οἵδε φίλῃ περὶ πατρίδι θέντες
κυάνεον θανάτου ἀμφεβάλοντο νέφος·
οὐδὲ τεθνᾶσι θανόντες, ἐπεί σφ' ἀρετὴ καθύπερθε
κυδαίνουσ' ἀνάγει δώματος ἐξ Ἀΐδεω.

Ἥκιστα δὲ τῆς Ὁμηρικῆς μούσης ὑπέρτερον φαίνεται καὶ τόδε, ὅπερ εἰς Ἀνακρέοντα ἐποίησεν.

ρις'.

Μοῦνος δ' εἰν Ἀχέροντι βαρύνεται οὐχ ὅτι λείπων
Ἠέλιον, Λήθης ἐνθάδ' ἔκυρσε δόμων,
ἀλλ' ὅτι. . .

καὶ αὐτὸς δὲ ὁ Ἀνακρέων (560—490 π. Χ.), ἡ χρυσοῦ ἔαρος ἀηδὼν κωτίλῃ φωνῇ τὴν ζωθάλμιον τῆς Ἑλλάδος χάριν ἔτι καὶ νῦν λαλεῖ, ὥσπερ κίρκον γαμψώνυχα τὴν μνήμην τοῦ Ἅδου πτήσσει· νέφος τε ὑπομβρον τὴν ἀνθεμώδη τοῦ οἴνου κύλικα ἐπισκιάζει καὶ τὴν φίλην ψυχὴν ἐν μέσαις θαλίαις ἔνδον παχνοῖ· ᾆσμά τε χάριτος μέν, ἀλλ' ἔρημον ἐλπίδος ᾄδει τοιόνδε·

Πολιοὶ μὲν ἡμὶν ἤδη κρόταφοι κάρη τε λευκόν,
χαρίεσσα δ' οὐκέθ' ἥβη πάρα, γηραλέοι δ' ὀδόντες.
Γλυκεροῦ δ' οὐκέτι πολλὸς βιότου χρόνος λέλειπται·
διὰ ταῦτ' ἀνασταλύζω θαμὰ τάρταρον δεδοικώς.
Ἀΐδεω γάρ ἐστι δεινὸς μυχός, ἀργαλέη δ' ἐς αὐτὸν
κάθοδος· καὶ γὰρ ἑτοῖμον καταβάντι μὴ ἀναβῆναι.



καὶ Θέογνις δὲ ὁ Μεγαρεὺς (περὶ τὸ 544 ἔτος π. Χ.) παραπλήσια περὶ τῶν τοιούτων ᾄδει, καὶ οὗτος κατ' ἀντίθεσιν πρὸς τὸν ἄσοφον·

σμγ'. Καὶ ὅταν δνοφερῆς ὑπὸ κεύθεσι γαίης
βῇς πολυκωκύτους εἰς Ἀΐδαο δόμους,

καὶ προσωτέρω πάλιν λέγει·

Ἥβῃ τερπόμενος παίζω· δηρὸν γὰρ ἔνερθεν
γῆς ὀλέσας ψυχὴν κείσομαι, ὥς τε λίθος
ἄφθογγος, λείψω δ' ἐρατὸν φάος ἠελίοιο,
φο'. ἔμπης δ' ἐσθλὸς ἐὼν ὄψομαι οὐδὲν ἔτι.

Οὐ μέν τοι γε ὁμοίως τῶν τοιούτων πέρι καὶ ὁ ἡδύφωνος κύκνος ᾄδει, ὃς παρὰ πάντων ὁμολογεῖται τὰ Ἐλευσίνια μυστήρια τετελεσμένος γεγονέναι, ἅπερ ἄγχιστα τῶν Διονυσίων εἴχετο καὶ εἰς Ὀρφέα (ἐν Θήβαις μάλιστα καὶ Ἐλευσῖνι) ἀνεφέρετο, ὡς ἀξιολογώτατα ὑπὸ τῶν παλαιῶν μαρτυρεῖται. (τὴν δὲ τοῦ Διονύσου λατρείαν καὶ αὐτὸς ὁ Σελλέριος ἐξ ἀνατολῶν εἰς Ἑλλάδα ἐν ὑστέρῳ χρόνῳ κομισθῆναι ὁμολογεῖ.) (α)· Ὧδέ πως γὰρ τὰ Ἐλευσίνια ὁ θεῖος Πίνδαρος (518—442 π. Χ.) γεραίρει·

(α) Ἔπιθι Πλάτ. Πρωταγ. σ. 316. Δ. κ.φ.ξ. — Ἱστορ. τῆς Ἑλλ. ποιήσ. ὑπὸ Βοδίου. Τ. Α, σ. 160, 163 κ.φ.ξ. — Ἑλλην. μυθολ. Πρελλερίου Τ. Α. σ. 593. — Βρανδισίου Ἱς. τῆς Ἑλληνορωμ. φιλοσ. Τ. Α. σ. 55, καὶ οἱ παλαιότεροι λυρικοὶ Ἴβυκος καὶ Πίνδαρος καὶ οἱ τραγικοὶ ἀποκαλοῦσι τὸν Ὀρφέα ὀνομακλυτόν, εὐαίνητον, χρυσάορα, ἀοιδῶν πατέρα. — Πρβλ. καὶ Βερνάρδυος ἱστορ. τῶν παρ' Ἕλλησι λεκτ. τεχνῶν. Τ. Α. σ. 414 τῆς γης ἐκδ. τὰ ἐπὶ Πεισιστράτου συγχυθέντα δῆλον ὅτι ὁμοιότητά τινα πρὸς ἄλληλα παρέσχεν.

### Θρήνων. Η. (ρβ'.)

Ὄλβιος ὅςτις ἰδὼν ἐκεῖνα κοίλαν
εἶσιν ὑπὸ χθόνα· οἶδεν μὲν βίου [κεῖνος] τελευτάν,
οἶδεν δὲ Διόςδοτον ἀρχάν. (α)

Ἐκ γε μὴν τῶν ἑπομένων ἐκλάμπει τὸ πρῶτον ἥ τε τῆς ψυχῆς ἀθανασία, ὥςπερ θαλπνὴ ἀκτὶς τὸν ἄνθρωπον ζωοποιοῦσα καὶ ἡ σεμνὴ ἰδέα τῆς ἀϊδίου Θέμιδος, δίκην μὲν τοῖς πονηροῖς ἐπιτιθείσης, χάριν δὲ τοῖς ἀγαθοῖς ἀποδιδούσης.

### Θρήνων Δ'. (Ϟη'.) (β)

Οἷσι δὲ Φερσεφόνα ποινὰν παλαιοῦ πένθεος

---

(α) Σκόπει ὡς ἀτελέστερον ταῦτα ᾄδει ὁ τὴν Δήμητραν ὑμνῶν ποιητής· φησὶ δ' ὅτι ἡ Δημήτηρ ἔδειξε Θεμιστοπόλοις βασιλεῦσι

δρησμοσύνην θ' ἱερῶν, καὶ ἐπέφραδεν ὄργια πᾶσιν,
σεμνά, τά τ' οὔπως ἔστι παρεξίμεν, οὔτε πυθέσθαι,
οὔτ' ἀχέειν· μέγα γάρ τι θεῶν ἄγος ἰσχάνει αὐδήν.
υπ'. ὄλβιος, ὃς τάδ' ὄπωπεν ἐπιχθονίων ἀνθρώπων·
ὃς δ' ἀτελὴς ἱερῶν, ὅς τ' ἔμμορος, οὔποθ' ὁμοίην
αἶσαν ἔχει, φθίμενός περ, ὑπὸ ζόφῳ εὐρώεντι.

(β) Εὕρηται δὲ τὸ χωρίον ἐν Μένωνι (σ. 81.), ὅπερ Σωκράτης ὧδέ πως εἰςηγεῖται λέγων· «ἀκήκοα γὰρ ἀνδρῶν τε καὶ γυναικῶν σοφῶν περὶ τὰ θεῖα πράγματα, λόγον ἀληθῆ καὶ καλὸν λεγόντων.—Οἱ μὲν λέγοντές εἰσι τῶν ἱερέων τε καὶ τῶν ἱερειῶν, ὅσοις μεμέληκε, περὶ ὧν μεταχειρίζονται λόγον οἵοις τ' εἶναι διδόναι· λέγει δὲ καὶ Πίνδαρος καὶ ἄλλοι πολλοὶ τῶν ποιητῶν, ὅσοι θεῖοί εἰσιν· ἃ δὲ λέγουσι, ταυτί ἐστιν· ἀλλὰ σκόπει, εἴ σοι δοκοῦσιν ἀληθῆ λέγειν. φασὶ γὰρ τὴν ψυχὴν τοῦ



δέξεται, ἐς τὸν ὕπερθεν ἅλιον κείνων ἐνάτῳ ἔτεϊ (α)
ἀνδιδοῖ ψυχὰς πάλιν.
ἐκ τᾶν βασιλῆες ἀγαυοὶ καὶ σθένει κραιπνοὶ σοφίᾳ τε
μέγιστοι
ἄνδρες αὔξοντ'· ἐς δὲ τὸν λοιπὸν χρόνον ἥρωες ἁγνοὶ
πρὸς ἀνθρώπων καλεῦνται. (β)

### Ἐξ ἀδήλων εἰδῶν ρλ'. (ρϞδ'.) (γ)

Γλυκεῖά οἱ καρδίαν ἀτάλλοισα γηροτρόφος συναορεῖ
ἐλπίς, ἃ μάλιστα θνατῶν πολύστροφον γνώμαν κυβερνᾷ.

---

ἀνθρώπου εἶναι ἀθάνατον, καὶ τοτὲ μὲν τελευτᾶν, ὃ δὴ ἀποθνήσκειν καλοῦσι, τοτὲ δὲ πάλιν γίγνεσθαι (πρβλ. Φαίδωνα σ. 71 κεξ.), ἀπόλλυσθαι δ' οὐδέποτε. δεῖν δὴ διὰ ταῦτα ὡς ὁσιώτατα διαβιῶναι τὸν βίον.» Τούτοις ὁ θεῖος Πλάτων συνάπτει τὸ περὶ τῆς ἀναμνήσεως δόγμα.

(α) Ἐννέα ἡμέρας περιεπλανᾶτο ἡ Δημήτηρ· ἐννέα ἡμέρας ἐτελεῖτο καὶ τὰ μυστήρια. Πρελλερίου ἑλλ. μυθολ. Τ. Α. σ. 596.

(β) Δῆλον δ' ὅτι ταῦτά γε ἐκ τῶν ἐν τῇ φύσει γιγνομένων τὸ πρῶτον ὡρμήθη ἐκ τῆς ἀνακυκλήσεως γενέσεώς τε καὶ φθορᾶς πάντων τῶν αἰσθητῶν (ἔπιθι καὶ Βοδίου ἱστ. τῆς ἑλλ. ποιήσ. Τ. Α. σ. 155 ἐδ. γ'.)· ἡ Ἀσιατικὴ γὰρ ἀγριότης ὑπὸ τῆς ἑλληνικῆς χάριτος καὶ τῆς τοῦ Ἀπόλλωνος εὐμουσίας ὡς εἰπεῖν δαμασθεῖσα (εἰ καὶ ὀργιασμός τις καὶ παρὰ τοῖς Ἕλλησιν ἔμεινε. Πρελλερίου ἑλλ. μυθ. Τ. Α. σ. 590.), παρήγαγεν ὡς ἔοικε ταῦτα τὰ σεμνὰ διδάγματα. ὁμολογητέον μέντοι ὅτι ἐκ τῆς τεραστίας ἐκείνης τῶν Ἀνατολιτῶν φυσιολατρείας αἱ σεμνότεραι ἰδέαι περὶ τῶν ἀνθρωπίνων ψυχῶν παρ' Ἕλλησι προύκυψαν. Ὁ δὲ μῦθος τῆς Δήμητρος καὶ Περσεφόνης ὑπῆρχεν ἤδη ἐφ' Ὁμήρου τε καὶ Ἡσιόδου (Πρελλερ. Τ. Α. σ. 593)· ἐν ὑστέρῳ μέν τοι χρόνῳ μᾶλλον ἀναπτυχθεὶς εἰκὼν κατέστη πραγμάτων θειοτέρων.

(γ) Καὶ τοῦτο τὸ χωρίον παρὰ Πλάτωνι εὑρήσεις ἐν Πολιτείᾳ Α, σ. 330, Ε.

λαμβανομένη ἐξισοῦται. Περὶ μὲν οὖν τούτου τοῦ φοίνικος τάδε ὁ χρυσοῦς Ἡρόδοτος ἀφηγεῖται (ἐν Εὐτέρπῃ, ογ'.). «Ἔςι δὲ καὶ ἄλλος ὄρνις ἱρὸς, τῷ οὔνομα Φοίνιξ· ἐγὼ μέν μιν οὐκ εἶδον, εἰ μὴ ὅσον γραφῇ· καὶ γὰρ δὴ καὶ σπάνιος ἐπιφοιτᾷ σφι διὰ ἐτέων, ὡς Ἡλιουπολῖται λέγουσι, πεντακοσίων. φοιτᾶν δὲ τότε φασὶ, ἐπεάν οἱ ἀποθάνῃ ὁ πατήρ. Ἔστι δὲ, εἰ τῇ γραφῇ παρόμοιος, τοσόςδε καὶ τοιόςδε· τὰ μὲν αὐτοῦ χρυσόκομα τῶν πτερῶν, τὰ δὲ ἐρυθρὰ (οἷαι καὶ αἱ τοῦ Ἡλίου ἀκτῖνες φαίνονται)· ἐς τὰ μάλιστα αἰετῷ περιήγησιν ὁμοιότατος καὶ τὸ μέγαθος. τοῦτον δὲ λέγουσι μηχανᾶσθαι τάδε, ἐμοὶ μὲν οὐ πιστὰ λέγοντες· ἐξ Ἀραβίης (τοῦτ' ἔστιν ἐξ Ἀνατολῶν) ὁρμεώμενον, ἐς τὸ ἱρὸν τοῦ ἡλίου κομίζειν τὸν πατέρα, ἐν σμύρνῃ ἐμπλάσσοντα καὶ θάπτειν ἐν τοῦ Ἡλίου τῷ ἱρῷ. κομίζειν δὲ οὕτω· πρῶτον τῆς σμύρνης Ὠὸν πλάσσειν, ὅσον τε δυνατός ἐστι φέρειν· μετὰ δὲ πειρᾶσθαι αὐτὸ φορέοντα· ἐπεὰν δὲ ἀποπειρηθῇ, οὕτω δὴ κοιλήναντα τὸ ὠὸν, τὸν πατέρα ἐς αὐτὸ ἐντιθέναι, σμύρνῃ δὲ ἄλλῃ ἐμπλάσσειν τοῦτο, κατ' ὅ,τι τοῦ ὠοῦ ἐγκοιλήνας ἐνέθηκε τὸν πατέρα· ἐςκειμένου δὲ τοῦ πατρὸς, γίνεσθαι τωὐτὸ βάρος. ἐμπλάσαντα δὲ κομίζειν μιν ἐπ' Αἰγύπτου ἐς τοῦ Ἡλίου τὸ ἱρόν.»

Καὶ πολλοὶ δὲ τῶν μεταγενεστέρων συνᾴδουσι μὲν τῷ Ἡροδότῳ τὸν τῆς ἐπιφοιτήσεως χρόνον τοῦ φοίνικος διὰ πενταχοσίων ἐτῶν γιγνόμενον ἐπιμαρτυροῦντες· ἀφίστανται μέντοι ἐκείνου, καθ' ὅσον περ οὗτοι αὐτόν φασι τὸν μέλλοντ' ἀποθανεῖσθαι φοίνικα φοιτᾶν· κατακαύσαντα δὲ ἑαυτὸν ἐν εὐόσμοις θυώμασι, πάλιν αὖθις ἐκ τῆς σποδοῦ ἀναγεννᾶσθαι ἐν εἴδει μὲν σκώληκος ἀργυφέου τὸ πρῶτον, εἶτα δ' εἰς ὄρνιν μεταβαλόντα, τῇ



τρίτῃ ἡμέρᾳ ἀκμαῖον ἀναφαίνεσθαι καὶ αὖθις εἰς τὰ πρὸς ἀνατολὰς ἡλίου οἰκία ὄντα αὐτῷ ἐπανίπτασθαι. Ἔνιοι δὲ τῶν χριστιανῶν συγγραφέων (Γρηγόριος ὁ Ναζιαν. —Ἀμβρόσ.) ἐχρῶντο συχνάκις τῷ λογίῳ τούτῳ ὡς εἰκόνι ἢ καὶ ἀποδείξει τῆς ἐκ νεκρῶν τοῦ ἀνθρώπου ἀναστάσεως.

Φανερὸν δὲ ὅτι τοῦτο τὸ ἀφήγημα οὐδὲν ἄλλο τυγχάνει ὂν ἢ ἀλληγορία τις ἀστρονομικὴ παραπλησία τῷ ἀστρονομικῷ μύθῳ τῷ περὶ τῆς κυβείας Ἑρμοῦ τε καὶ Σελήνης. καὶ μὲν δὴ ὁ Φοίνιξ οὐδὲν ἀλλ' ἢ χρονικῆς περιόδου καὶ τῶν κατ' αὐτὴν ἀνακυκλουμένων σύμβολον ὑπάρχει, οὔγε ἡ ἔννοια, καθόλου εἰπεῖν, οὐ πάμπαν τοὺς συγγραφεῖς διαπέφευγε (εἴ γε τὸν παρὰ πολὺ χρυσοῦν Ἡρόδοτον ἐξέλοις), οἵτινες τοῦ μύθου μνείαν ποιοῦνται. ἔνιοι δ' αὐτῶν καὶ ἐν ὑστέρῳ χρόνῳ τὴν ἔννοιαν τοῦ συμβόλου ἱκανῶς ἀποδιδόασιν (α).

Οὐσιώδεις δὲ χαρακτῆρες τοῦ διηγήματος οἵδε εἰσίν· τό τε ὄνομα καὶ τὸ εἶδος τοῦ φοίνικος, ἡ ἀναβίωσις καὶ ἡ ἐξ ἀνατολῶν ἔλευσις καὶ ὁ τόπος, ἐν ᾧ γε ἀναβιώσκεται, ἐν τῷ ναῷ τῆς Ἡλιουπόλεως καὶ τέλος ὁ πενταχοσίων ἐτῶν βίος αὐτοῦ. Τὸ μὲν οὖν ὄνομα

---

(α) Συνεσ. σ. 49. ἐκδ. Pet. 1612. «σπανιώτερον δὲ δήπου τὸ γένος τῶν τοιούτων ψυχῶν, ἢ τὸ τοῦ Φοίνικος, ᾧ τὰς περιόδους μετροῦσιν Αἰγύπτιοι. Νόννος, Διονυσ. Μ', 394 κ.φ.ξ.

καὶ ξύλα κηώεντα φέρων γαμψώνυχι ταρσῷ
χιλιετὴς σοφὸς ὄρνις ἐπ' εὐόδμῳ σέο βωμῷ,
φοίνιξ, τέρμα βίοιο φέρων αὐτόσπορον ἀρχὴν,
τίκτεται, ἰ σ ο τ ύ π ο ι ο χ ρ ό ν ο υ παλινάγρετος εἰκὼν,
λύσας δ' ἐν πυρὶ γῆρας ἀμείβεται ἐκ πυρὸς ἥβην.

τοῦ ὀρνέου φοίνιξ φανερὰν σχέσιν ἔχει πρὸς τὸ τοῦ δένδρου, φοίνιξ· τοῦτο δ' αὖ, ὥσπερ φοίνιξ ἡ πορφύρα, καὶ φοίνιξ ὄργανον μουσικὸν καὶ εἶδος φυτοῦ φοίνιξ πάντα ἀναφορὰν ἔχει εἰς τὸ ἐθνικὸν ὄνομα φοίνιξ καὶ γὰρ τὸ τῶν Φοινίκων ἔθνος καὶ Φοινίκη ἡ χώρα αὐτῶν τὰ ἄρτι λεχθέντα παρῆγε καὶ εἰς τοὺς Ἕλληνας τὸ πρῶτον ἐκόμισεν. Ἥντινα μέντοι ἔννοιαν τὸ κατ' ἀρχὴν τοῦτο ὄνομα (Σημιτικὸν ἴσως ὂν) εἶχεν, πάμπαν ἄδηλον, ὡς ἄν τις καὶ περὶ τῶν πλείστων ἐθνικῶν ὀνομάτων εἴποι. ἀδηλότερον μέντοι ὑπάρχει εἴπερ φοίνιξ τὸ κατ' ἀρχὴν φοινικικὸν ὄρνεον, ὡς ἐξ Ἀραβίας, ἔνθα οἱ Φοίνικες πρότερον ᾤκουν, ὁρμηθὲν ἢ τὸ τῶν δένδρων φοινίκων ὄρνεον μᾶλλον ἐδήλου. Πλίνιος μὲν γὰρ φοίνικα τὸν ὄρνιν κατά τι εἶδος φοίνικός φησι κεκλῆσθαι ἐν τῇ κάτω Αἰγύπτῳ φυομένου· τοῦτο δὲ τὸ δένδρον ἅμα θνήσκοντι τῷ ὄρνιθι μαραίνεσθαι καὶ ἐξ ἑαυτοῦ πάλιν αὖθις ἀναφύεσθαι (α). κτέ.

Ἀλλὰ καὶ ἐπὶ τῶν ἱερογλυφικῶν ὡσαύτως ὁ τοῦ φοίνικος κλάδος σύμβολόν ἐστι τοῦ ἐνιαυτοῦ καὶ τῶν χρονικῶν περιόδων. Αἰγυπτιαστὶ δ' ἐκαλεῖτο ὁ φοίνικος κλάδος Βάϊ, ἐξ οὗ τὸ ἑλληνικὸν Βάϊς ἐσχηματίσθη, ᾧπερ Ὡραπόλλων τε καὶ ἄλλοι κέχρηνται. (Ὡραπ. Α, γ'. — Πορφύρ. περὶ ἐγκρατ. Δ, ζ'.) ὁ αὐτὸς δέ φησιν ὅτι καὶ ἡ ψυχὴ παρ' Αἰγυπτίοις Βαΐ ἐκέκλητο, ὃ δὴ καὶ τὰ ἱερογλυφικὰ ἐπιμαρτυρεῖ, ἐν οἷς ἡ ψυχὴ Βε καλεῖται.

---

(α) H.N.XIII. 9 : Mirumque de ea (palmae specie Syagro) accepimus, cum Phoenice ave, qvae putatur ex hujus palmae argumento nomen accepisse, iterum mori ac renasci ex se ipsa.



ἐζωγράφουν δὲ συνήθως οἱ Αἰγύπτιοι τὴν ψυχὴν ὡς ὄρνεον κεφαλὴν πολλάκις δὲ καὶ χεῖρας ἀνθρώπου φέρον.

Ἔοικε τοίνυν καὶ ὁ φοίνιξ ὡς σύμβολον ψυχῆς ἐξειλῆφθαι τῇ περιελεύσει ἁγνισθείσης, ὥσπεροῦν καὶ ἡ περὶ ἀποκαταστάσεως πάντων τῶν ὄντων δόξα τῷ περὶ μετεμψυχώσεως δόγματι ἄγχιστα συνῆφθαι (α). τοῦτο δὲ ὑπεμφαίνουσι καὶ αἱ παρὰ τῷ Ὡραπόλλωνι ἑρμηνεῖαι,

---

(α) Καὶ ὁ μῦθος ὁ περὶ Ἀδώνιδος ἀλληγορία μὲν πάντως ἦν γιγνομένου τινὸς τῶν ἐν τῇ φύσει, τὴν φθίσιν ἢ ἀνακύκλησιν τῆς ἐαρινῆς ἢ ὀπωρινῆς ὥρας ὑποσημαίνων. ἀλλ' ὁ ἄνθρωπος ἐνεῖδεν αὐτῷ καὶ τὴν εἰκόνα τῆς ἑαυτοῦ ματαιότητος καὶ ταχείας ἀπομαράνσεως, καθάπερ καὶ ὁ προφήτης ᾄδει· «ἄνθρωπος ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ οὕτως ἐξανθήσει· ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ καὶ οὐχ ὑπάρξει καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ.» (Πέτρ. ἐπιστ. α', 24. καὶ Ἰακ. α', 10. — ἔπιθι τὴν χαριεστάτην διατριβὴν «περὶ Ἀδώνιδος» Βρουγσίου, ἑτέρου περιωνύμου Αἰγυπτιολόγου.). Ὡσαύτως καὶ ὁ περὶ Δήμητρα καὶ Περσεφόνην μῦθος περὶ τῶν ἐν τῇ φύσει γιγνομένων τὸ πρῶτον ὤν, ὕστερον εἰκὼν ἀθανασίας τῆς ψυχῆς κατέστη, ἥπερ παρὰ τοῖς πάλαι ἀνθρώποις πολλῶν ἕνεκα λόγων ὡς περιέλευσις καὶ πλάνη ἤτοι ὡς μετεμψύχωσις ἐνοήθη. ταὐτὸν δ' ἄν τις εἴποι καὶ περὶ τοῦ φοίνικος, ἀποκατάστασιν τοῦ Ἡλίου εἰς τὸ αὐτὸ σημεῖον τοῦ ὁρίζοντος κατὰ τὸν αὐτὸν χρόνον τὸ πρῶτον σημαίνοντος ἢ ὑπαινισσομένου, ὕστερον μέντοι καὶ αὐτὴν τὴν ψυχὴν τῇ περιελεύσει κεκαθαρμένην ἐσήμαινε. φιλεῖ γάρ πως τὸ ἀνθρώπειον, οἷον δὴ τέκος καὶ αὐτὸ τῆς φύσεως ὄν, πάντα σχεδὸν τὰ ἐν τῇ φύσει πρὸς ἑαυτὸ ἀναφέρειν, ὁτὲ μὲν προλήψεσι καὶ δεισιδαιμονίαις γοητευόμενον, ὁτὲ δὲ καὶ αὐτῆς τῆς ἀληθείας φύσει πως ἁπτόμενον.

καθ' ἃς ὁ φοίνιξ ψυχὴν ἐπὶ γῆς πολὺν χρόνον διατρίβουσαν σημαίνει, ἔτι δὲ καὶ τὸν χρονίως ἀπὸ ξένης ἐπιδημοῦντα. (Ὡραπόλλωνος ἱερογλυφικῶν Α, λδ'. λε'.).

Καὶ ἐπὶ τῶν μνημείων δὲ πάλαι ἤδη ὄρνις τις ὡς φοίνιξ ἐζωγραφημένος εὕρηται, λόφον μὲν τὸν πάσαις ταῖς περιγραφαῖς κοινὸν ὑπάρχοντα ἐπὶ τῆς κεφαλῆς φέρων, δύο δ' ἀνθρώπου χεῖρας, ὥςπεροῦν καὶ τὸ πρόσθεν λεχθὲν ὄρνεον ὡς ψυχῆς σύμβολον, ἱκετευτικῶς ἀνίσχων.

Εἴ τις οὖν ἐθελήσειε τοῦτον τὸν πάγκαλον ἀστρονομικὸν μῦθον ἑρμηνεῦσαι, εὐλόγως ἂν εἴποι ὅτι ἡ μὲν τοῦ Φοίνικος ἀναγέννησις ἐκ τῆς ἑαυτοῦ ἢ τοῦ πατρὸς σποδοῦ τὴν περιέλευσιν σημαίνει τῶν χρονικῶν περιόδων· τὸ δὲ θνήσκοντα τὸν φοίνικα εἰς τὸ ᾠὸν αὖθις ὑπειςδύνειν τὴν παλαιτάτην τῶν Αἰγυπτίων δόξαν ὑπαινίσσεται, ἥνπερ περὶ τοῦ κόσμου εἶχον ὅτι ἐξ ᾠοῦ τὸ πρῶτον προῆλθε. Τὸ δὲ τὸν ὄρνιν ἐξ Ἀνατολῶν ἤτοι ἐξ Ἀραβίας τε καὶ Ἰνδικῆς ὁρμᾶσθαι, ὅθεν καὶ ὁ ἥλιος καθ' ἡμέραν ἐν Αἰγύπτῳ ἀνίσχει καὶ εἰς τὸ τοῦ Ἡλίου ἱερὸν τὸ ἐν Ἡλιουπόλει ἐπιφοιτᾶν ἱκανῶς πάνυ ἐμφαίνει ὅτι ταυτηνὶ τὴν τοῦ φοίνικος περίοδον ὡς αὐτῷ τῷ Ἡλίῳ ἐγγύθεν προςήκουσαν ὑπελάμβανον. Ἡλίου γὰρ σύμβολον ὁ ὄρνις οὗτος καὶ ὑπὸ τοῦ Ὡραπόλλωνος (Α, λδ'.) ῥητῶς ἀποκαλεῖται. Πλίνιος δὲ λέγει (Χ, 2) ὅτι ἱερὸς τῷ Ἡλίῳ ὁ ὄρνις ἦν, ὡσαύτως καὶ ὁ Τάκιτος. Ἔοικε δὲ καὶ ὁ διὰ τοῦ πυρὸς θάνατος (ὃν Ἡρόδοτος οὔπω ἐγίγνωσκεν) εἰς τὸν τοῦ Ἡλίου ὄρνιν ἀναφορὰν ἔχειν. Φαίνεται δὲ τοῦτο τὸ ἀλληγορικὸν ἀφήγημα ἐκ τῶν ἐν Ἡλιουπόλει ἱεροφαντῶν προεληλυθός. καθιέρωσαν δὲ ἐν τῷ τοῦ Ἡλίου ναῷ καὶ ἴδιον ἱερὸν τῷ φοίνικι,



ὅπερ ἤδη Ῥαμψῆς ὁ 6ος πολλοῖς ἀναθήμασιν ἐκόσμησεν, ὥςπου Ἑρμαπίων μαρτυρεῖ ἐν τῇ ἑαυτοῦ ἑρμηνείᾳ ἑνὸς τῶν ἐν Ἡλιουπόλει ὀβελίσκων. Οὗτος δὴ ὁ ἐν Ἡλιουπόλει τῶν ἱεροφαντῶν σύλλογος ὀνομαστὸς πάνυ ἐπὶ σοφίᾳ ἐγένετο ὥςπερ καὶ Ἡρόδοτός φησι [Εὐτ. γ'.], λέγων ὅτι «οἱ Ἡλιουπολῖται λέγονται Αἰγυπτίων εἶναι λογιώτατοι» τούτοις δ' εἰς λόγων κοινωνίαν ἦλθον Πυθαγόρας τε καὶ Πλάτων καὶ Εὔδοξος ὁ Κνίδιος.

Ἡρόδοτος δ' ἐν Εὐτέρπῃ (ρμβ'.) λέγει καὶ τάδε ὑπὸ πολλῶν σοφῶν πολλαχῶς ἑρμηνευθέντα, ὅτι οἱ Αἰγύπτιοι «τετράκις ἔλεγον ἐξ ἠθέων (α) τὸν ἥλιον ἀνατεῖλαι (β)· ἔνθα τε (γὰρ) νῦν καταδύεται, ἐνθεῦτεν δὶς ἐπανατεῖλαι· καὶ ἔνθεν νῦν ἀνατέλλει, ἐνθαῦτα δὶς καταδῦναι.» Ταῦτα δ' οὐδὲν ἄλλο σημαίνει ἢ δὶς γενομένην τοῦ ἡλίου ὁλοσχερῆ ἀνακύκλησιν ἤτοι ἐπανατολὴν ἐν τῷ αὐτῷ σημείῳ τοῦ οὐρανοῦ κατὰ τὰς θερινὰς τροπὰς ἐν τῷ αὐτῷ χρόνῳ καὶ εἰς ταὐτὸν τῷ πολιτικῷ ἐνιαυτῷ συνελθοῦσαν. ἔχει δὲ σχέσιν τινὰ ταῦτα πρὸς τὴν Σωθιακὴν περίοδον ἢ τὸν κυνικὸν ἐνιαυτὸν καὶ τὴν τοῦ φοίνικος περίοδον. Ἔοικε δὲ ἡ ἀστρολογικὴ ἐκείνη καὶ συμβολικὴ λέξις ἐκ παλαιτάτου χρόνου ὁρμηθῆναι, μόνοις τοῖς ἱεροφάνταις καταληπτὴ ὕστερον οὖσα. Παρὰ δὲ τοῖς ἔξωθεν μῦθος ἐπέπλαστο, οἷον καὶ παρ' Ἡροδότῳ εὑρίσκομεν. Ἀλλὰ καὶ εἰς τὴν Ἑλληνικὴν μυθολογίαν εἰς-

(α) Ἤτοι ἔξω τῶν εἰωθότων σημείων τοῦ ὁρίζοντος. ἔπιθι τὰ τοῦ σοφοῦ Letronne· Mém. de l'Acad. des inscrip. XII, 2 p. 106.—

(β) Σοφώτατός τις ἀνὴρ ἔγραψεν ἀντὶ τοῦ ἀνατεῖλαι, ἀναστῆναι, ὅπερ ἴσως οὐκ ἀναγκαῖον.

ηγμένον τὸ λόγιον ὁρῶμεν. Καὶ γὰρ ὅσα ἐν τῷ Πολιτικῷ ὁ Πλάτων τὸν ξένον εἰςάγει ἀφηγούμενον, οὐχ αὐτὸς ἐποίησεν, ἀλλὰ κατὰ παράδοσιν παρέλαβεν. Καὶ γὰρ καὶ Εὐριπίδης περὶ τοῦ αὐτοῦ ὧδέ πως λέγει· (ἐν Ὀρεσ. στίχ. αʹ. κφξ.)

ὅθεν ἔρις τότε πτερωτὸν
ἀλίου μετέβαλεν ἅρμα
τὰν πρὸς ἑσπέραν κέλευθον
οὐρανοῦ προςαρμόσασα
μονόπωλον ἐς ἀῶ·
ἑπταπόρου τε δρόμημα Πελειάδος
εἰς ὁδὸν ἄλλαν Ζεὺς μεταβάλλει. (α)

Λέγει δὲ Πλάτων ἐν Πολιτικῷ (σ. 268, Ε, κφξ.) τάδε· «Ἦν τοίνυν καὶ ἔτι ἔσται τῶν πάλαι λεχθέντων πολλά τε ἄλλα καὶ δὴ καὶ τὸ περὶ τὴν Ἀτρέως τε καὶ Θυέστου λεχθεῖσαν ἔριν φάσμα.— — τὸ περὶ τῆς μεταβολῆς δύσεώς τε καὶ ἀνατολῆς ἡλίου καὶ τῶν ἄλλων ἄστρων, ὡς ἄρα ὅθεν μὲν ἀνατέλλει νῦν, εἰς τοῦτον τότε τὸν τόπον ἐδύετο, ἀνέτελλε δ' ἐκ τοῦ ἐναντίου· τότε δὲ δὴ μαρτυρήσας ἄρα ὁ θεὸς Ἀτρεῖ μετέβαλεν αὐτὸ ἐπὶ τὸ νῦν σχῆμα.» Ταῦτα μὲν οὖν ἐν τούτῳ τῷ τόπῳ, ὥςπερ καὶ παρ' Ἡροδότῳ κατὰ λέξιν ἐκλαμβάνεται· ὅτι μέντοι ὁ Πλάτων τὴν ἐσωτερικὴν τοῦ ἀφηγήματος ἔννοιαν εὖ πάνυ μεμυημένος ἦν, ἱκανῶς που δηλοῖ ἥ τε χρῆσις, ἥνπερ αὐτοῦ πεποίηται καὶ ἡ συνάφεια μετὰ τῆς τοῦ Κρόνου βασιλείας καὶ τῶν Γηγενῶν.

---

(α) Hygin. fab. 88 ob id scelus etiam sol currum avertit.



Εἴδομεν δ' ἐν τοῖς ἔμπροσθεν ὅτι ὁ φοίνιξ παρὰ τοῖς Αἰγυπτίοις σύμβολον ἦν τῶν ψυχῶν τῇ περιελεύσει κεκαθαρμένων· ταύτας δ' ἑκάστοτε ὡς ὄρνεα ἰνδάλλοντο κεφαλὴν ἀνθρωπίνην φοροῦντα, ὅπως καὶ ἐπὶ τῶν μνημείων ἐζωγράφουν. Καὶ ταύτην δὲ τὴν παράστασιν εὖ ἴσμεν καὶ εἰς τοὺς Ἕλληνας μεταβᾶσαν. καὶ γὰρ καὶ παρὰ Πλάτωνι αἱ τελειωθεῖσαι ψυχαὶ πτερωταὶ ὡςαύτως ἀναφαίνονται. καὶ οὐκ ἔστιν ὅπως μὴ ὑπολαβεῖν ὅτι αἱ μεγάλαι ἐν οὐρανῷ περίοδοι, περὶ ὧν νῦν δὴ ὁ λόγος γίγνεται, ἀνέκαθεν ἤδη τῷ περὶ μετεμψυχώσεως δόγματι συνημμέναι πως ἦσαν, καθ' ὅ γε ἡ ψυχὴ πρὸς τὸ ἀΐδιον τοῦ Ἡλίου φῶς, τὴν κυριωτάτην ταύτην ἀρχὴν τοῦ Αἰγυπτιακοῦ θρησκεύματος περιοδικῶς ἀεὶ ἔτεινεν. Καὶ τοῦτο δὲ τὸ δόγμα παρ' Αἰγυπτίων παραλαβόντες Φερεκύδης καὶ Πυθαγόρας εἰς τοὺς Ἕλληνας ἐκόμισαν. Καὶ Πλάτων δ' ὡςαύτως εἰς θαυμαστὸν κάλλος αὐτὸ ἀσκήσας, ὥςπερ καὶ οἱ ἀριθμοὶ ἐναργῶς μαρτυροῦσιν, οἷς κέχρηται τὰς τῆς ψυχῆς περιελεύσεις ὁριζόμενος· συμπίπτουσι γὰρ τῇ τοῦ Φοίνικος περιόδῳ, ὥς περ καὶ ἐν τῷ πρόσθεν εἴρηται. (Λεψίου Χρονολ. τῶν Αἰγυπτ. σ. 190—197.).

Ἐκ πάντων δὲ τούτων εὐλόγως ἄν τις τάδε ὁρισθείη· ὅτι μὲν γὰρ ὁ Πίνδαρος ὁ τὰ Ἐλευσίνια μυστήρια τετελεσμένος τὸ περὶ τῶν ψυχῶν δόγμα ἐκ τῶν Ἐλευσινίων παρέλαβε κατά γε τὴν ἡμετέραν γνώμην φανερόν· φανερὸν δ' ἐπίσης καὶ ὅτι ὅσα Πλάτων ἐν Φαίδρῳ πανόμοια τοῖς Πινδαρικοῖς περὶ τοῦ αὐτοῦ λέγει, εἰς τὰ Ἐλευσίνια ἀναφοράν τινα πάντως ἔχει, ὥςπερ ὑποδηλοῖ μοι καὶ ἧπερ αὐτόθι λέξει μυστηριακῇ ἐκέχρη-

το(α). Ἀμφότερα δὲ ταῦτα σοφῶς ὁ περίπυςος Αἰγυπτιολόγος Λέψιος εἰς τὰ τῶν Αἰγυπτίων ἀνάγει. Ἔοικε τοίνυν τὰ Ἐλευσίνια, ἅπερ κατὰ τὸν σοφὸν Οὐέλκερον κατὰ σμικρὸν τῷ χρόνῳ ἀεὶ ἐτελειοῦτο (Θεολ. Ἑλλ. Τ. Β, σ. 517 κ.φ.ξ.) μὴ μόνον ἐκ τῶν Ἀσιατικῶν συγκεκροτῆσθαι, ἀλλὰ καὶ τὰ τῶν Αἰγυπτίων παρειληφέναι. πάντα δὲ τῷ χρόνῳ εἰς ἓν ὕστερον συνηρμόσθαι. καὶ τοῦτο μὲν οὐκ ἂν πάνυ διϊσχυρισαίμην· τόδε μέντοι καὶ μάλα· πάντες γάρ που ὁμολογοῦσιν ὅτι τὰ Ὀρφικὰ καὶ Διονύσια ἐκ τῆς Ἀσίας εἰς Ἑλλάδα ἐφοίτησεν· ἀλλὰ καὶ ὅτι ταῦτα μετὰ τῶν Ἐλευσινίων εἰς ἓν συνεκεράσθη. Καὶ τὸ περὶ ἀθανασίας δὲ τῆς ψυχῆς δόγμα, τίσεώς τε καὶ ἀμοιβῆς τῶν ἐνθάδε πεπραγμένων (ϐ) ἐκ τῶν Ἐλευσινίων ὡσαύτως τὸ πρῶτον ὁρμηθὲν εἰς τοὺς πολλοὺς ὕστερον διεδόθη (Βερνάρδυος ἱς. τῶν παρ' Ἑλλ. λεκτ. τεχνῶν, Τ. Α. σ. 405, ϐ.). φανότατον δὲ τοῦτο μάλιστα ἐκ τῶν Πινδαρικῶν χωρίων, ἅπερ σφόδρα ὁ Πλάτων ἀγάμενος παρέλαβεν, ἔνια δ' αὐτῶν καὶ τῇ ἑαυτοῦ θεωρίᾳ συγκατέμιξε. Πῶς οὖν ἔχοι τις ἂν ἐλλόγως εἰπεῖν ὅτι ἐν τοῖς Ἐλευσινίοις καὶ καθόλου εἰπεῖν ἐν τοῖς μυστηρίοις οὐδὲν φιλοσοφικὸν ἐδιδάσκετο; ἆρά γε ὅτι τὰ μυστήρια κοινὰ τοῖς πᾶσιν ἦν, τούτου γε ἕνεκα οὐχ οἷόν τ' ἂν ἦν καὶ σύλλογον ἀνδρῶν σεμνοτέρων εἶναι τὰ μυ-

(α) Φαίδρῳ σ. 249. Γ. «τοῖς δὲ δὴ τοιούτοις ἀνὴρ ὑπομνήμασιν ὀρθῶς χρώμενος, τ ε λ έ ο υ ς ἀ ε ὶ τ ε λ ε τ ὰ ς τ ε λ ο ύ μ ε ν ο ς, τ έ λ ε ο ς ὄντως μόνος γίγνεται.»

(ϐ) Διχῇ γὰρ ὁ Ἅιδης κατὰ τὰ Ἐλευσίνια δόγματα διῄρηται εἰς τόπον τῶν ἀγαθῶν καὶ τὰ μυστήρια τετελεσμένων καὶ εἰς τόπον τῶν ἀτελέστων. Οὐελκ. Θεολογ. Ἑλλ. Τ. Β, σ. 518.



στήρια ἐγγύτερον τελουμένων; Ἔνιοι δὲ τῶν σοφῶν, ἐπεὶ καινά τινα καὶ τούτων πέρι ἔφθησαν εἰπόντες, σφοδρῶς μάλα φιλοτιμοῦνται τὰ ἑαυτῶν διασῶσαι, τοιαῦτα τινὰ ἀντιλέγοντες, ὡς οὔτε λόγοι παραινετικοὶ τρόπον τινὰ ἀπ' ἄμβωνος πρὸς τοὺς πολλοὺς ἐξεφωνοῦντο, οὔτε διδασκαλικαὶ καθέδραι ἦσαν, ἀλλὰ τὸ πλῆθος ἐφοίτα εἰς τὰ ἱερὰ ἵνα παρὰ τῶν ἱεροφαντῶν τὰ περὶ τοὺς θεούς, ἤτοι αὐτό γε δὴ τοῦτο, τὴν μυθολογίαν διδάσκοιντο! ἀμνημονοῦντες ὅτι αὐτοὶ οὗτοι οἱ σοφοὶ ἐν ἄλλῳ τόπῳ μάλα παγίως διϊσχυρίσαντο ὡς οὔτε ἱεραρχία τίς ποτε ἐν Ἑλλάδι ἦν, οὔτε ἡ μυθολογία ἱεροφαντῶν εὕρημα, ἀλλὰ κοινὸν γέννημα τῆς διανοίας ἁπάντων τῶν Ἑλλήνων. Πῶς οὖν οἱ ἱεροφάνται νῦν εἰς μέσον ἄγονται ὡς μᾶλλον τῶν ἄλλων Ἑλλήνων τοῦτό γε δὴ τὸ κοινὸν πᾶσι τοῖς Ἕλλησι κτῆμα, τὴν μυθολογίαν μᾶλλον τῶν ἄλλων εἰδότες; (α).

(α) Πάντες δὲ οἱ λόγοι, οὕςπερ ὁ σοφὸς Σελλέριος παρ' ἄλλων λαϐών, κατά γε τὸν ἑαυτοῦ τρόπον συγκεφαλαιοῖ (Τ. Α. σ. 42 κ.φ.ξ.), οὐδὲ μίαν ἰσχὺν ἔχουσι πρὸς τὸ κυρῶσαι τὰ αὐτῷ δοκοῦντα, ὅτι ἐκ τῶν μυστηρίων οὐδὲν φιλοσοφικὸν δόγμα προῆλθεν. (πρϐλ. μέντοι καὶ σ. 53.) Εἰ γάρ τις καλῶς πάντας τούτους τοὺς λόγους ἀνασκέψαιτο, ἑνὸς ἑκάστου τ ὴ ν α ἰ τ ί α ν ἀναζητῶν, ἀναμφιλέκτως εὑρήσει ὅτι πάντες τὸ ἐναντίον, οὗ γε ὁ σεϐαστὸς Σελλέριος ϐούλεται, ἐμφανῶς μαρτυροῦσιν. Ἡμῖν δὲ οὐ σχολὴ ἐν τῷ παρόντι τοῦτο ποιῆσαι· ἄλλως τε καὶ ἀνωφελὲς ἡγούμεθα ἀντιῤῥήσεις ἀντιῤῥήσεων τολυπεύειν. Ἀλλὰ τοῦτό γε μόνον ὡς ἐν παρέργου μέρει ἐρωτῶμεν· διὰ τίνα ποτὲ αἰτίαν ὁ Ὀνομάκριτος ἐπὶ Πεισιστράτου τῷ τοῦ Ὀρφέως ὀνόματι τὰ ἑαυτοῦ κοσμῶν, εἰς τοὺς πολλοὺς διεδίδου; ποίαν τινὰ δύναμιν γοητευτικὴν καὶ δι' ἣν αἰτίαν τοὔνομα τοῦτο τοῦ Ὀρφέως παρὰ τοῖς πολλοῖς εἶχεν;

Συγκεφαλαιώσαντι τοίνυν πάντα τὸν πρόσθεν λόγον ἐξὸν ἂν εἴη ἴσως εἰπεῖν ὅτι οἱ Ἕλληνες, ὡς ἔθνος λαμβανόμενοι, οὐ μόνον ἐπὶ τῶν Ὁμήρου χρόνων, ἀλλὰ καὶ πολλῷ ὕστερον τῆς τε ἀθανασίας τῆς ψυχῆς καὶ τῶν τοιούτων ζητημάτων, ὅσα περ τῆς ψυχῆς τοῦ φύσει φιλοσοφοῦντος ἀνθρώπου σφόδρα ἐπιλαμβάνεται, τρόπον τινὰ ὀλιγώρως εἶχον, τοιαύταις τισὶ δόξαις τούτων πέρι ἐμμένοντες, αἵπερ ἂν ἥκιστα, οἵῳ γε δὴ τῷ ἑλληνικῷ ἔθνει κατὰ πάντα τἆλλα ὄντι ἁρμόσειαν. Τοῦτο δὲ καὶ ὁ θεῖος Πλάτων ἱκανῶς μαρτυρεῖ ἄλλοθι μὲν πολλαχόθι, οὐχ ἥκιστα δὲ καὶ ἐν Φαίδωνι. οὑτωσὶ γὰρ τὸν Κέβητα πρὸς τὸν Σωκράτη εἰσάγει λέγοντα (σ. 70.)· «τὰ μὲν ἄλλα ἔμοιγε δοκεῖ καλῶς λέγεσθαι, τὰ δὲ περὶ τῆς ψυχῆς πολλὴν ἀπιστίαν παρέχει τοῖς ἀνθρώποις, μὴ, ἐπειδὰν ἀπαλλαγῇ τοῦ σώματος, οὐδαμοῦ ἔτι ᾖ, ἀλλ' ἐκείνῃ τῇ ἡμέρᾳ διαφθείρηταί τε καὶ ἀπολλύηται, ᾗ ἂν ὁ ἄνθρωπος ἀποθάνῃ, εὐθὺς ἀπαλλαττομένη τοῦ σώματος καὶ ἐκβαίνουσα, ὥσπερ πνεῦμα ἢ καπνὸς διασκεδασθεῖσα, οἴχηται διαπτομένη καὶ οὐδὲν ἔτι οὐδαμοῦ ᾖ. ἐπεὶ, εἴπερ εἴη που αὐτὴ καθ' ἑαυτὴν ξυνηθροισμένη καὶ ἀπηλλαγμένη τούτων τῶν κακῶν, ὧν σὺ νῦν δὴ διῆλθες, πολλὴ ἂν ἐλπὶς εἴη καὶ καλὴ, ὦ Σώκρατες, ὡς ἀληθῆ ἐστιν, ἃ σὺ λέγεις. Ἀλλὰ τοῦτο δὴ ἴσως οὐκ ὀλίγης παραμυθίας δεῖται καὶ πίστεως, ὡς ἔστι τε ἡ ψυχὴ ἀποθανόντος τοῦ ἀνθρώπου καί τινα δύναμιν ἔχει καὶ φρόνησιν.» (ὁμηρικώτατα!). καὶ προσωτέρω δὲ τοῦ λόγου λέγει ὁ Σιμμίας (σ. 77, Β.)· «Εἰ μέν τοι καὶ ἐπειδὰν ἀποθάνωμεν ἔτι ἔσται (ἡμῶν ἡ ψυχὴ), οὐδ' αὐτῷ μοι δοκεῖ, ἔφη, ὦ Σώκρατες, ἀποδεδεῖχθαι, ἀλλ' ἔτι ἐνέστηκεν, ὃ νῦν δὴ Κέβης ἔλεγε, τὸ τῶν πολλῶν,



ὅπως μὴ ἅμα ἀποθνήσκοντος τοῦ ἀνθρώπου, διασκεδαννύηται ἡ ψυχὴ καὶ αὐτῇ τοῦ εἶναι τοῦτο τέλος ᾖ.» (α). Καὶ ἄλλα πολλὰ ἔχοι τις ἂν εἰπεῖν ἐκ τοῦ ἐμφανοῦς ἀντιμαχόμενα πρὸς τὴν δόξαν τῶν οἰομένων ὅτι τὸ ἑλληνικὸν ἔθνος ῥοπήν τινα ἐνέφαινε πρὸς τὸ ζητεῖν τὸ καθόλου καὶ δὴ καὶ φιλοσοφεῖν ἐν αὐτοῖς ἤδη τοῖς Ὁμήρου ἔπεσι, τήν τε παρ' Ἕλλησι φιλοσοφίαν ὅτι ἔχοι τις ἂν ὡς γνησίαν ἑλληνικὴν καὶ ὅλως ἀμιγῆ καταδεῖξαι, ἐκ τῶν Ὁμήρου ἐπῶν ἀρξάμενος καὶ τἆλλα ὕστερον συνείρων. Ταῦτα δὲ λέγουσι καὶ εὖ μάλα εἰδότες ὅτι πλὴν ἄλλων δύο τῶν παρ' Ἕλλησι φιλοσόφων ἀναμφιλέκτως οἱ κράτιστοι καὶ γενναιότατοι, Ἡράκλειτός τε καὶ Πλάτων ἐν πολιτείᾳ αὐτὸ τοῦτο, τὴν τοῦ Ὁμήρου Μοῦσαν ὡς ἐμποδὼν τῷ φιλοσοφεῖν γιγνομένην καὶ τὰς τῶν πολλῶν διανοίας λυμαινομένην ἐκ παντὸς τρόπου προθυμοῦνται ἀκυρῶσαι.

Τὸ Ἑλληνικὸν ἔθνος, θαλλὸς ὢν γενναῖος τῆς Ἀριακῆς φυλῆς, ἐκόμισε μεθ' ἑαυτοῦ ἐκ τῆς ἀνθρωπομήτορος Ἀσίας Ἀριακὴν θεολογίαν καὶ θρησκείαν, ἥπερ νῦν δὴ ὑπὸ τῶν σοφῶν εἰς φῶς αὖθις ἀναφέρεται (β). ἐγκαταστὰν δὲ ἤδη ἐν χώρᾳ, ὡς ἔπος εἰπεῖν, πολυγυίῳ, εἰς πολλοὺς νομοὺς ὀρειναῖς ὀφρύσι διειλημμένῃ, τῇ ὕστερον κληθείσῃ κυρίως Ἑλλάδι, εἰς πολλὰς σμικρὰς βα-

(α) Εἰσὶ δέ τινες τῶν σοφῶν ἑρμηνευτῶν ἀντιστρόφως πως τὰ τοιαῦτα ἑρμηνεύοντες καὶ τὴν ἡλιοειδῆ τοῦ Πλάτωνος ἐνάργειαν ἀμαυροῦντες.

(β) Πρβλ. τὰς θαυμαστὰς διατριβὰς τοῦ σοφοῦ Κουνίου· Ἑρμείας καὶ Σάραμθγας, Σαρανγοὺ καὶ Ἐριννύς, Γανδαρβα καὶ Κένταυροι, πάντων δὲ μάλιστα τὴν κάθοδον τοῦ πυρὸς (ἄγνι) καὶ τοῦ νέκταρος (Σόμα)· ἔτι δὲ τοῦ σοφοῦ Στεϊνθαλίου, Βώδρυος καὶ ἄλλων.

σιλείας ἐκ παλαιτάτων χρόνων ἐχωρίσθη. Ἐρίδων δὲ πολλῶν, ὡς εἰκός, γενομένων παρὰ τούτοις τοῖς δήμοις τοῖς βασιλευομένοις ἐπιδρομῶν τε πρὸς ἀλλήλους ἀδιαλείπτων, ἀοιδῶν γένη ἑκασταχοῦ ἀνεφύη τὰ τῶν πολιτῶν ἔργα τῇ ἑαυτῶν μούσῃ μεγαλυνόντων. Τούτου οὖν ἕνεκα ἡ τῶν Ἑλλήνων Μοῦσα ἀνθρώπων ἔργα ἀρήϊα ἀεὶ ὑμνοῦσα, οὐ σχολὴν εἶχε τοὺς πάλαι περὶ τὴν ψυχρὰν φύσιν θεοὺς συχνῇ μελέτῃ καὶ ἐπινοίᾳ μεγαλύνειν, οὐδὲ τὰς ἐνυπολανθανούσας τῆς καθόλου ἀνθρωπικῆς συναισθήσεως ἐκφάνσεις ἐπὶ τὸ βέλτιον μεθαρμόζειν· ἀλλὰ κυριώτατον αὐτῇ μέλημα ὁ ἄνθρωπος ἦν κάλλει τε καὶ πυρὶ νεανικῷ ἐκλάμπων· εἰς τοιούτους καὶ τοὺς πρῴην ὑπάρχοντας θεοὺς μετεποίησεν, ἀνθρωποφυεῖς καὶ ἀνθρωποπαθεῖς, ἑλληνόπαιδας· οἷος γὰρ νῦν ὁ τῶν Ἑλλήνων χαρακτὴρ ἐν Ἑλλάδι κατέστη, τοιοῦτος καὶ ὁ τῆς θρησκείας αὐτῶν ἐν γένει. Περὶ δὲ τῆς μετὰ θάνατον ζωῆς ἥκιστα οἱ τὸν πολύαθλον καὶ ἔνδοξον βίον ἀγαπῶντες Ἕλληνες ἐφρόντιζον. Διὸ καὶ ἐν τοῖς ἔπεσιν αἱ πάλαι τῶν Ἀρίων δόξαι περὶ τοῦ ἀθλίου καὶ ἐλεεινοῦ τῶν ψυχῶν βίου ὡς σκιῶν τε καὶ φασμάτων, οἷαί περ ἦσαν τοιαῦται καὶ παρέμειναν, ἄψαυστοι καὶ ἀνεπεξέργαστοι (Δουγκερίου Ἱστ. τοῦ παλαιοῦ κόσμου Τ. Γ, σ. 518 κεξ.)· ὡσαύτως δὲ καὶ τὰ παραπλήσια, ὅσων γε ἡ μελέτη τὴν τοῦ ἀνθρώπου ψυχὴν εἰς ἑαυτὴν συνηθροισμένην ἀπαιτεῖ καὶ τῶν βιωτικῶν ταραχῶν καὶ παθῶν ὅσον οἷόν τε σχολάζουσαν. Διὸ δὴ τὸ ἑλληνικὸν ἔθνος, ὡς ἄν τις καθόλου εἴποι, ἥκιστα ἐν τῇ Ἑλλάδι τῶν γε τοιούτων ἐπεμελεῖτο. Ἔοικε μέντοι καὶ μοῖρά τις τοῦ ἔθνους ἡσυχαίτερον καὶ σπουδαιότερον βίον προελέσθαι, παρ' ᾗ τὰ πάλαι δόγματα, ἅπερ παρὰ



τοῖς λοιποῖς ὁσημέραι ἠφανίζετο ἢ ἠλλοιοῦτο, παρ' ἐκείνῃ, ὥς γ' εἰκός, ἐσώζετο καὶ ἀεὶ μᾶλλον ἐτελειοῦτο. Εἰ δέ τι καὶ ἔξωθεν ἐξ Ἀσίας ἢ Αἰγύπτου πολλαχῶς εἰς τὴν Ἑλλάδα εἰσῄει, δῆλον ὅτι ταύτῃ τῇ μοίρᾳ τοῦ ἔθνους προσιτὰ ἐγίγνετο, ἥτις πάντως ὕστερον σοφῶν τε καὶ ἱεροπρεπῶν ἀνδρῶν συλλόγους ἀπετέλεσεν, ἐξ ὧν τὰ σεμνὰ διδάγματα προὔκυπτε τῇ τῶν ὀθνείων, ἀλλ' ὡς ἄν τις φαίη, συγγενῶν ἀναμίξει ὁσημέραι βελτιούμενα. καὶ οἱ τῶν τοιούτων καθηγούμενοι, ἄλλως τε βίον ἑλληνικὸν ὡς Ἕλληνες ἤδη διάγοντες καὶ τὸ γενναῖον ἀνθρωπικὸν ἦθος φύσει πως τῶν ἐν τῇ φύσει καθόλου μᾶλλον τιμῶντες, χάριν ἑλληνικὴν καὶ εὐμουσίαν πᾶσι τοῖς τοιούτοις περιῆπτον. Ἐντεῦθεν ἄρα δῆλον ὅτι τὸ φιλοσοφοῦν ἐν Ἑλλάδι καὶ ἐν ὑστέρῳ χρόνῳ τοῦ ἄλλου δήμου ἐκεχώριστο, οἵτινες φύσιν εἶχον τῶν ὄντων κατὰ μέρος, αὐτό γε τοῦτο πλαστικῶς ἀντιλαμβάνεσθαι καὶ χαριέντως πάνυ ἐκφαίνειν, οὐ μέντοι καὶ φιλοσοφικῶς ἤτοι καθόλου, τὸ Ἓν ἐπὶ πάντων ἐπιδιώκοντες. χαρακτὴρ τοίνυν κυριεύων τοῦ δήμου καὶ τῶν δημοτικῶν ποιήσεώς τε καὶ ἄλλων ἔργων ἡ χάρις ἦν· τῶν γὰρ Ὁμήρου ἐπῶν, τῶν Λυρικῶν (πλὴν τοῦ Πινδάρου) Σοφοκλέους, Ἀριστοφάνους κυριεύων χαρακτὴρ ἡ χάρις πάντως ὑπάρχει· χαρακτὴρ δὲ τῶν θεολόγων καὶ φιλοσοφούντων ποιητῶν τὸ ὕψος καὶ ἡ μεγαλοπρέπεια, Ἡσιόδου, φέρ' εἰπεῖν, Αἰσχύλου, Πινδάρου· χαρακτὴρ δὲ τῶν ὕστερον φιλοσόφων συγγραφέων ἀμφότερα τῷ χρόνῳ εἰς ἓν συγκραθέντα, χάρις ἅμα καὶ μεγαλοπρέπεια· οἷός ἐστιν ὁ θεῖος Πλάτων τέλειος ἕλλην, ὁλοσχερῆ τὸν Ἑλληνισμὸν καὶ τὴν ἑλληνικὴν φιλοσοφίαν τρόπον τινὰ κεχωνευμένην καὶ τετελειωμένην ἐμφαίνων.

Κύριον χαρακτῆρα τῶν Ὁμήρου ἐπῶν τὴν χάριν φαμὲν εἶναι, ἀλλ' οὐ τὸ ὕψος καὶ τὴν μεγαλοπρέπειαν. Ταῦτα δὲ λέγοντες οὔτε ἐκείνου τοῦ «Βῆ δὲ κατ' Οὐλύμποιο καρήνων χωόμενος κῆρ» ἀμνημονοῦμεν οὔτε ὅτι ὁ Φειδίας τὴν Διὸς τοῦ Ὀλυμπίου μεγαλοπρέπειαν ἐποίησεν, ἐν νῷ μάλιστα ἔχων τὴν Ὁμηρικὴν συνέντευξιν τοῦ Διὸς καὶ τῆς Θέτιδος (Στράβωνος Β, σ. 137.) καὶ ὅσα ἄλλα τοιαῦτα. Ἀλλὰ γὰρ βουλοίμεθ' ἂν δῆλον ποιῆσαι ὅ,τι λέγομεν· τούτοις γὰρ καὶ τοῖς τοιούτοις ἀνθρωπικὸν πάθος καὶ αἴσθημα ὁ δῆμος ὁ ἑλληνικὸς περιάψας, χαριέστερα ἐποίησε, τὸ κατ' ἀρχὴν ψυχρὸν καὶ ἄναυδον μεγαλεῖον τῆς φύσεως περικείρας. Εἴ τις οὖν ἐν ἕκαστον τῶν ἐν τοῖς Ὁμήρου ἔπεσιν ἀνθρωποειδῶς ᾀδομένων πρὸς τὴν πρώτην αὐτῶν ἀρχὴν καὶ μορφήν, ἣν εἶχε, παραβάλοι (ὅπερ οὐ τοῦ παντὸς ἔργον), πεισθήσεται πάντως ὅτι τὸ ὁμηρικὸν ἐν τοῖς Ὁμήρου ποιήμασιν ἡ χάρις ἐςὶν ἡ Ὁμηρική, τὴν ἀνέκαθεν μεγαλειότητα εἰς θυμοειδοῦς ἀνθρώπου μοῖραν περιστέλλουσα. χαριτιῶν δέ τινων μυθολογικῶν τὴν κυρίαν ἔννοιαν, ἥν περ τὸ πρῶτον εἶχον, παντάπασιν ἀγνοοῦντα τὸν Ὅμηρον ἢ τὸν ἑλληνικὸν δῆμον εὑρήσεις· οἷόν που καὶ τὸ περὶ τῶν ἐν Θρινακίῃ τῇ νήσῳ βοῶν καὶ μήλων τοῦ Ἡλίου (Φαισίου εἰςαγ. εἰς Ὀδ. σ. IX. Οὐελκ. Θεολ. ἑλλ. Τ. Α. σ. 404 κ.φ.ξ.) καὶ τὸ περὶ τῆς φιλότητος τοῦ Διὸς καὶ τῆς Ἥρας ἐπὶ τῶν τῆς Ἴδης κορυφῶν καὶ τὸ περὶ τῶν συνεχῶν ἐρίδων αὐτῶν καὶ τῶν δόλων τῆς κουριδίης ἀλόχου καὶ ἡ καλλιτέχναις τισὶν ἴσως οὐ πάμπαν ἀπαρέσκουσα ποινή, ἥν περ ὁ Ζεὺς τῇ φαιδίμῃ ἀλόχῳ ἐπιβάλλει, καίπερ ἥκιστα κοσμία καὶ ἀνθρωποειδῶς ἀπάνθρωπος οὖσα καὶ πολλὰ ἄλλα μεταξὺ γῆς τε καὶ τοῦ εὐδίου οὐρανοῦ φαινόμενα ἐν ἀέρι, ὧν περ τὴν κυρίαν ἔννοιαν παντάπασι φαίνεται ὁ Ἀοιδὸς ἀγνοῶν, εἰ καὶ σημαντικοῖς ἔστιν οὗ ὀνόμασι κατὰ παράδοσιν κέχρηται. κἀκεῖνο δ' ὅπερ ὁ Ζεὺς βλοσυρότητι ὡς εἶχε, μεγάλα αὐχῶν, τοῖς ἄλλοις θεοῖς ἐπαπειλεῖ, κοσμογονικὰ ὀνόματα οὐκ οἶδ' ὅπως ἐπὶ ἀνθρωπείων ἔργων, κατὰ ψιλήν, φαμεν, παράδοσιν ἀναπυργῶν, ἐν δ' αὐτοῖς κἀκεῖνα τὰ πᾶσι γνωστὰ ἀγορεύων·

εἰ δ' ἄγε πειρήσασθε, θεοί, ἵνα εἴδετε πάντες
σειρὴν χρυσείην ἐξ οὐρανόθεν κρεμάσαντες,
Ἰλ. Θ. 20. πάντες δ' ἐξάπτεσθε θεοὶ πᾶσαί τε θέαιναι·

καὶ τὰ ἐφεξῆς, ἅπερ ἥκιστά γε ἡμεῖς νοοῦμεν, καθάπερ οἱ σοφοί, ὡς τοῦτ' ἐκεῖνο ἐμφαίνοντα ὅτι ἐφ' Ὁμήρου ὁ Ἑλληνικὸς δῆμος ἑνότητά τιν' ἐπιζητῶν, οὕτως ᾄδει, ἀλλὰ πολλῷ μᾶλλον παράδοσιν χρόνῳ πολιάν, συνειρμὸν καὶ κορύφωσιν θεῶν καὶ θεαινῶν καὶ ἁπάντων τῶν ὄντων εἰς Ἕν-



τι ὕπατον ὂν σημαίνουσαν, (α) ὁ δῆμος ὁ ἑλληνικὸς τὰ πάντ' ἀπαύστως ἐξανθρωπίζων, μεθήρμοσε τέλος ἐπὶ Ὁμήρου εἰς μειρακιῶδες παίγνιον, σχολῇ γε μεγαλεῖον, ἀλλὰ καὶ γέλωτα παρέχον· τῆς δ' ἐξ ἀρχῆς ἐννοίας αὐτοῦ σχεδόν τί μοι πάμπαν λελησμένος δοκεῖ ὁ Ὅμηρος. ὅπερ οὖν λέγω, τὸ ἐν τῇ φύσει τῇ κατ' ἀνθυπόστασιν γιγνόμενον ὁ Ἕλλην ἀνθρωποποιήσας χάριεν ἀντὶ μεγαλείου κατέστησε. Φανότατον δὲ τοῦτο γένοιτ' ἄν, παντὶ τὴν παρ' Ὁμήρῳ τῆς Ἀθηνᾶς ἰδέαν ἐν νῷ λαβεῖν ἐθέλοντι· ἡ Ἀθηνᾶ, ἀρχῆθεν ὁ ἀπέραντος καὶ αἰγλήεις καὶ γλαυκὸς αἰθήρ, τοῦτο τὸ θεῖον καὶ ἔκπαγλον ὂν τὸ τὴν αἰγίδα πάλλον, τοὺς μελαντάτους δαίμονας, τὴν Γοργώ, τὰς ὀμβρηρὰς νεφέλας καὶ λαίλαπας καλλινίκως καταπολεμοῦν (Δουγκ. Ἱστ. Τ. Γ, σ. 18, 19.) ἐν τοῖς Ὁμήρου ἔπεσιν εἶδος καὶ φωνὴν σεμνῆς καὶ συνετῆς Ἡρωΐδος λαβοῦσα, ὡς πρεσβυτέρα ἀδελφὴ τοῦ Ἀχιλλέως ἡμῖν ἐπιφαίνεται καὶ τοῦ Τηλεμάχου, κόρη θάρσους τε καὶ φρονήσεως καὶ χαρίτων παντοίων ἀνάπλεως. ἔχει μὲν οὖν αὐτὴ μόνη τῶν θεῶν κοινὴν τῷ Διὶ τὴν θυσσανόεσσαν αἰγίδα δεινήν τε καὶ σμερδνὴν οὖσαν τῆς καταιγίδος ἀσπίδα ἤτοι ὡς ὕστερον αὐτὴν ἡρμήνευον, ὄμβρον τε καὶ νεφέλας χρυσαῖς ἕλιξι κύκλῳ εἰλημμένας, ἀστραπῇ διαπαλλομένας· ἔστιδ' ὅτε καὶ τῷ κεραυνῷ τοῦ πατρὸς ἀστράπτει τε καὶ βροντᾷ ἡ ὀβριμοπάτρη καὶ τὸν πέπλον τὸν ἑανόν ποτε καταχεύασα πατρὸς ἐπ' οὔδει

ποικίλον, ὅν ῥ' αὐτὴ ποιήσατο καὶ κάμε χερσίν, (Ἰλ. Ε, 735.)

ὥσπερ τις Ἀνδρομάχη ἢ Πηνελόπη ἢ ἄλλη ἄνασσα θνητή, (ὡς θεά, ἴσμεν γάρ, τῶν βιωτικῶν τεχνῶν πολύβουλος, πηνῖτις) τὸν δὲ χιτῶνα τοῦ Διὸς τοῦ νεφεληγερέτου ἐνδῦσα, καὶ τὰ λοιπὰ τεύχη ἀναλαβοῦσα, ἐς πόλεμον πολύδακρυν ὁπλίζεται· εἴς τε τὸ φλόγινον ἅρμα παρὰ τῇ Ἥρᾳ ἐμβεβηκυῖα διὰ χρυσογλαύκου αἰθέρος τε καὶ ἀέρος καὶ τῆς φαεινῆς πύλης τοῦ ἄνω οὐρανοῦ εὐπετῶς ἐλάσασα, ἐπὶ Τροίης δὲ καταβᾶσα εἰς Ἄρηος ἔργον μίγνυται πολύστονον, καὶ τὸν μαινόμενον θεόν, τὸν ἀλλοπρόσαλλον, ὃν μάλιστ' εἴωθε κακῆς ὀδύνῃσι πελάζειν, καρτερῶς διὰ τοῦ Διομήδους τιτρώσκει· καὶ ὃς ὁ Ἄρης οὐδενὶ σὺν κόσμῳ, οὔτε θνητῶν ἐντρεπόμενος οὔτ' ἀθανάτων, σμερδαλέα ὑπ' ἀλγηδόνος ἰάχων, ἀναβαίνει εἰς

(α) Εἰ καὶ πρώτη ὑπόστασις τούτου τοῦ δόγματος μηδεμία ἄλλη ἴσως ἦν ἢ τὰ ἐν τῷ περιέχοντι φαινόμενα, καταιγίδες, βρονταὶ καὶ ἀστραπαὶ καὶ ὅσα ἄλλα τὸν δεινὸν ἀγῶνα ἀποτελεῖ τῆς καλλινίκου αἰθρίας τε καὶ αἴγλης πρὸς τὰς παντοειδῶς φερομένας καὶ ἀναπυργουμένας φάλαγγας τῶν νεφῶν, ὥσπερ τις Μέλας δαίμων ἔναγχος ἀρθεὶς ἐπαγγέλλει.

μακρὸν Ὄλυμπον, ὀλοφύρεται μινυρίζων ὁ δείλαιος πρὸς τὸν Δία, σὺ τέκες, λέγει, ἄφρονα κούρην, οὐλομένην, παῖδ' ἀίδηλον. ὁ δὲ Ζεὺς χαλεπήνας αὐτῷ καὶ πικρὰ ἐπιπλήξας ἀπέπεμψεν πρὸς Παιήονα, ὃς ὀδυνήφατα φάρμακα πάσσων εὐχερῶς ἰάσατο τὸν θοῦρον Ἄρη· καὶ τούτων οὕτως ἐπιμὶξ ᾀδομένων, κυριεύων, λέγω, χαρακτὴρ τῆς θεᾶς τῆς Ἀθηνᾶς ἡ χάρις πάντως ἐστὶ πρὸς τὴν ἀρχῆθεν ἄναυδον τῆς φύσεως μεγαλειότητα. εἰ δέ τις καὶ ὅλην τῆς παρ' Ὁμήρῳ θεᾶς τὴν ἰδέαν τῇ διανοίᾳ ἅμα λαβεῖν ἐθελήσειεν, παραπλήσιόν τι αἰσθήσεται οἷον ὅταν τὸν χαριέστατον ἄγγελον θεᾶται, ὃν συχνοὶ τῶν ἐνδόξων ζωγράφων πρὸς τὸν ἀπόστολον Ματθαῖον ἢ τὸν Πέτρον ἐν τῷ δεσμωτηρίῳ, ὥσπερ καὶ ὁ μέγας Ῥαφαὴλ προσηνῶς καθιπτάμενον ἐζωγράφησε. Κἀν ταύτῃ γὰρ τῇ εἰκόνι τὸ μὲν θεῖον ἐξανθρωποῦται, τὸ δ' ἀνθρώπειον ἀποθεοῦται. Μεγαλύνεται μὲν οὖν ὁ ἄνθρωπος πάντως, ἀλλ' οὐχ ἧσσον κυριεύων χαρακτὴρ τῆς εἰκόνος οὐχ ἡ μεγαλειότης, ἀλλ' ἡ χάρις πάντως ὑπάρχει· τὸ γὰρ θεῖον μειλίσσεταί πως καὶ προσηνὲς ἐπιφαίνεται, ἀνάπλεων χάριτος τῷ θνητῷ προσμειδιῶν τε καὶ χαριζόμενον· τὸ δ' ἀνθρώπειον μεγαλυνόμενον οὐδέποτε τῆς τοῦ θείου μεγαλειότητος ἐξικνεῖται. παραπλησίως δὲ καὶ ἐπὶ πάσης ἄλλης ἐξανθρωπίσεως τοῦ θείου καὶ δὴ καὶ τῆς ἐπὶ Ὁμήρου· εἴπερ γὰρ τὸ περὶ οὗ νῦν δὴ ὁ λόγος οὔπω τὸ ὡς ἀληθῶς θεῖον ἦν, ἀλλ' αὐτή γε ἡ φύσις ἡ μεγαλοπρεπής, ἧσσον πάντως οὖσα τῆς ἐν τῷ ἀνθρώπῳ ἠθικῆς μεγαλειότητος, ἀλλ' οὐδ' αὖ ἔν γε τοῖς Ὁμήρου ἀνθρώποις τῷ λογιστικῷ κεκαθαρμένος ὁ θυμὸς ὑπερίσχυεν· ἐγγυτάτω γὰρ τῆς φύσεως ὁ ἄνθρωπος τότε ἐτύγχανεν ὢν καὶ πρὸς αὐτὴν τὴν φύσιν ὡς σμικρὸν πρὸς μέγα. Τάχα δ' ἄν τις κάλλιον ἐννοήσειεν, ὃ μάλιστα βουλόμεθα εἰπεῖν, εἴπερ τὴν ἐν τοῖς Ὁμήρου ἔπεσιν ἀνθρωποειδῆ τῆς Ἀθηνᾶς ἰδέαν πρὸς τὴν παρ' Αἰσχύλῳ παραβάλοι· ὁ γὰρ Αἰσχύλος τὴν ἐν Ἕλλησιν ἐξανθρωπισθεῖσαν Ἀθηνᾶν παραλαβών, πάλιν αὖθις ἀπεθέωσεν, εἰς τὸν ἠθικὸν Ὄλυμπον αὐτὴν ἀναβιβάσας· ὁ μὲν οὖν Ὅμηρος τοὺς φυσικοὺς θεοὺς εἰς φυσικοὺς ἀνθρώπους κατεβίβαζεν, ὁ δὲ Αἰσχύλος τοὺς φυσικοὺς ἀνθρώπους εἰς ἠθικοὺς θεοὺς ἀνεβίβαζεν. ὁ κυριεύων ἄρα χαρακτὴρ τοῦ Ὁμήρου ἐστὶν ἡ χάρις, ὁ δὲ κυριεύων χαρακτὴρ τοῦ Αἰσχύλου τὸ ὕψος καὶ ἡ μεγαλοπρέπεια.

Ἡ δὲ ἐξανθρώπισις τῶν τῆς φύσεως δυνάμεων καὶ μερῶν ἐν συχνοτάτῃ χρήσει καὶ παρ' Ἰνδοῖς ὑπῆρχεν, ὡς δηλοῖ μάλιστα ἀμφότερα τὰ μεγάλα ἔπη, ἀλλὰ ἑκάστη φάσις τῆς φύσεως παρ' αὐτοῖς, ψυχήν, νοῦν, βούλησιν ἀνθρώπου ἔχουσα καὶ ὡς ἄνθρωπος δρῶσα διατελεῖ τὸ μέρος τηροῦσα τῆς ἀρχῆθεν φύσεως οὐ σφόδρα παρηλλαγμένον, ὡς ἄλλα τε πολλὰ μαρτυρεῖ καὶ ἡ κάλλεσι φυσικοῖς καὶ μυθικοῖς θεσπεσίως ᾀδομένη γένεσις τῆς Γάγγας ἐν τῇ ἐποποιΐᾳ τῇ Ῥ α μ α γ ά ν α καλουμένῃ· οὐ γὰρ ὁ Γάγγης ποταμὸς ὡς πρεσβύτης κουροτρόφος ἐν ζασκίῳ ἄντρῳ κοιταζόμενος παπύρῳ τε καὶ λιμναίοις λωτοῖς τὰ κέρατα εἱλιγμένος, λειοπώγων, πίθον ἢ στάμνον ταῖς χερσὶ προκλίνων, ὕδωρ τε ἀέναον, ἀλφεσίβοιον προχέων ᾄδεται, ἀλλ' ἀντὶ τούτου φυσικὸς ποταμὸς ἀπὸ φαεινοῦ αἰθέρος κατὰ φαράγγων τε ζαθέων καὶ κοιλάδων ἐκπάγλως καχλάζων ἢ εἰς σπήλαια καὶ σήραγγας κρύφα μορμυρίζων, σοῦν τε αὖθις ἱερὸν ἀναδιδούς, αἴφνης ἐκπιδύων. παραπλησία δοκεῖ μοι καὶ παρ' Ἕλλησι πάλαι ποτὲ γεγονέναι ἡ τῆς φύσεως ἐξανθρώπισις, ἧς λείψανα σώζεται παρ' Ὁμήρῳ ἄλλα τε καὶ Σκάμανδρος ὁ ἀργυροδίνης ὃν Ξάνθον οἱ θεοὶ καλοῦσι θυμὸν μὲν καὶ μένος ἀνθρώπειον ἔχων φύσιν μέντοι ποταμοῦ ἀληθινοῦ ἐλέγχων. Ἔστι δὲ παρ' Ἰνδοῖς καὶ ἡ ἐναντία ἀπὸ τοῦ ἀνθρωπείου εἰς τὸ θεῖον ἄνοδος, ἧς οὐδὲ τὰ Ὁμήρου ἔπη πάμπαν ἄμοιρά μοι φαίνεται, ὁ δ' Αἰσχύλος μάλιστα καὶ οἱ ἄλλοι ὕστερον καὶ πάνυ τά γε τοιαῦτα ἐπὶ τὸ ἠθικώτερον ἤσκησαν. Ἀμφότεραι δὲ αἱ ὁδοί, ἥ τε κάτω, ὡς ἄν τις τὴν τοῦ θείου ἐξανθρώπισιν εἴποι, καὶ ἡ ἄνω ἡ τοῦ ἀνθρωπείου ἀποθέωσις ἀποτελοῦσιν ἅμα πανθεϊσμόν, ὅπου ἂν ἡ φύσις τε καὶ τὸ θεῖον ἀλλήλοιν ἀχώριστα νομίζηται. Τῆς μὲν οὖν κάτω ὁδοῦ τῆς ἐπὶ Ὁμήρου καὶ ὕστερον ἐπικρατούσης παρὰ τῷ δήμῳ τῷ ἑλληνικῷ, τ ε λ έ ω ς μὲν ἀνθρωποποιητικῆς ἥκιστα δὲ φιλοσοφικῆς οὔσης, χαρακτῆρα κύριον ἡμεῖς γε τὴν χ ά ρ ι ν φαμὲν εἶναι, τῆς δὲ ἄνω ὁδοῦ, τῆς ἀποθεώσεως τοῦ ἀνθρωπείου τὸ ὕψος καὶ τὴν μεγαλειότητα.



Εἰ δέ τις ἐν ταῖς παντοειδέσι προσωποποιήσεσι τῶν φυσικῶν ὄντων καὶ δυνάμεων συνάφειάν τιν' ἀνακαλύπτοι, καθόλου τινὰ ἰδέαν ὑποδηλοῦσαν, τοῦτο οὐκ ἔργον τῆς ἐπὶ Ὁμήρου ἑλληνικῆς διανοίας ἐστίν, ὡς τὰ ὅμοια ἤδη τοῖς ὁμοίοις συνδυαζούσης καὶ εἰς ἓν τὰ πάντα συναπτούσης, ἀλλὰ τἀνάπαλιν λείψανα παραδόσεως παμπαλαίας· τοῦτο δ' ἐναργέστερον καθίσταται τὴν πολυσχιδῆ μετασκευὴν σκοποῦντι τῶν ἐξ Ἀσίας εἰς Ἑλλάδα κομισθέντων δογμάτων, ἐν οἷς ἦν πρεσβύτατον ἁπάντων τόδε· ὅτι ὑπεράνω τοῦ ἀέρος λευκὴ αἴγλη τὸν οὐρανὸν πάντα περιπολεῖ καὶ θάλπος ἅμ' αὐτῇ, τοῦ ἡλίου χωρὶς κεχυμένος ὁ αἰθὴρ (παρ' Ἰνδοῖς ὁ παγγενέτωρ) ἐξ οὗ αἱ ἀστραπαὶ δίκην σπινθήρων προΐενται. αὕτη

δὲ ἡ δόξα σώζεται καὶ παρ' Ὁμήρῳ « αἰθέρα καὶ Διὸς αὐγάς » λέγοντι, εἶτα δὲ εἰς τὴν τοῦ Διὸς ἰδέαν συνεκρίθη πως ὁ αἰθήρ, ὡς τοῦ εὐδίου καὶ φαεινοῦ οὐρανοῦ καὶ τοῦ ἀέρος, ἀστραπῇ καὶ κεραυνῷ τὰ κελαινοφαῆ διασχίζοντος δαιμόνια ἤτοι τὰς ὀμβρηρὰς νεφέλας, καὶ ἐκ τοῦ Διὸς αὖθις ἀπεκρίθη παρ' Ἕλλησιν, ὡς ἐκ τῆς κεφαλῆς αὐτοῦ ὄντως ἔνοπλος ἀναθοροῦσα ἡ Ἀθηνᾶ, Ἀθήνη ὄνομα, ὅπερ Οὐέλκερος ὁ σοφὸς ἐκ τοῦ πρωτοτύπου ΑΙΘ παράγει, ἐξ οὗ καὶ ὁ αἰθὴρ καὶ ἡ αἰθρία καὶ τὰ παραπλήσια· καὶ αὕτη δὲ ἡ Ἀθηνᾶ ὡς τοῦ γλαυκοῦ καὶ διαυγοῦς οὐρανοῦ θεὰ ἢ τοῦ ἐψυχωμένου καὶ ἔμφρονος αἰθέρος καὶ τοῦ νεφώδους ἀέρος, ὡς τὰ ὀνόματα δηλοῖ τό τε παλαιότερον Ἑλλεσίη (παρὰ τὸ ἕλας, σέλας, ἕλλη, ἕλη, εἵλη) καὶ τὸ ὕστερον γλαυκῶπις, ἄμφω τὸ λαμπρὸν δηλοῦντα, ἔτι δὲ τὸ ἀνεμῶτις καὶ τριτογένεια, εἰς τὸν νεφώδη ἀέρα καὶ τὸ ὕδωρ ἀναφέροντα, καὶ τέλος τὸ ἔργον αὐτῆς ψυχὴν ἐνθείσης τῷ πλάσματι τοῦ Προμηθέως, τὸν ἔμφρονα αἰθέρα ὑπομιμνῆσκον. Ὡς οὖν ἐκ τοῦ αἰθέρος καὶ τῆς δυνάμεως αὐτοῦ ἡ τοῦ Διὸς ἰδέα, ὡς ἔπος εἰπεῖν συνεκρίθη, κἀκ ταύτης ἡ τῆς Ἀθηνᾶς ἀπεσχίσθη, οὕτω καὶ ἐξ ἄλλης φυσικῆς συμπιλήσεως τοῦ αἰθέρος, ὡς ἐδόξαζον, εἰς τὸ μαρμαῖρον ἄστρον τοῦ Ἡλίου, ἀπεσχίσθη τῷ χρόνῳ, ὅ τε Πὰν (οὐ παρὰ τὸ πάω, ἀλλὰ παρὰ τὸ φάω κατὰ τὸν σοφὸν Οὐέλκερον καλούμενος) ἐπὶ τὸ ἀγροικότερον καὶ Σατυρικώτερον καὶ ὁ Ἀπόλλων ἐπὶ τὸ ἠθικώτερον μετασκευασθείς, (Οὐέλκ. αὐτ. τ. Α. σ. 208—320. 400 κ.φ.ξ. 451 κ.φ.ξ. 457 κ.φ.ξ. πρβλ. καὶ Δουγκ. ἱσ. τ. Γ. σ. 15 κ.φ.ξ.—) καὶ ἄλλα πάμπολα, περὶ ὧν ἀναληπτέον τὰ ἑξῆς.



Εἰ καὶ φύσις πρώτη τε καὶ κυρία τῆς ἀνθρωπικῆς διανοίας δοκεῖ ἡμῖν εἶναι ἥδε, ἀντιλαμβάνεσθαι μὲν τοῦ ὑπάρχοντος, ὥς τινος συνεχοῦς τὸ πρῶτον, εἶτα δὲ κατὰ σμικρὸν ἀνθυφισταμένων αὐτῇ τῶν καθ' ἕκαστον ὄντων διὰ τῶν αἰσθήσεων, συνάπτειν τε αὖθις αὐτὰ καὶ ἀναφέρειν εἰς ἄλληλα, καὶ διὰ ταυτηνὶ τῆς διανοίας τὴν δύναμιν τοῦ συνείρειν τὰ ὄντα εἰς ἄλληλα θέσθαι φαμὲν ἐξ ἀνάγκης τὸν πρῶτον ἄνθρωπον τὰ πρῶτα ὀνόματα, ἀρχήν τε γλώσσης οὕτω ποιῆσαι, οὐδὲν μέντοι κωλύειν ἡμᾶς ἡγούμεθα εἰπεῖν καὶ τἀνάπαλιν ὡς δεύτερον, αὐτὸ δὴ τοῦτο τὸ ἄρτι λεχθέν, ὡς ἄρα ἡ ἀνθρωπικὴ διάνοια φαίνεται ἅμα καὶ μεριστική πως τοῦ ὄντος εἶναι, καθ' ὅσον τὰς διαφορὰς, ἐξαλλαγὰς, μυρίας τῶν ὄντων ποικιλίας πρὸς ἀλλήλας ἕλκουσα, διαγιγνώσκει τε καὶ ὀνόμασι σημαίνει. (ἀλλὰ τούτου πέρι διὰ μακροτέρων ἐν τῷ ἡμετέρῳ λόγ. πρὸς τὴν ἑλλ. νεολ.). οὕτω δὲ τούτων τεθειμένων, πεφυκέναι φαμὲν τὴν καθόλου ἀνθρωπικὴν διάνοιαν μεριστικωτέραν εἶναι τῆς τε φαντασίας καὶ τῆς φωνῆς· ἃς γὰρ ἡ διάνοια τῶν ὄντων καὶ φαινομένων διαφορὰς ὑποπτεύει καὶ ἤδη διορᾷ, τούτων πολλὰς ἡ φαντασία φθάνουσα εἰς μίαν συντήκει καὶ ἡ γλῶσσα μιᾷ φωνῇ ἐξαγγέλλει. ἐκ μὲν οὖν τῆς φαντασίας τὰ ἀμηγέπη ἀλλήλων διάφορα ὡς ὅμοια εἰς ταὐτὸν συντηκούσης, γίγνονται αἱ μεταφοραὶ, ἐκ δὲ τῆς φωνῆς δι' ἔνδειαν τὰ ὁμώνυμα. Ἰδίᾳ δὲ τὰ Ἰνδοευρωπαϊκὰ φῦλα ἀρχῆθεν εἶχε φαντασίαν πυρώδη, ἥτις διὰ τὸ πολὺ πῦρ εἰς ταὐτὸν συντήκουσα τὰς λεπτὰς παραλλαγὰς τὰς ἐν τοῖς ὁμοίοις, κενωτέρα ἰνδαλμάτων καὶ, ὡς ἔπος εἰπεῖν, ἀναρθροτέρα ὤφθη τὸ πρῶτον τῆς τῶν Σημιτῶν γαληνιωτέρας οὔσης φαντασίας (ἄλλο δ' ἐνθουσιασμὸς

καὶ ἄλλο φαντασία), ἃ γὰρ ὁ Σημίτης ἤδη ὡς ἀλλήλων διάφορα ἠρέμα ἰνδάλλετο, ταῦτα ὁ Ἰνδογερμανὸς συνέχεε ψευδῶς ὅμοια εἰς ψευδῶς ὅμοια ἐπισπερχῶς μεταφέρων. τοῦτο δὴ οὖν τὸ πρῶτον ψεῦδος, ὅπερ ἐγέννησεν ἡ δύναμις ἡ ὑπέρτονος καί, ὡς ἔπος εἰπεῖν, τὸ φλόγινον ἄνθος καὶ σφρῖγος τῆς φαντασίας τῶν Ἰνδοευρωπαίων, ἐπηύξησεν ἔτι μᾶλλον καὶ ἡ ἀρχῆθεν ἔνδεια τῆς φωνῆς, ὡς εἴρηται, ἀδυνατούσης ἰδίῳ ὀνόματι ἐκδηλοῦν πᾶν τὸ πλῆθος τῶν διαφορῶν, ὅσας ἡ διάνοια οἵα τέ ἐστι τῶν ὄντων ἀνευρίσκειν· ἔτι δὲ πρὸς τούτοις ἡ φωνὴ καὶ τὸ ἐπὶ πολλοῖς κοινὸν ἤτοι τὸ καθόλου, τὴν ἰδέαν, καὶ τὸν κόσμον πάντα τὸν νοητὸν κατ' ἀναλογίαν τῶν κατὰ μέρος αἰσθητῶν ἀναγκάζεται δηλοῦν, κἀντεῦθεν ἁμαρτήμασιν ἐξ ἀνάγκης περιπίπτει μυρίοις. οὕτω τοίνυν, δοκοῦμεν, ἡ δι' ὑπερβολὴν θερμότητος ἐνδεὴς τὸ πρῶτον φαντασία τῶν Ἰνδοευρωπαίων καὶ ἡ φύσει φωνῶν οὐ πάνυ εὔπορος γλῶσσα τὰ ἀμηγέπῃ ἀλλήλοις ὅμοια εἰς ταὐτὸν οὐκ ὤκνει μεταφέρειν· σεβασμίου δὲ χρόνου διαγενομένου, τῶν σμικρῶν ἐν τοῖς οὖσιν ἐξαλλαγῶν ἐπιλέλησται πάμπαν ὁ ἄνθρωπος καὶ τὰ διὰ μακρᾶς ὁδοῦ μεταφορῶν ἐπιπλασθέντα φαντάσματα, ὡς ὄντα αὐθύπαρκτα ἕξει πολυχρονίῳ ἐξέλαβε· καὶ εἰς τὸν πολυνέφελον οὐρανὸν ὄρη μακρὰ μετήνεγκε, φαντασίᾳ ἐνεργεῖ παραχθείς, καὶ τῷ ὄμβρῳ τεκμαιρόμενος λιμνῶν ὑψικρεμεῖς ἐκτάσεις εἶδε, ζαθέων τε ποταμῶν ῥεύματα βαθέα· δνοφερὰν δὲ νεφέλην καὶ ἔπομβρον ἰδών, θηρίον ἔνυδρον προσηγόρευσεν ἢ φώκην τεραστίαν ἐπιπολῆς πλέουσαν τῶν οὐρανίων ὑδάτων, τὴν δ' ἐν σέλᾳ διὰ νεφῶν ἑλισσομένην ἀστραπήν, ὡς ἐν πόντῳ κυανολαμπεῖ ἔνθεν καὶ ἔνθεν φαεινῶς ἀίσσοντ'



χθὺν ἢ ὄφιν ἐφαντάσθη, καὶ γίγαντας καὶ νάννους καὶ τράγους καὶ λύκους καὶ ταύρους μυκωμένους, ἵππους τε θέοντας καὶ λαγωοὺς εἰς τὰ νέφη ἀνεβίβασε· κύκνους τε νεφώδεις ἐθεάσατο πρὸς τὰς αἰθερίας λίμνας πετομένους εἰς λοῦσιν χρωτὸς ἀργυροειδοῦς· ἔτι δὲ πρὸς ἀνθεμῶνας, μηλῶνας, κήπους ἐρατεινοὺς τὰ ἑλίχρυσα τῶν νεφῶν εἴδωλα καὶ ζῴδια ἀφωμοίωσε, δένδρα ἀνθέων τε καὶ καρπῶν κάλλεσι φαεινοῖς κομῶντα, φυτά τε ἄλλα παντοίως θάλλοντα. ἐν δ' οὐρανῷ ὁ νάρκισσος ἐβλάστησεν ἑκατογκόρυμβος, οὐρανόν τε καὶ γῆν εὐοσμίας ἐμπλήσας ναρκωτικῆς, ὅν περ ἡ Περσεφόνη ῥαδιναῖς χερσὶν ἀπεδρέψατο· ἐν δ' οὐρανῷ καὶ τὰ ἁβρὰ ἄνθη ἤνθησε, τοῖς τοῦ ἡλίου ἵπποις νομὴ μελιηδής· ἐκεῖ καὶ οἱ ἀοίδιμοι τοῦ Κρόνου κῆποι ἔθαλλον· ἐκεῖ ὁ Ζεὺς τὸ ἀγλαὸν ἐφύτευσε δένδρον τῶν Ἑσπερίδων, χρυσανθῶν μήλων παγκάλως βρῖθον ὅτε τῇ καλῇ Ἥρᾳ ἐν καταιγίδι ἐπλησίασεν· ἐκεῖ καὶ τοῦ Διὸς ἡ παλαίφατος δρῦς ἡ προφητικὴ] εἰς θεσπέσιον ὕψος ἐκόμα, παραπλησία οὖσα τῇ παρὰ Φίννοις δρυῒ τῇ οὐρανίᾳ, ἥπερ ἥλιόν τε ἅμα καὶ σελήνην ἐκάλυψε· τάς τε μαρμαιρούσας τῶν ἀστραπῶν ἕλικας πρὸς ἀναδενδράδας ἡ φαντασία εἴκασε κισσοῦ τε καὶ κληματίδος, τοὺς δ' ἀστεροφανεῖς τῆς ἀστραπῆς σταλαγμοὺς παρὰ μὲν τοῖς Ἕλλησιν, ὡς ἐν φλογίνῃ βαφῇ λάμποντας κόκκους ῥοιᾶς ἐποίησε, παρὰ δὲ τοῖς Γερμανοῖς ὡς ἐν πεδίοις ἀστράπτοντας ἐρεβίνθους ἄνω εἰς τὰ αἰθέρια ὕψη, καὶ ἑνὶ λόγῳ τὸν νεφελώδη οὐρανὸν ὡς παράδεισον ἐν οὐρανῷ μετέωρον εἰδωλοποιήσατο. (ὅρα τὸ ἐν πολλοῖς καινοτόμον σύγγραμμα Μέλανος τοῦ σοφοῦ, περὶ τῆς πρώτης ἀρχῆς τῆς μυθολογίας» σ. VII, VIII, 1—25 κ.φ.ξ.). ἀπὸ τοιούτων

δὴ οὖν μεταφορῶν, ὡς ἀπὸ ὄντων αὐθυπάρκτων ὁρμώμενος ὁ Ἰνδοευρωπαῖος, ἤρξατο ἱστουργεῖν περαιτέρω τὸν ποικίλον πέπλον τὸν μυθολογικόν. καὶ τῇ νοσακερᾷ ταύτῃ ἕξει ἐπίκουρον ἐς τὰ μάλιστα ἦλθε καὶ τόδε, ὅτι ὁ τηνικαῦτα κατ' ἀνθυπόστασιν (objectiv) ζῶν ἄνθρωπος ὁ ἁπλοϊκὸς τὰς ἑαυτοῦ ψυχικὰς διαθέσεις ἐν τῇ ἀνθυφεστώσῃ φύσει ὡς ἐν κατόπτρῳ ἀπινδαλματίζετο καὶ τοῦτο τῆς ἑαυτοῦ φαντασίας τὸ ἔργον, ὀνόμασι διατυπώσας, ὡς θεοὺς καὶ ἡγήσατο καὶ ἐλάτρευσεν. οὐδὲν ἄρα θαυμαστόν, εἴπερ ἡ τοιάδε ἢ τοιάδε ἔκφανσις τῆς ἑαυτοῦ συναισθήσεως εἰς ταὐτὸν συνῆλθε τῇ ἐκφάνσει τῆς δεῖνος ἢ δεῖνος δυνάμεως καὶ λειτουργίας τῆς φυσικῆς. τούτῳ δὴ οὖν τῷ τρόπῳ τὸ ἄπλετον τῆς φαντασίας πῦρ τῶν Ἰνδογερμανῶν τὰ προσεμφερῆ πως ὡς πανόμοι' ἀλλήλοις ἐπισπερχέστερον συντῆξαν, ἑκάστῳ αὖ τούτων τῶν οὕτω φανέντων ὁμοίων ἄλλα ἑτερογενῆ βίᾳ συνέτηξε καὶ ἄλλα ὅμοια ψευδῶς ἀπετέλεσε, κίνησίν τε οὕτω τοῦ πρόσω ἔλαβε καὶ ὡς πυρισμάραγος ποταμὸς ἐξεῤῥάγη· εἴδωλα δ' εἰδώλων καὶ τούτων πάλιν ἄλλα εἴδωλα μύρια μυριαχοῦ μυριαχῶς τὰ πάντ' ἀπαύστως συγχέων μετέπλασσε, γῆν τε καὶ οὐρανὸν, αἰσθητὸν κόσμον καὶ νοητὸν ὁσημέραι συνέκλυζεν· οὕτως ὁ πολὺς φλοῖσβος τῶν μύθων ζέων ἀνέφλυσε. Δοκεῖ τοίνυν ἡμῖν ὁ μὲν Σημίτης ἀρχῆθεν διαιρετικώτερος τῶν ὄντων γενέσθαι τοῦ Ἰνδοευρωπαίου, ὑστέρῳ δὲ χρόνῳ ὁ Ἰνδοευρωπαῖος ῥοῦν ἅπαξ λαβών, τἀνάπαλιν ἐγένετο, πολλῷ διαιρετικώτερος τοῦ Σημίτου καὶ οὐδέποτ' ἔληξε διαιρῶν τὸ ὄν. ἔτι δὲ ὁ μὲν Σημίτης, ὡς καθόλου εἰπεῖν, εὑρετικὸς γεγονέναι τοῦ ἀληθοῦς νηφαλίως τε καὶ λιτῶς ἀληθὲς ἀληθεῖ συνείρων· ὁ δὲ Ἰνδοευρωπαῖος τἀνάπαλιν, ἐξικέ-



σθαι τοῦ ἀληθοῦς ἀντιστρόφῳ ὁδῷ, τὰ ψευδῆ ἐκποδὼν ποιούμενος καὶ ἐπὶ ζήτησιν τοῦ ἀληθοῦς πέλαγος μύθων διαπλέων. οὕτω δὴ οὖν καὶ ὁ Ἕλλην ἰδίᾳ τἀληθὲς δοκεῖ μοι εὑρηκέναι ἐμμέσως οὐκ ἀμέσως, τὸ ψεῦδος μάλα μόγις καταγωνιζόμενος· καὶ τοῦτο τὸ ἔργον οὐ τοῦ δήμου ἐγένετο τοῦ ἑλληνικοῦ, ἀλλὰ τῶν θεολόγων καὶ πολλῷ ὕστερον τῶν φιλοσόφων κατ' ἐξοχήν· τὸ δέ γε νῦν ἔχον ὁ λόγος ἡμῖν ἀναδραμέτω εἰς τοὺς ἐφ' Ὁμήρου Ἕλληνας, ἀεὶ τοῦ πρόσω τὸ καθόλου ὂν διαμελίζοντας· λέγομεν δὴ τὸ ἐξ οὗ γε ὡρμήθημεν συγκεφαλαιοῦντες, ὅτι καθάπερ ἐκ τῶν πρόσθεν ῥηθέντων τὸ διαιρετικὸν τῆς ἑλληνικῆς διανοίας ἔργον ἐπιεικῶς δέδεικται, ἀπὸ τοῦ φαεινοῦ αἰθέρος εἰς τὴν τοῦ Διὸς ἰδέαν, ἀπὸ δὲ τοῦ Διὸς εἰς τὴν τῆς Ἀθηνᾶς καὶ οὕτως ἐφεξῆς προϊούσης, οὕτω καὶ περὶ τῶν προσωποποιήσεων τοῦ ὑγροῦ στοιχείου, τὸ παρ' Ὁμήρῳ ὡς ἐφεξῆς ᾀδόμενον·

> . . βαθυῤῥείταο μέγα σθένος Ὠκεανοῖο [Ἰλ. Φ. ρ4ε'.]
> ἐξ οὗ περ πάντες ποταμοὶ καὶ πᾶσα θάλασσα
> καὶ πᾶσαι κρῆναι καὶ φρείατα μακρὰ νάουσιν·

σχολῇ γε ἡμῖν καὶ τοῦτ' ἐμφαίνει ὡς ἐπὶ Ὁμήρου ἡ τῶν Ἑλλήνων διάνοια ὅμοια ὁμοίοις συνήρμοζε, τὸ ἐπὶ πολλῶν ἓν ἐπιζητοῦσα, ἀλλὰ τοὐναντίον ἡμῖν ἐξαγγέλλει, παράδοσιν παλαιὰν, ἣν ὁ ἑλληνικὸς δῆμος ἀεὶ μᾶλλον κατεμέριζεν (α).

---

(α) Αἱ δὲ Νύμφαι κατά τινα ἄλλον συνδυασμὸν τῶν ἐν τῇ φύσει γιγνομένων «κοῦραι Διὸς αἰγιόχοιο» παρ' Ὁμήρῳ λέγονται, οὐχ ὥς περ Ἡσίοδος κούρας Ὠκεανοῖο αὐτὰς ἀποκαλεῖ. καὶ Πίνδαρος Κρέουσαν τὴν Ναϊάδα Γῆς κόρην λέγει. (ἔπιθι

Ἄλλως τε καὶ τόδε οὐχ ἥκιστα ῥητέον ὅτι καὶ ἐξ αὐτῆς τῆς φύσεως τοῦ ὑποκειμένου πράγματος ἡ τῶν προσωποποιήσεων καὶ τῶν ὀνομάτων ὁμοιότης πρὸς ἄλληλα προέρχεται· τοῦ γὰρ ὁμοίου ὁμοίως πέφυκεν ὁ ἀνθρωπικὸς νοῦς ἀντιλαμβάνεσθαι καὶ ἔστιν ὅτε ὁμοίᾳ φωνῇ ἐξαγγέλλειν, καὶ ἡ τοιαύτη ὁμοιότης οὐκ ἀσφαλὲς τεκμήριον ἑνωτικῆς διανοίας ἀεὶ ἐλέγχεται. Τὸ μὲν οὖν ἔργον τῆς τῶν Ἑλλήνων διανοίας τὸ χωρίζειν γενέσθαι φημί. χωρίζειν δὲ λέγω οὐ χωρὶς ἑκάστου τὴν φύσιν τῶν ὄντων ὁρίζειν καὶ τὰ ἀρχῆθεν ἐν νῷ συγκεχυμένα ἀλλήλων διακρίνειν· Ἐπεὶ τοῦτό γε ἐπ' ἐνίων μὲν πρὸ ἀμνημονεύτων αἰώνων ἐγένετο, ὥςπερ καὶ εἴρηται, ἐπ' ἐνίων δ' οὔπω, ἀλλὰ χωρίζειν λέγων, νοῶ τὸ κατὰ μέρος ἀντιλαμβάνεσθαι τῆς τῶν ὄντων οὐσίας τῆς καθόλου, ἀμωςγέπως γνωσθείσης, καὶ ὀνόμασι τὰ μέρη σημαίνειν, παραδόσεών τε παλαιτέρων καὶ τῶν ἀλλαχοῦ προσωποποιήσεων πάμπαν ἀμνημονοῦντας. Οὗτος δὲ δὴ νόμος τῶν κατὰ τόπους ποιηθέντων μύθων. Ἡ δὲ ὁμοιότης, ὡς λέγω, τῶν χωρισθέντων πρὸς ἄλληλα ἐκ τῆς φύσεως αὐτοῦ τε τοῦ πράγματος καὶ τῶν καθόλου νόμων τῆς ἀνθρωπικῆς διανοίας πολλάκις συμβαίνει. ὅτι δὲ ἡ πλαστικὴ τῶν Ἑλλήνων μυθολογία οὐκ ἐπὶ τὴν μονάδα ἄγει, τοῦτό γε καὶ αὐτὸς ὁ Σελλέριος (σ. 45.) σαφῶς πάνυ ἀποφαίνεται. Εἰ δέ τις νοῦς τῶν ἐξό-

---

Οὐελκ. Τ. Α, σ. 656.). Δῆλον δ' ὅτι ὁ μὲν Ὅμηρος νῦν ὡς ἀπὸ τοῦ ὕοντος Διὸς τὴν γένεσιν λαμβανούσας οὕτω τὰς Νύμφας προσεῖπεν, ὁ δὲ Ἡσίοδος κατὰ τὴν πάλαι παράδοσιν, καὶ ὁ Πίνδαρος ὡς ἐκ τῆς Γῆς ἀναβλυζούσας. (Οὐελκ. αὐτόθι σ. 653). οὕτως ἄρχεται τὸ τῆς διαιρέσεως ἔργον.



χων οὐ μόνον ἑνότητα τῶν παντοίων φάσεων τοῦ ὑγροῦ στοιχείου, ἀλλὰ καὶ τῶν ἄλλων στοιχείων πρὸς ἄλληλα, καὶ ἑνότητα τὴν τοῦ καθόλου ὄντος ἐνορᾷ, τοῦτό γε, φαμέν, οὐκ ἔργον ἦν τῆς ἑλληνικῆς διανοίας, ἀλλὰ τῆς τῶν νεωτέρων, ἥτις βαθύτητι, πολυμαθείᾳ, ἔθει καὶ ἕξει πλανᾶταί πως, τὰ οἰκεῖα τοῖς ἄλλοις ἀποδιδοῦσα. Ἡ Ἑλληνικὴ διάνοια ὡς διάνοια τοῦ ἔθνους κοινὴ φύσιν εἶχε διὰ παντὸς τὰ πάντα πλαστικώτερον ὁρίζουσα χωρίζειν. (πρβλ. Πρελλ. μυθ. Ἑλλ. Τ. Α. σ. 13.).

Ἴσως ἂν πάντες ὁμολογοῖεν ὅτι τὰ Ὁμήρου ἔπη θέλγει τε καὶ εὐφραίνει τὴν ψυχὴν τοῦ νέου ἀνθρώπου πολλῷ μᾶλλον τῆς ὕστερον τῶν Ἑλλήνων μούσης ἐν γένει. αἰσθανόμεθα γὰρ ἐν αὐτοῖς τὴν τοῦ φυσικοῦ καὶ τρόπον τινὰ καθόλου ἀνθρώπου ἀξίωσιν ἐν πολλῷ εὐρυτέρᾳ ἐλευθερίᾳ θάλλουσαν τῆς ὕστερον ἐν πόλει τεχνητῇ περικεκλεισμένης· καὶ περὶ τῶν γυναικῶν δ' ὡσαύτως· καὶ τὰς γυναῖκας ἐν τιμῇ καὶ ἀξίᾳ ἀγομένας, ἀντίληψίν τε κατ' ἐνδιάθεσιν (subjectiv) τοῦ περὶ τὴν φύσιν κάλλους ὁρῶμεν παρ' Ὁμήρῳ. καὶ οἱ τρεῖς οὗτοι χαρακτῆρες Ἀσιατικοὶ τὸ πρῶτον ἦσαν, ὡς δηλοῖ ἄλλα τε ἔθνη καὶ οἱ πάλαι Ἰνδοὶ ἐν ἀμφοτέραις μάλιστα ταῖς ἐποποιΐαις. ἡ δὲ πρὸς τὰς γυναῖκας εὐσέβεια καὶ ἰσοφιλία τρὶς εἰς Εὐρώπην ἀνεζωπυρήθη, δὶς ἐξ Ἀσιατῶν καὶ ἅπαξ ἐξ ἐθνῶν ἐγγυτάτω ἔτι ὄντα τοῦ ἤθους τοῦ Ἀσιατικοῦ πρὸ Ὁμήρου μὲν διὰ τῶν ὕστερον κληθέντων Ἑλλήνων καὶ Ῥωμαίων, μακρῷ δ' ὕστερον διὰ τοῦ χριστιανισμοῦ καὶ τὸ τρίτον διὰ τῶν βιοθαλλῶν φύλων τῶν Γερμανικῶν, εἰ καὶ ἐν αὐτῇ μὲν τῇ Ἀσίᾳ διὰ χαυνότητα καὶ ὀκνηρίαν καὶ ἀπαιδευσίαν ὑστέρῳ χρόνῳ ἐμαράνθη, ἐν δὲ τῇ Ἑλλάδι διὰ φιλοπραγμοσύνην τῶν ἀνδρῶν ἀνίατον καὶ τελέως ἀπεσβέσθη. Ἡ δ' οὖν Ὁμήρου Μοῦσα, ἡ τῶν Ἰνδῶν καὶ καθόλου ἡ Ἀσιατικὴ ἡ πάλαι, ἡ διὰ τῆς νυκτιλαμποῦς μεγαλειότητος τῶν μέσων αἰώνων ἐν ἐρημίᾳ ᾄδουσα καὶ ἡ τῶν χριστιανῶν ἐν γένει συγγενεῖς ἀλλήλαις ἐπὶ πολλῶν ἐφάνησαν. καὶ τοῦτό ἐστι τὸ αἴτιον, οὐχ οἷόν περ ὁ σοφός τε ἅμα καὶ χαρίεις Ἑρνέριος πικρότερόν που λέγει, ἀλλὰ τὸ συγγενές, φημι, αἴτιόν ἐστι ὅτι ἡ Ἀσιατικὴ μοῦσα καὶ γενναιοτάταις ψυχαῖς ἐν πολλοῖς μᾶλλον τῆς ἄγαν πλαστικῆς Μούσης καὶ χάριτος τοῦ χρυσοῦ τῆς Ἑλλάδος αἰῶνος ἀρέσκει. καὶ οἱ Ἄραβες δ' ὅτε φιλομαθέστεροι ἑαυτῶν ἐγένοντο, ἀπὸ τοῦ ὀγδόου αἰῶνος δι' Ἑλλήνων καὶ Σύρων ἰατρῶν ἀρξάμενοι καὶ παρὰ πάντα τὸν χρόνον τῆς ἰσχύος αὐτῶν

κατὰ τὴν Μεσοποταμίαν ἐπὶ τῶν τεσσάρων φιλομούσων Χαλιφῶν καὶ πόῤῥω πάνυ τῶν Ἀνατολῶν, ἐν Δαμασκῷ, ἐν Καχίρᾳ τῆς Αἰγύπτου καὶ παρὰ πᾶν τὸ μῆκος τῶν αἰγιαλῶν τῆς πρὸς βοῤῥᾶν τετραμμένης Λιβύης, ἐν Ἱσπανίᾳ δὲ μάλιστα, ἴσως καὶ ἐν Σικελίᾳ διετέλουν εἰς τὴν σφετέραν φωνὴν ἐμμέσως ἢ ἀμέσως μεθερμηνεύοντες, διασαφοῦντες, μελετῶντες, θαυμάζοντες τῶν Ἑλλήνων τοὺς ἰατρούς, τοὺς φυσικούς, μαθηματικούς, ἀστρονόμους, τοὺς φιλοσόφους, καὶ πρῶτον τὰ Ἱπποκράτους, Γαληνοῦ καὶ Θεοφράστου, εἶτα δὲ τὰ Εὐκλείδου, Πτολεμαίου, κατ' ἐξοχὴν δὲ τὰ Ἀριστοτέλους, τῶν δὲ παρ' Ἕλλησι ποιητῶν καὶ ἱστοριογράφων, ὡς μερικῶν, ἰδιαίτατα ἑλληνικῶν καὶ δὴ καὶ πάμπαν ἀλλοτρίων, εἰλικρινῶς οὐδένα λόγον ἐποιήσαντο. ὁ γὰρ δῆμος ὁ τῶν Ἑλλήνων καὶ οἱ παρὰ τῷ δήμῳ εὐδοκιμήσαντες καὶ ἐξ αὐτοῦ ἀναλάμψαντες ἀπὸ Ὁμήρου ἤδη καὶ ὕστερον ἀεὶ τὸ καθόλου ἀνθρώπειον εἰς ἰδιαίτατα ἑλληνικὸν καὶ δημοτικὸν περιστέλλοντες διεγένοντο.

Προσκαταβῶμεν δὲ νῦν εἰς τὸν λόγον, ὃν πάντων κυριώτατον ὁ σοφὸς Σελλέριος εἶναι ἡγεῖται πρὸς τὸ ἀποδεῖξαι ὅτι ἡ παρ' Ἕλλησι φιλοσοφία οὐδὲν σχεδὸν παρὰ τῶν ἄλλων πρεσβυγενῶν ἐθνῶν παρείληφεν. Ὁ δὲ λόγος, ὃν Ῥίττερος πρότερον εἶπε καὶ Σελλέριος πάνυ θαυμάζων προφέρεται ἐστὶν ὅδε·

« Τὰ δόγματα τῶν παλαιτάτων τῆς Ἑλλάδος φιλοσόφων τοσοῦτον ἁπλᾶ καὶ αὐτοτελῆ ὄντα, προφανῶς πάνυ ἐμφαίνουσιν ὅτι πρῶται ἀπόπειραι τοῦ φιλοσοφεῖν παρ' Ἕλλησιν ἐγένοντο. ὡσαύτως δὲ καὶ ἡ ἐπίδοσις αὐτῶν κατὰ σμικρὸν καὶ τρόπον τινὰ βάδην ἐπὶ τὰ πρόσω χωροῦσα, ἱκανῶς μαρτυρεῖ ὅτι οὐδεμία οὐδαμόθεν αἰφνῆς ἐπῆλθε ῥοπὴ ἀλλοτρία. οὐδεμία γὰρ πάλη τοῦ κατ' ἀρχὴν ἑλληνικοῦ πρὸς δόγματα ὀθνεῖα φαίνεται, οὐδεμία φράσεων χρῆσις καὶ ὅρων ἀξυμβλήτων, οὐδεμία εἰς ἐπιστημονικὰς παραδόσεις τῶν προτοῦ χρόνων ἐπάνοδος· ὡς δ' ἐν συνόλῳ εἰπεῖν, οὐδὲν τῶν γνωρισμάτων ἔχοι τις ἂν ἰδεῖν, δι' ὧν ἡ φιλοσοφία τῶν μέσων αἰώνων, ὡς ἐξ ἀλλοτρίων πηγῶν ἠρυσμένη διαδηλοῦται. Ἐξ ἐναντίας τὰ πάντα κατὰ φύσιν ὁρμῶνται ἐξ αὐτῆς τῆς προπαιδείας καὶ τοῦ κοινῇ πᾶσι τοῖς Ἕλλησι βίου.»



Ἀλλὰ γὰρ ἐν τῷ παρόντι ῥητέον μοι τάδε· Ἀρχηγὸς γὰρ τῆς παρ' Ἕλλησι φιλοσοφίας Θαλῆς ὁ Μιλήσιος παρὰ πάντων ὁμογολεῖται· τοῦτον δὲ ἐξαίφνης ἀκούομεν ἐκεῖνο τὸ δόγμα φθεγγόμενον· ὕδωρ ἐστὶν ἀρχὴ τῶν ὄντων ἁπάντων. Μῶν ἐστι τις ἄρα αὕτη πρώτη ἀπόπειρα τοῦ φιλοσοφεῖν, ὥσπερ οἱ πρόσθεν σοφοὶ εἰρήκασιν; (α) — οὐδ' ὁπωστιοῦν. Πρώτην γὰρ ἀπόπειραν τοῦ φιλοσοφεῖν ἀπεκαλοῦμεν ἂν ἡμεῖς γε, εἴπερ οἱ τὸ πρῶτον ἐν Ἕλλησι φιλοσοφήσαντες τὰ καθ' ἕκαστον ἐν τῇ φύσει ἐπαγωγικῶς συνδυάζοντες, τὴν συνάφειαν αὐτῶν πρὸς ἄλληλα κατανοῆσαι ἐπειρῶντο. Ὤφειλον γὰρ πρότερον ὑποδεῖξαι ὅτι τὰ παντοῖα τοῦ ὑγροῦ στοιχείου εἴδη ἓν κατὰ τὴν πρώτην οὐσίαν ἐστί, καὶ τὰ τοῦ στεῤῥοῦ δ' ὡσαύτως ἕν, καὶ τὰ τοῦ ἀέρος καὶ τὰ τοῦ πυρὸς (α)·

---

(α) Ἔοικε δὲ καὶ Θεόφραστος οὐχ ἁπλῆν τινα καὶ πρώτην τὴν Θάλητος φυσιολογίαν οἰηθῆναι· ὑπολαμβάνει γὰρ ὅτι καὶ πολλοὶ ἄλλοι πρὸ τοῦ Θάλητος φυσιολόγοι ἐγένοντο. παρὰ Σιμπλ. εἰς τὰ Ἀριστ. Φυσ. φ. 6. — Ταῦτα δὲ λέγοντες οὐδ' ὁπωστιοῦν ἐπιλανθανόμεθα τῶν ὑπὸ τοῦ Ἐγέλου σοφῶς εἰρημένων. Ἱστ. τ. Φ. Τ. Α σ. 54. — πρβλ. καὶ Βρανδισίου. Τ. Α. σ. 38 κ.φ.ξ.

(β) Τάχ' ἄν που ἀνὴρ ἐπισπερχέστερος ὑπομνήσειεν ἡμᾶς ὅτι κατ' ἀρχὴν οὐδὲ λόγος στοιχείων πέρι ὑπῆρχε, κατὰ σμικρὸν ὕστερον τεθέντων ὡς ἀρχῶν τῶν ὄντων. ἀλλ' ἐν τούτῳ τῷ τόπῳ οὐδὲν ἄλλο καὶ ἡμεῖς βουλόμεθα λέγειν ἢ τὰς τέσσαρας τῶν ὄντων φάσεις, οἵων περ πάντως καὶ οἱ παλαίτατοι τῶν ἀνθρώπων ἀντελάβοντο, ὡς ὑγρῶν, στερεμνίων, ἀεροφυῶν καὶ πυροειδῶν· εἰ καὶ Αἰγύπτιοι μὲν πρὸς τοῖς τέσσαρσι στοιχείοις

καὶ τὸ τοιοῦτον οὐκ ἂν σμικρὸν ἦν τοῖς Ἕλλησιν ἀγώνισμα, οὕτω κατὰ μέρος τῶν ὁρατῶν ἀντιλαμβανομένοις. Ὤφειλον τέλος τῇ διανοίᾳ πρότερον λαβεῖν ὅτι ἅμα πάντα τὰ ἐν τῇ φύσει ὄντα τε καὶ γιγνόμενα κατά γε τὴν πρώτην οὐσίαν ἕν ἐστι καὶ ταὐτόν. Καὶ μετὰ ταῦτα καλῶς ἂν εἶχε τὸ τοῦ Θάλητος δόγμα ὕδωρ ἐστὶν ἀρχὴ τῶν ὄντων ἁπάντων. Διὸ δὴ τοῦτό γε τὸ δόγμα οὐ πρώτη ἀπόπειρα τοῦ φιλοσοφεῖν ἡμῖν εἶναι δοκεῖ. Ἐπεὶ οὖν τὰ πρόσθεν οὐδεὶς οἷός τ' ἂν εἴη ἀποδεῖξαι ἐν Ἕλλησι προϋπάρξαντα ἐν εἴδει φιλοσοφικῆς ἀποπείρας, δίκαιοι ἂν εἴημεν εἰπεῖν ὅτι ἡ παρ' Ἕλλησιν ἄρα φιλοσοφία οὐκ ἀπὸ τῶν πρώτων στοιχείων ἄρχεται. Ἀλλὰ πόθεν ἆρα ὁ Θαλῆς τὸ δόγμα τοῦτο παρείληφε; Διὰ τί παρ' ἄλλων πρεσβυγενῶν ἐθνῶν καὶ οὐχὶ παρ' αὐτῆς τῆς θεογονίας τῆς ἑλληνικῆς;— τοῦδε ἕνεκεν· εἰ γάρ τις τὰς παντοειδεῖς τοῦ ὕδατος λατρείας ἐπ' ἀκριβὲς ἀνασκέψαιτο παρ' ἔθνεσιν οὔσας, οἷς περ Θαλῆς ἀναμφηρίστως ἐπεκοινώνησεν, ὁμολογήσει ὅτι τὸ παρὰ τοῖς Ἕλλησι δόγμα, οἷον δὴ μορφῶν οὕτως ἐναργῶν στερούμενον, οἷαί περ ἐν χρήσει παρὰ τοῖς ἄλλοις ἦσαν, ἐν δὲ τῇ σοφίᾳ τῶν πάλαι τρόπον τινὰ ἐνυπολανθάνον καὶ ἤδη ἀπηρχαιωμένον, οὐχ οἷόν τ' ἂν

τοῖς παρ' Ἕλλησιν φιλοσόφοις ὕστερον γνωσθεῖσι καὶ πέμπτον ἐοίκασιν ἐγνωκέναι τὸν αἰθέρα, ὡς τὸ ἀρχέγονον φῶς τὸ πρὸ τῆς δημιουργίας τοῦ ἡλίου διακεχυμένον εἰς τὸν ὕψιστον τόπον τοῦ οὐρανοῦ (πρβλ. τὸ πρόσω τοῦ λόγου)· καὶ παρ' Ἰνδοῖς ὡσαύτως ἀ κ ά ς, ἀ κ ά ς α, ὁ φαεινὸς αἰθὴρ π έ μ π τ ο ν σ τ ο ι χ ε ῖ ο ν, ὡς ἐν τῷ ἀπείρῳ οὐρανῷ λεπτοφυεστάτη ὕλη φέρεται, ἐξ ἧς γε πᾶσα ἡ φύσις πυκνώσει ἀϊδίως γίγνεται.



ἦν τὴν τῶν φιλοσοφούντων διάνοιαν εἰς τοῦτο κινῆσαι. ἔδει γὰρ πρῶτον σχολήν τινα πεπαιδευμένων θεολόγων καὶ λογοδιφῶν προκαίρων προϋπάρξαι, ἵνα τὸ ἐκ τῶν πάλαι κοσμογονιῶν δόγμα εἰς τὸ μέσον ὡς ἀρχὴ φιλοσοφικὴ προέλθοι. παρὰ δέ τισι τῶν ἄλλων πρεσβυγενῶν ἐθνῶν αὐτὸ τὸ πολυδίψιον τῆς ἑαυτῶν χώρας καὶ ἡ φανοτάτη τῆς φύσεως ζωοποίησις ἡ ἐκ τοῦ ὕδατος προερχομένη ἐκίνησε πολλῷ ἐνεργέστερον τοὺς ἐνοικοῦντας εἰς λατρείαν τούτου τοῦ στοιχείου. Εἴτις ταῦτα δεόντως ἐνθυμηθείη (ἐπιθι πλὴν τῶν ἄλλων εἰδικῶν συγγραμμάτων καὶ τὸ πλείστου λόγου ἄξιον τοῦ σοφοῦ Δουγκερίου, ἱσ. τῶν πάλαι ἐθνῶν), δικαιώσει ἴσως ἡμᾶς Θαλῆν τὸν Μιλήσιον ἀλλοθέν ποθεν τὸ δόγμα παρειληφέναι οἰομένους. ὅτι δὲ τὰ τοιαῦτα τῶν φυσιολόγων δόγματα εἰς Ἕλληνας εἰσαγόμενα οὔτε ἔριδας καὶ ἔχθη οὔτε λογομαχίας ἐπιδεικτικὰς ἐξήγειραν, ἐκ πολλῶν, ὡς ἐγῷμαι, φανερόν. Πρῶτον μὲν οὖν κατ' ἐκείνους τοὺς χρόνους οὔτε ἱερατικὸν γένος παρὰ τοῖς Ἕλλησιν ὑπῆρχεν, οὔτε δογματικὴ θρησκεία τὸ ὀθνεῖον ὡς διαφθεῖρον ἀποβάλλουσα, ἀλλ' οὐδὲ τὰ δόγματα πάμπαν ἀλλότρια ἦσαν τῆς παρ' Ἕλλησι θρησκείας κατά γε τὰ κύρια φυσιολατρείας οὔσης.

Δεύτερον δὲ οἱ τηνικαῦτα ἄνθρωποι τῇ ἑαυτῶν ἐμφύτῳ ῥοπῇ εἰλικρινῶς ἑπόμενοι, ἡσυχαίως μάλα καὶ προθύμως τὰ ἀλλότρια προσίεντο. Ἡ γὰρ τῶν Ἑλλήνων διάνοια καὶ ψυχικὴ διάθεσις οὐ μεταξὺ δογμάτων ἑαυτῆς πολλῷ κρεισσόνων καὶ ἄλλων νηπιωδῶν ἐκυμαίνετο, ὅπερ τὴν δεινὴν πάλην κατὰ τοὺς μέσους αἰῶνας ἀνήγειρε καὶ πολλαχῶς τὴν φιλαυτίαν ἐξῆπτε τῶν ἀνθρώπων, παντοειδῆ μὲν συμφέροντα θηρώντων, πᾶν δὲ

τὸ ἑτερογενὲς ἢ ὡς τοιοῦτον δι' ἀμάθειαν ἐκλαμβανόμενον, ἀμειλίκτως πάνυ καταδιωκόντων, ἀλλὰ πάντα τὰ πρόσθεν ἑαυτῇ οἰκεῖα καὶ ὅμοια καταστήσασα, πάντα τὰ ὕστερον ἀφελῶς καὶ ἀπονήρως παρελάμβανεν, ἕως οὗ οἱ φιλόσοφοι μᾶλλον ἀνδρωθέντες πρὸς τὴν ἐπικρατοῦσαν θρησκείαν ἀρξάμενοι ἀντιλέγειν (ἐπὶ Ξενοφάνους) καὶ τὸ φύσει τοῖς Ἕλλησιν ἀπαρέσκον δόγμα τῆς ἑνότητος μᾶλλον καὶ μᾶλλον ἐπιδιώκοντες, μίση καὶ διωγμοὺς οὐχ ἅπαξ, οὐδὲ εἷς, ἀλλὰ συχνοὶ τῶν φιλοσόφων παρεσπάσαντο.

Εἰ δέ τις ἐρεῖ ὡς οὐκ ἔστι συμβαλεῖν, ὅπως ποτὲ τὰ παρ' Ἕλλησι φιλοσοφήματα ἐξ ὀθνείων δογμάτων ὡρμήθη, οὕτω δὴ κατὰ φύσιν ἀπὸ τῶν ἁπλουστέρων ἐπὶ τὰ τελειότερα προϊόντα, πάντα δ' ὁμοίως ἑλληνικὸν χαρακτῆρα ἔχοντα· οὐδ' ὅπως οἱ πρότερον Ἕλληνες τὰ φύσει πρότερον, οἱ δ' ὕστερον τὰ φύσει ἐκείνοις ἐπακολουθοῦντα ἐκ τῆς τῶν Αἰγυπτίων, φέρ' εἰπεῖν, σοφίας ἠρύσαντο, ταύτης τῆς Αἰγυπτιακῆς σοφίας ἤδη καὶ πολλῷ πρότερον τῶν Ἑλλήνων, ὡς εἰκός, ἑτοίμου προκειμένης (α) εἴποιμεν ἂν αὐτῷ πρῶτον μὲν ὅτι οὐδ' ἡ-

(α) Καὶ γὰρ ἐπὶ Τουθμώσεως ἤδη καὶ Ῥαμψῆ ὑπῆρχον μῦθοι καὶ θεολογικὰ δόγματα μυστηριωδέστερον ἐξειργασμένα, ὥς που ὁ περίπυστος Αἰγυπτιολόγος Λέψιος πάνυ σοφῶς εἰκάζει. Ἔτι δὲ πολλὰς μυστηριώδεις θεωρίας ἐμπεριέχουσι μάλιστα αἱ ὡς ἐπὶ τὸ πλεῖστον ἔτι καὶ νῦν ἀνερμήνευτοι εἰκόνες τε καὶ ἐπιγραφαί, αἵτινες τοὺς τοίχους τῶν βασιλείων τάφων τῶν πάλαι δυναστειῶν καὶ τὰς παμπληθεῖς ἐνταφίους παπύρους ἀποπληροῦσι. πᾶσαι δ' αὗται εἰς τὰς τῶν Αἰγυπτίων δόξας ἀναφέρουσιν, ἃς περὶ τῆς μετὰ θάνατον ζωῆς τῶν ἀνθρωπίνων ψυχῶν εἶχον.



μεῖς γε ἔχοιμεν ἂν τύχης ἁπλῆς ἔργον ὑπολαβεῖν, ὅπως ὁ σοφὸς Ῥοίθιος τὴν Θάλητος, φέρ' εἰπεῖν, σοφίαν καὶ τὴν συμπλήρωσιν αὐτῆς ὑπὸ τοῦ Ἀναξιμάνδρου οὕτως ὁλοσχερῆ, εὐάρμοστον καὶ συστηματικὴν ἀνέδειξε πρὸς τὰ τῶν Αἰγυπτίων παραβάλλων, τὰ τῷ Θάλητι ἀποδιδόμενα οὐ πάντα ὁμοίως ἀποβάλλων, ὥςπερ οἱ ὑπὲρ τὸ δέον δύσπιστοι εἰς ἓν ξηρὸν δόγμα τὸ περὶ τοῦ ὕδατος περιστέλλοντες, ὅπερ οὐδ' ὁπωστιοῦν ἂν ἱκανὸν ἦν τὴν τοῦ Θάλητος μνήμην οὕτω περίπυστον διὰ πάσης τῆς ἀρχαιότητος καταστῆσαι (α). οὐδὲ θαυμαστόν μοι δοκεῖ ὅτι τὰ ἄλλοθεν ἐλθόντα δόγματα οὕτως ἑλληνικὸν χαρακτῆρα προσέλαβον· ἐπεὶ ψυχρὰ μίμησις καὶ ψιττακισμὸς μόνοις τοῖς παρηκμακόσιν ἔθνεσιν οἰκεῖος φαίνεται, οἵ γε ῥήματα σεμνὰ πρὸς ἐπίδειξιν τῇ γλώσσῃ παφλάζουσιν, ὧν τὴν ἔννοιαν οὐδ' ὁπωστιοῦν νοοῦσιν, ἀλλ' ἔθνος, οἷον τὸ ἑλληνικὸν τότ' ἦν, πᾶν ὅ,τι ἔξωθεν παραλαμβάνει, νοεῖ τε καὶ συναισθάνεται καὶ οὕτω τῇ οἰκείᾳ φύσει συναρμόζει, ὥστε ἴδιον κτῆμα προφαίνει. Ἐντεῦθεν ἄρα δῆλον καὶ τόδε· ὅτι οἱ πρότερον ἁπλούστεροι ὄντες τὰ ἁπλούστερα προκειμένης τινὸς σοφίας παραλαμβάνουσιν, οἱ δ' ἐμπειρότεροι τὰ σοφώτερα, ὧν ἂν μάλισθ' ἑκάστοτε, ὡς ἔπος εἰπεῖν, προσδέωνται.

Ἀλλά γε ταῦτα ἡμῶν λεγόντων, ἀναμνηστέον ὡς ὁ σοφὸς Σελλέριος οὐ μόνον πρὸς τοὺς ὑπερβολῇ περὶ τὰ

(α) Ἀριστοφάνους Νεφ.

ρπ'. τί δῆτ' ἐκεῖνον τὸν Θαλῆν θαυμάζομεν;

ὀρνιθ. αθ'. «ἄνθρωπος Θαλῆς.» αὕτη ἡ μαρτυρία οὐ τὴν τυχοῦσαν ἰσχύν, οἶμαι, ἔχει. οὐδ' ἐν τούτῳ τῶν σοφῶς εἰρημένων τῷ Ἐγέλῳ ἀμνημονοῦμεν. Τ. Α. σ. 56—57.

τοιαῦτα κεχρημένους τὸν λόγον προςάγειν ἔοικεν, ἀλλὰ τρόπον τινὰ καὶ πρὸς πάντα, οιανδήποτε σχέσιν τῶν ἑλληνικῶν πρὸς τὰ τῶν ἄλλων πρεσβυγενῶν ἐθνῶν ὑποτοπάζοντα, εἰ καὶ μὴ φανερῶς τοῦτό γε ὁμολογεῖ. Ἔτι δὲ ἡμεῖς τὴν ἔξωθέν ποθεν εἰς τοὺς Ἕλληνας ἐπελθοῦσαν ἀφορμὴν πρὸς τὸ φιλοσοφεῖν, οὐ διχῇ διαιροῦμεν, ὥςπερ ὁ σοφὸς Σελλέριος ἀπαιτεῖ, εἴς τε τὴν ἀπὸ τῶν θρησκευτικῶν δογμάτων καὶ τὴν ἀπὸ τῆς φιλοσοφίας διακριδὸν λαμβανομένης· ἐπεὶ τοῦτό γε καθ' ἡμᾶς πάνυ δυςδιάγνωστον ὑπάρχει, τῆς θρησκείας παρὰ τοῖς Ἀσιατικοῖς ἔθνεσι καὶ τοῖς Αἰγυπτίοις, ὡς ἔπος εἰπεῖν, εἰς ταὐτὸν τῇ φιλοσοφίᾳ συνυφασμένης.

Ἀλλ' ὁ σοφὸς Σελλέριος τὸν ἑαυτοῦ λόγον κυρῶσαι βουλόμενος, ὡς οὐδὲν οἱ Ἕλληνες παρὰ τῶν βαρβάρων Αἰγυπτίων παρειλήφασιν, αὐτὸν τὸν Πλάτωνα (α) ἐπιμαρτύρεται, οὑτωςὶ ἐν πολιτείᾳ καὶ περὶ τῶν Αἰγυπτίων ἀποφαινόμενον (ἐν διαλόγῳ Δ, σ. 436.)· «Γελοῖον γὰρ ἂν εἴη, εἴ τις οἰηθείη τὸ θυμοειδὲς μὴ ἐκ τῶν ἰδιωτῶν ἐν ταῖς πόλεσιν ἐγγεγονέναι, οἳ δὴ καὶ ἔχουσι ταύτην τὴν αἰτίαν, οἷον οἱ κατὰ τὴν Θράκην τε καὶ Σκυθικὴν καὶ σχεδόν τι κατὰ τὸν ἄνω τόπον, ἢ τὸ φιλομαθές, ὃ δὴ περὶ τὸν παρ' ἡμῖν μάλιστ' ἄν τις αἰτιάσαιτο τόπον, ἢ τὸ φιλοχρήματον, ὃ περὶ τούς τε φοίνικας εἶναι καὶ τοὺς κατὰ Αἴγυπτον φαίη τις ἂν οὐχ ἥκιστα.» — Εἰ μὲν οὖν ὁ Πλάτων τὸ φιλοχρήματον παρὰ τοῖς Αἰγυπτίοις ὑπερισχύειν εἰρηκώς, τοῦτ' εἰπεῖν ἐβουλήθη ὅτι

(α) Ὅτι μὲν οὖν ὁ Πλάτων οὐδὲν παρὰ τῶν Ἰνδῶν παρέλαβεν ὁμολογοῦμεν· ὅτι δὲ οὐδὲν καὶ παρὰ τῶν Αἰγυπτίων πολλοῖς τῶν τοῦ Πλάτωνος ἔκτος ἀντιβαίνει.



παρ' αὐτοῖς ἡ φιλοσοφία πάμπαν ὠλιγωρεῖτο, ἢ μᾶλλον ὑπηνίξατο ὅτι Ἕλληνες μὲν διὰ τὸ φιλομαθὲς τῆς φιλοσοφίας ἐπιμέλειαν ἐποιοῦντο, Αἰγύπτιοι δὲ καὶ Φοίνικες πρὸς τὴν βιωτικὴν ἀποβλέποντες χρείαν· καὶ γὰρ ὁ Πλάτων φιλοσοφίαν λέγων, οὐ τὴν θεωρητικὴν καὶ πρώτην λεγομένην ἐνόει, ἀλλὰ πᾶσάν που μάθησιν, μάλιστα δ' ἐν Θεαιτήτῳ τὴν Γεωμετρίαν (σ. 143, Δ.)· ἀλλ' εἴπερ ὁ Πλάτων, ὥςπερ ὁ Σελλέριος ὑπολαμβάνει, εἰπών, ὀρθῶς εἶπε, τούτου πέρι λεγέτωσαν τὰ δέοντα οἱ σοφοὶ Αἰγυπτιολόγοι οἱ τὰ δημόσια τῶν Αἰγυπτίων μνημεῖα, τὰ παμπληθῆ θρησκευτικὰ ἔθιμα, τὸν ὁπωςδήποτ' ἄμικτον χαρακτῆρα καὶ ὅσα ἄλλα τοιαῦτα ἀνερευνῶντες· Εἰ δὲ καὶ οὕτως ἡ τοῦ Πλάτωνος ῥῆσις τἀληθὲς εἰπεῖν φανείη, ἀναμνηστέον ὅτι ὁ Πλάτων ἐν τῇ πολιτείᾳ τῶν Αἰγυπτίων, ὡς ἔθνους καθόλου, μνείαν ἐποιήσατο, τὸν κατ' ἐξοχὴν χαρακτῆρα τοῦ ἔθνους βουλόμενος ἀναδεῖξαι. Ἀλλὰ τί τὸ κωλῦον ὑπολαβεῖν ὅτι καὶ ἐν αὐτῷ τῷ κατ' ἐξοχὴν χρηματιστικῷ ἔθνει γένος ἱερατικῶν φιλοσόφων ὑπῆρχεν; (καὶ Ἀριστοτέλης φησὶν ὅτι «περὶ Αἴγυπτον αἱ μαθηματικαὶ πρῶτον τέχναι συνέστησαν· ἐκεῖ γὰρ ἀφείθη σχολάζειν τὸ τῶν ἱερέων ἔθνος.») Διὸ οὐκ ἔχω νοῆσαι ὅπερ κῦρος ὁ Σελλέριος τούτῳ τῷ τοῦ Πλάτωνος φθέγματι περὶ βαρβάρων εἰς Ἕλληνας πολλῷ ὕστερον τῆς ἐκεῖσε ἀποδημίας αὐτοῦ ῥηθέντι, ἀπέδωκεν. Εἰ δὲ παρ' αὐτῷ τῷ Πλάτωνι καὶ ἄλλα χωρία ἀπαντᾶται, ἐν οἷς γε τοὐναντίον τῆς Σελλερίου γνώμης μαρτυρεῖται, τούτων ὑπὸ Ῥοιθίου ἐν οἰκείῳ τόπῳ ἐξετασθέντων, οὐδ' ἐπιχειροῦμεν ἐν τῷ παρόντι ἅψασθαι, χρόνου τε καὶ τόπου δεόμενοι. Ὅτι δὲ ὁ Πλάτων οὐ διαῤῥήδην ὁμολογεῖ ὅτι

ἔστιν ἃ τῶν ἑαυτοῦ δογμάτων παρ' Αἰγυπτίων παρείληφεν, ἀλλὰ σιγῇ παρέρχεται, οὐκ ἐθέλω ἄχαρί τι τῷ ἱερωτάτῳ τῶν θνητῶν προστρῖψαι, «ἀπό μοι λόγον τοῦτον, στόμα, ῥῖψον,» οἷόν περ Ἡρόδοτος ἔοικε λέγειν περὶ Πυθαγόρου τε καὶ Φερεκύδου (Εὐτέρπης ρκγ'.), ἄλλοι δέ τινες καὶ περὶ Εὐδόξου τοῦ Κνιδίου (παρὰ Διογ. τῷ Λαερτ. Η, πθ', (α)· Ἀλλὰ τοῦτό γε μόνον λέγω ὅτι ὁ Πλάτων νοῦν τῶν καθόλου ζητητικὸν καὶ φαντασίαν ἐξαισίως δραστικὴν ἔχων, πᾶν τὸ ἀληθές, ὅθεν δήποτε πoριζόμενος, οὕτως ἰδιοποιεῖτο καὶ συνεχώνευεν ὥστε καὶ αὐτὸς ὕστερον ἠμνημόνει εἴ τι τοιοῦτο παρ' ἄλλου τινὸς παρέλαβεν, ἔν γε τῇ ἑαυτοῦ βαθυτάτῃ διανοίᾳ καὶ συναισθήσει τὰ πάντ' ἀρύεσθαι πιστεύων, ὥσπερ πᾶσι τοῖς ἐξόχοις ἀνδράσι συμβαίνει. Μηδ' ἀμνημονητέον ὅτι ὁ Πλάτων μεσημβρινοὺς τόπους οἰκούντων ἦν, κατ' ἐξοχὴν Ἕλλην, τὰ πάντ' ἐξελληνίζων.

Ἀλλ' ὁ σοφὸς Σελλέριος τὰ παρὰ Κλήμεντι τῷ Ἀλεξανδρεῖ κριτικῶς ἐρευνῶν, οὐδὲν περὶ τῆς θρυλλουμένης τῶν Αἰγυπτίων σοφίας ὅ,τι καὶ λόγου ἄξιον πορίζεται. ὡσαύτως δὲ καὶ ὁ Σχοῖμαν ἐν τῷ Αφ τόμῳ τῆς ἑλληνικῆς ἀρχαιολογίας (σ. 16.). Καλὸν μέντοι καὶ

(α) Καὶ ὁ σοφὸς Λετρόννιος περί τινων μεταγενεστέρων τάδε φησὶν ἐν τῇ ἑαυτοῦ μεταφράσει τοῦ Στράβωνος (Géographie de Strabon. I. I, p. 390.) «Ἐπεὶ δ' ἐν τοῖς σωζομένοις Ἱππάρχου τε καὶ Ἐρατοσθένους, μάλιστα δὲ τοῦ Πτολεμαίου οὐδεμία μνεία Αἰγυπτίων γίγνεται, εὐλόγως ἄν τις εἰκάσειεν ὅτι οἱ Ἕλληνες οὐχ ὡμολόγουν, ὅσα παρὰ τῶν βαρβάρων παρελάμβανον ἴσως διά τινα ζηλοτυπίαν φύσει πως ὑπάρχουσαν μεταξὺ νικητῶν τε καὶ νενικημένων.»



προὔργου ἂν εἴη, ὀλίγον πρότερον ἀρξαμένους παραλαβεῖν καὶ ὅσα ὁ σοφὸς καὶ κορυφαῖος τῶν Αἰγυπτιολόγων Λέψιος ἐν τῇ θαυμασίᾳ χρονολογίᾳ τῶν Αἰγυπτίων περὶ τοῦ αὐτοῦ πράγματος εἰκάζει.

Πολλὰ γὰρ ὁ ἀνὴρ σοφά τε καὶ ἀξιομνημόνευτα εἰπὼν περὶ τῶν ἐν Αἰγύπτῳ γραπτῶν μνημείων καὶ τῆς συστάσεως βιβλιοθήκης ἐν Θήβαις (σ. 39.) ὑπὸ Ὀσυμανδύου ἤτοι Ῥαμψῆ Μιαμοῦν κατὰ τὴν δεκάτην τετάρτην ἑκατονταετηρίδα πρὸ Χριστοῦ, λέγει (σ. 40.) ὅτι εἰς ταύτην τὴν πληθὺν τῶν βίβλων, ἐν αἷς αἱ μαθήσεις ἀπὸ γενεᾶς εἰς γενεὰν αὐξανόμεναι, μετεδίδοντο, ἀνάγεται καὶ ἡ πρεσβυγενὴς φήμη περὶ τῆς πάλαι τῶν Αἰγυπτίων σοφίας. Τοῦτο δὲ τὸ κλέος οὐδ' οἱ πολλῷ εὐφυέστεροι τῶν Αἰγυπτίων Ἕλληνες ἐπεχείρησαν περιστεῖλαι, πολλῶν ἐπιεικέστεροι κατά γε τοῦτο φανέντες τῶν καθ' ἡμᾶς σοφῶν, οἵ γε δὴ ἐκ παντὸς τρόπου προθυμοῦνται ἀποδεῖξαι ὅτι τὸ εὐφυὲς τῶν Ἑλλήνων δαιμόνιον ἐν ἀγρίᾳ ἐρημίᾳ αὐτοδίδακτον ἐμεγαλύνθη. Ἡρόδοτος γὰρ περὶ Αἰγυπτίων φησὶν ὅτι (Εὐτ. 77.) «Μνήμην ἀνθρώπων πάντων ἐπασκέοντες μάλιστα (ἤτοι πάντων μάλιστα τῶν ἀνθρώπων τὰ ἄξια μνήμης τηροῦντες), λογιώτατοί εἰσι μακρῷ τῶν ἐγὼ ἐς διάπειραν ἀπικόμην.» Καὶ οἱ Ἠλεῖοι δὲ ὅτε τὸν ἐν Ὀλυμπίᾳ ἀγῶνα δικαιότατα καὶ κάλλιστα τιθέναι προὐθυμοῦντο πρὸς τοὺς Αἰγυπτίους ὡς τοὺς σοφωτάτους τῶν ἀνθρώπων ἀπέστειλαν πρεσβείαν ἵνα ἐπιμάθοιεν, εἴ τι ἔχοιεν Αἰγύπτιοι τῶν παρ' ἑαυτοῖς δεδογμένων δικαιότερον ἐπεξευρεῖν (Ἡροδότ. Εὐτ. ρξ'.). Ἡ δὲ σεμνὴ τῶν ἐλλογίμων ἀνδρῶν χορεία, οἳ δὴ ὑπὸ πολλῶν Αἰγυπτιακὴν σοφίαν εἰς τοὺς Ἕλληνας μετακομίσαι μαρτυροῦνται,

εἰς τοὺς μυθικοὺς ἤδη αἰῶνας τὴν ἀρχὴν ἀνάγει. Δαναὸς μὲν γὰρ λέγεται τὰ πρῶτα οἷον σπέρματα παιδείας τινὸς καὶ πολιτισμοῦ λόγου πλέονος ἀξίου ἐξ Αἰγύπτου εἰς Ἄργος μεταφυτεῦσαι. (Ἡροδ. Εὐτέρ. ϟα'. Πολυμνίας, ϟδ'.). Ἐρεχθεὺς δὲ ὁ τῶν Ἀθηνῶν βασιλεὺς Αἰγύπτιος τὸ γένος ὑπό τινων λέγεται καὶ τὰ Ἐλευσίνια μυστήρια κατὰ νόμον τὸν Αἰγύπτιον διδάξας. καὶ οἱ πάλαι ἱεροὶ ἀοιδοὶ Ὀρφεύς τε καὶ Μουσαῖος καὶ Μελάμπους καὶ Εὐμολπίδης εἰς Αἴγυπτον ἐλθόντες, τὴν περὶ τὰ θεῖα πράγματα σοφίαν παρέλαβον· ἀλλ' οὐδ' αὐτὸς ὁ Ὅμηρος ἄπειρος τῶν κατὰ τὴν Αἴγυπτον θαυμασίων μεῖναι ἔμελλεν· καὶ οἱ παλαίτατοι Ἑλλάδος καλλιτέχναι Δαίδαλος καὶ Τηλεκλῆς καὶ Θεόδωρος ἐν ταύτῃ τῇ πρεσβυτάτῃ ἑστίᾳ τῆς τέχνης λέγονται διδαχθῆναι καὶ κατὰ τὸν Αἰγύπτιον κανόνα τὰ ἑαυτῶν ἔργα τελέσαι. Ἀλλὰ καὶ οἱ νομοθέται Λυκοῦργός τε καὶ Σόλων (Πλάτωνος Τίμ. σ. 21.) ὅ,τι σοφὸν καὶ χρήσιμον ἐν τοῖς κατ' Αἴγυπτον νόμοις ἐνεῖδον τοῖς ἑαυτῶν πολίταις ἔθεντο. Ἡρόδοτος δὲ ἀφηγεῖται καὶ τάδε· «Νόμον δὲ Αἰγυπτίοισι τόνδε Ἄμασίς ἐστι ὁ καταστήσας· ἀποδεικνύναι ἔτεος ἑκάστου τῷ νομάρχῃ πάντα τινὰ Αἰγυπτίων, ὅθεν βιοῦται· μὴ δὲ ποιεῦντα ταῦτα, μηδὲ ἀποφαίνοντα δικαίην ζόην, ἰθύνεσθαι θανάτῳ. Σόλων δὲ ὁ Ἀθηναῖος λαβὼν ἐξ Αἰγύπτου τοῦτον τὸν νόμον Ἀθηναίοισι ἔθετο, τῷ ἐκεῖνοι ἐς αἰεὶ χρέωνται, ἐόντι ἀμώμῳ νόμῳ.» Εὐτέρ. ροζ'. — (α). Καὶ Κλεόβουλος δὲ ὁ Λίνδιος ἐν Αἰγύπτῳ λέγεται διατρῖψαι (Διογ. Λ. Α, 89.).

(α) Ἔνιοι δὲ τὸν νόμον τοῦτον ὡς τῷ Δράκοντι μᾶλλον προσήκοντα ἀπέδοσαν, δῆλον ὅτι κατ' ἀναλογίαν τοῦτο εἰκάσαντες.



Ὀλίγον δὲ διαφέρει εἴπερ καὶ ἱστορικῆς ἀληθείας ταῦτά γε ἔχεται. Καθόλου γὰρ λαμβανόμεναι αἱ τοιαῦται παραδόσεις πολλῷ τοι μεῖζον κῦρος τῶν κατὰ μέρος ἱστορικῶν ἔχουσι πρὸς τὸ τεκμηριῶσαι ὅτι οἱ Ἕλληνες παλαιόθεν τε καὶ ὕστερον τὴν τῶν Αἰγυπτίων σοφίαν ἀγάμενοι διετέλουν· καὶ ταύτης δ' ὅσον οἷόν τε μεταλαγχάνειν, κλέος περιῆπτεν.

Πρὸ πάντων δὲ ἐλογίζετο ἡ Αἴγυπτος ὡς ἀνώτατον διδασκαλεῖον φιλοσοφίας τε καὶ πάσης ἄλλης ἐπιστημονικῆς μαθήσεως. Διὸ ὁρῶμεν φιλοσόφους τε καὶ μαθηματικοὺς καὶ ἰατροὺς καὶ ἱστοριογράφους σφόδρα φιλοτιμουμένους εἰς Αἴγυπτον πορεύεσθαι καὶ διὰ πολλῶν ἐτῶν Αἰγυπτίοις διδασκάλοις χρῆσθαι. τῷ δὲ Στράβωνι ἔδειξαν ἐν Ἡλιουπόλει καὶ τοὺς οἴκους, ἐν οἷς Πλάτων τε καὶ Εὔδοξος ὁ μαθηματικὸς (α) δέκα τρία ὅλα ἔτη ᾤκουν(β). Τὸ δὲ ἀστεροσκοπεῖον τοῦ Εὐδόξου, ἀφ' οὗ λέγεται κινήσεις τινὰς τῶν ἀστέρων καὶ τὸν Κάνωβον παρατετηρηκέναι, ἐκαλεῖτο τοῦ Εὐδόξου μέχρι τῶν Στράβωνος χρόνων. Ἀλλὰ καὶ Θαλῆς ὁ Μιλήσιος παρ' Αἰγυπτίοις ἱεροφάνταις ἐμαθήτευσεν, οὐδένα ἄλλον πλὴν τούτων διδάσκαλον λαβών, ὡς σαφῶς ὁμολογεῖται. Παρ' αὐτοῖς

(α) Κατὰ δὲ Διογ. τὸν Λαέρτιον (II, 87.) διέτριψεν ὁ Εὔδοξος μετὰ Χρυσίππου τοῦ ἰατροῦ ἓν μόνον ἔτος καὶ μῆνας τέσσαρας. Λέγεται δὲ παρὰ τῷ αὐτῷ (II, 80.) ὅτι ὁ Εὔδοξος ἐξελλήνισέ τινα αἰγυπτιακὰ συγγράμματα, ὧν Ἐρατοσθένης μνείαν ἐποιήσατο.

(β) Στράβων ΙΖ, σ. 806. 807. — Cic. de fin. V, 29. — Διόδ. Σικελ. Α, 96. — Πλούτ. περὶ Ἴσ. κεφ. ι'. — περὶ τοῦ δαιμ. Σωκ. σ. 578. — Κλήμ. Ἀλεξ. Στρώμ. Α, σ. 131. Διογ. Λ. Γ, 6.—

δὲ καὶ τὴν εἰς ὥρας καὶ ἡμέρας τξε' τοῦ ἐνιαυτοῦ διαίρεσιν ἔμαθε καὶ σώματα ὑψηλὰ καταμετρεῖν, ὥςπερ τὰς πυραμίδας, τῷ τῆς σκιᾶς μεγέθει ἐν ὡρισμένῃ τινὶ τῆς ἡμέρας ὥρᾳ τὸ ὕψος τεκμαιρόμενος. καὶ Ἀρχιμήδης δὲ ἐν Αἰγύπτῳ τὴν περίφημον ἕλικα ἐξεῦρεν, ᾗπερ ἐπὶ τῶν κατ' Αἴγυπτον ὑδραυλικῶν ἔργων ἐχρήσατο (Διόδ. Σικελ. Ε, 37.)· καὶ Πυθαγόρας συχνὸν χρόνον ἐν Αἰγύπτῳ ἦν, καὶ ὅσα τῶν δεδογμένων τούτῳ τῷ ἐπιφανεστάτῳ καὶ πλεῖστον ἰσχύσαντι ἀνδρὶ ἐς ἡμᾶς παραδέδοται, πάντα τῇ μαρτυρίᾳ ταύτῃ συνᾴδει (α). Μάλιστα δὲ τὸ περὶ ἀθανασίας τῆς ψυχῆς δόγμα διαῤῥήδην ὁ Ἡρόδοτος εἰς τοὺς Αἰγυπτίους ἀναφέρει λέγων· (Εὐτ. ρκγ'.) «τούτῳ τῷ λόγῳ εἰσὶ οἳ Ἑλλήνων ἐχρήσαντο, οἱ μὲν πρότερον, οἱ δὲ ὕστερον, ὡς ἰδίῳ ἑωϋτῶν ἐόντι· τῶν ἐγὼ εἰδὼς τὰ οὐνόματα οὐ γράφω.» Ταῦτα δὲ λέγων,

(α) Ἡρόδ. Εὐτέρ. 81. «Ὁμολογέουσι δὲ ταῦτα τοῖσι Ὀρφικοῖσι καλευμένοισι καὶ Βακχικοῖσι, ἐοῦσι δὲ Αἰγυπτίοισι καὶ Πυθαγορείοισι.» ταῦτα δὲ λέγων εἰς τὸ ἱερὸν ἔθος τῶν ἐν Αἰγύπτῳ ἱεροφαντῶν ἀναφέρει, λινᾶ καὶ οὐχὶ ἐρεᾶ ὑφάσματα ἀμφιέννυσθαι, ὅπερ καὶ Πυθαγόρας τοῖς περὶ ἑαυτὸν συνίστα. Ἔτι δὲ ἐκέλευεν αὐτοὺς κυάμων τε καὶ ἰχθύων καὶ ἄλλων τινῶν ἀπέχεσθαι κατά γε τὸ Αἰγύπτιον δόγμα. Διογ. Λ. Η, 24. 33. 34. (τὸ δὲ κυάμων ἀπέχεσθαι ἀλληγορικῶς ἐθέλειν ἑρμηνεύειν, εἰς τὰς ψηφηφορίας ἀναρτῶντα, παντάπασι τοῦ πιθανοῦ ἀλλότριον ὑπάρχει.) Ἀλλὰ καὶ τὴν περὶ Πυθαγόρου αὐτοῦ παρὰ τοῖς Πυθαγορείοις κατέχουσαν φήμην, ἥν περ ἴσως αὐτὸς περὶ ἑαυτοῦ διέδωκεν, ὡς εἴη παῖς Ἑρμοῦ ἤτοι τοῦ παρ' Αἰγυπτίοις Θὼθ καλουμένου, ὃς αὐτῷ ἐδωρήσατο πάντα τῇ μνήμῃ ἀνεξίτηλα στέγειν, εἰκότως ἄν τις εἰς τοῦτο ἀναθείη, ὅτι μαθητὴς ἐγένετο τῶν ἐν Αἰγύπτῳ σοφῶν. Διογ. Λ. Η, 4.—



δῆλός ἐστι τὸν Πυθαγόραν ἢ τὸν διδάσκαλον αὐτοῦ Φερεκύδην τὸν Σύρον ἐν νῷ ἔχων· καὶ γὰρ καὶ οὗτος λέγεται ἐν Αἰγύπτῳ ἐπιδεδημηκέναι. καὶ μὴν καὶ ἐκ τῶν μνημείων νῦν ἱκανῶς μεμαρτύρηται ὅτι οἱ Αἰγύπτιοι ἐκ παλαιτάτου χρόνου ὡρισμένας δόξας εἶχον περί τε τῆς πλάνης καὶ τῆς δίκης ἣν αἱ ψυχαὶ μετὰ θάνατον δικάζονται. (ἔπιθι τὸ προοίμιον εἰς τὸ περὶ τῶν νεκρῶν βιβλίον τῶν Αἰγυπτίων σ. 13 κ.φ.ξ.). Ἀλλὰ καὶ οἱ φιλόσοφοι, Ἀναξαγόρας τε καὶ Δημόκριτος καὶ Σφαῖρος, Οἰνοπίδης τε ὁ μαθηματικὸς καὶ Χρύσιππος ὁ ἰατρός, ἔτι δὲ καὶ Ἀλκαῖος καὶ Εὐριπίδης τοῖς τὴν Αἴγυπτον ἐπισκεψαμένοις συγκαταριθμοῦνται. Ταὐτὸν δὲ τέλος ἴσμεν περὶ Ἑκαταίου (Ἡρόδ. Εὐτ. ρμγ'.), Ἡροδότου, Διοδώρου τοῦ Σικελιώτου (Διόδ. Λ, μδ'.) καί τινων ἄλλων ἧσσον περιφανῶν Ἑλλήνων.

Πάντες δ' οὗτοι οἱ ἄνδρες οὐχ ὅτι τῶν κατ' Αἴγυπτον θαυμασίων αὐτόπται ἠβούλοντο γενέσθαι εἰς Αἴγυπτον ἐπορεύοντο, ἀλλ' οἱ πλεῖστοι αὐτῶν ἵνα παρὰ τῶν σοφῶν ἱεροφαντῶν ὡρισμένας τινὰς μαθήσεις καὶ ἐπιστήμας διδάσκοιντο. Ὡσαύτως ὑπέλαβον καὶ ὅσοι τῶν συγγραφέων διὰ μακροτέρων περὶ τῆς εἰς Αἴγυπτον ἀποδημίας τῶν Ἑλλήνων σοφῶν ἡμῖν ἀφηγοῦνται (α). καὶ

(α) Διόδ. Λ, ξθ'. «πολλὰ γὰρ τῶν παλαιῶν ἐθῶν τῶν γενομένων παρ' Αἰγυπτίοις οὐ μόνον παρὰ τοῖς ἐγχωρίοις ἀποδοχῆς ἔτυχεν, ἀλλὰ καὶ παρὰ τοῖς Ἕλλησιν οὐ μετρίως ἐθαυμάσθη· δι' ὅπερ οἱ μέγιστοι τῶν ἐν παιδείᾳ δοξασθέντων ἐφιλοτιμήθησαν εἰς Αἴγυπτον παραβαλεῖν, ἵνα μετάσχωσι τῶν τε νόμων καὶ τῶν ἐπιτηδευμάτων, ὡς ἀξιολόγων ὄντων.» — κεφ. ϞϚ'. «ῥητέον, ὅσοι τῶν παρ' Ἕλλησι δεδοξασμένων ἐπὶ συνέσει καὶ παιδείᾳ παρέβαλον εἰς Αἴγυπτον ἐν τοῖς ἀρχαίοις χρόνοις,

αὐτοὶ δὲ οἱ Αἰγύπτιοι οὕτως ἀξιομνημονεύτους τὰς τῶν ἐπιφανῶν Ἑλλήνων εἰς τὴν ἑαυτῶν ἐπιδημίας ἡγοῦντο, ὥστε οἱ ἱεροφάνται (ὥςπερ διαῤῥήδην ὁ Διόδωρος μαρτυρεῖ, Α, 96'.) καὶ ἐν τοῖς χρονικοῖς αὐτὰς ἀνέγραφον. Διὸ καὶ τῶν ἐπισημοτάτων Ἑλλήνων οἱ ἐν ἑκάστῃ μαθήσει διδάσκαλοι κατά τε ὄνομα καὶ γένος παλαιόθεν τε καὶ νῦν γνωστοὶ ὑπάρχουσιν (παρὰ Πλουτ. ἐν τῷ περὶ Ἴσ. κεφ. ι'. περὶ δαιμ. Σωκ. σ. 578. — καὶ παρὰ Κλήμεντι τῷ Ἀλεξ. Στρώμ. Α, σ. 131.). Ταῦτα δὲ τὰ ὀνόματα καὶ ὡς Αἰγυπτίων γνήσια ὀνόματα ὄντα, πάσης ἀμφιβολίας ἐκτὸς ὑπάρχει. Πλούταρχος μὲν γὰρ Σόλωνος καθηγήσασθαι Σῶγχιν φησὶ τὸν Σαΐτην (α). Πυθαγόρου δὲ Ὀννοῦφιν τὸν Ἡλιουπολίτην (β)· Εὐδό-

ἵνα τῶν ἐνταῦθα νομίμων καὶ παιδείας μετάσχωσιν. » — Κλήμ. Ἀλεξ. ἐν Στρώμ. Α, σ. 130. «Οἱ δὲ οἱ πλεῖστοι τῶν φιλοσόφων βάρβαροι τὸ γένος καὶ παρὰ βαρβάροις παιδευθέντες, τί δεῖ καὶ λέγειν; — ὁ δὲ Πλάτων δῆλον ὡς σεμνύνων ἀεὶ τοὺς βαρβάρους εὑρίσκεται, μεμνημένος αὐτοῦ τε καὶ Πυθαγόρου τὰ πλεῖστα καὶ γενναιότατα τῶν δογμάτων ἐν βαρβάροις μαθόντων.»

(α) Κλήμης δὲ ὁ Ἀλεξανδρεὺς Σόλωνα μὲν σιγῇ παρέρχεται, Πυθαγόρου δὲ καθηγητὴν παραδίδωσι Σῶγχιν τὸν ἀρχιπροφήτην. Εἴη δ' ἂν τὸ ὄνομα τοῦτο ἱερογλυφικῶς Σάνχ ἢ Σόνχ τὸν ζωοποιοῦντα σημαῖνον.

(β) Ὀννοῦφις ἐστὶν ἀναμφιλέκτως ὁ ὀρθὸς τύπος ἀντὶ τοῦ Οἰνοῦφις, ὅπερ ἐν τοῖς χειρογράφοις ἀπαντᾶται. Ἔστι δὲ ταὐτὸν τῷ γνωστῷ ὀνόματι Ὀνούφριος. τὸ γὰρ νόφρε καὶ νοῦφι κατ' εἰωθυῖαν ἀποκοπὴν τοῦ ρ σημαίνει ἀγαθόν· ἦν δὲ κατ' ἀρχὴν προςηγορία τοῦ Ὀσίριδος, Οὐννόφρε, τὸν χορηγὸν τῶν ἀγαθῶν σημαίνουσα.



ξου δὲ Χονοῦφιν τὸν Μεμφίτην (α). Κλήμης δὲ ὁ Ἀλεξανδρεὺς καὶ τὸν Πλάτωνος καθηγησάμενον Σεχνοῦφιν (β) ὀνομάζει. Τούτων δὲ τῶν ὀνομάτων εὐχερῶς ἄν τις ἀποκαταστήσειε τὸν τύπον τὸν Αἰγυπτιακόν.

Φανερὸν τοίνυν, φησὶν ὁ περίπυστος Αἰγυπτιολόγος Λέψιος, ὅτι αὕτη ἡ διδασκαλία οὐ περὶ σύμβολά τινα δυςξύμβλητα καὶ ψυχρὰν μυσταγωγίαν ἢ κενὰς τερθρείας ἦν, ὥςπερ πολλοὶ μέχρι τοῦ νῦν ἠθέλησαν εἰπεῖν, ἀλλ' ἀναντιῤῥήτως περί τι πολλῷ σπουδαιότερον. Ἀλλὰ μαθήσεις ἀληθιναὶ (πραγματικαὶ) καὶ ἐπιςημονικὴ πεῖρα προαπαιτοῦσι πάντως γράμματα πολλὰ καὶ ἀνέκαθεν κεκαλλιεργημένα (γ).

(α) Παρὰ Κλήμεντι δὲ τῷ Ἀλεξανδρεῖ φέρεται Κονοῦφις. Ἔστι δὲ τοὔνομα δηλωτικὸν τοῦ Κριοῦ-Θεοῦ Νοὺμ ἢ Χνοὺμ, ἑλληνιστὶ Χνοῦμις, Κνοῦφις, Κνὴφ γραφόμενον.

(β) Υἱὸς τοῦ Χνούφεως ἐστὶν ὁ Σεχνοῦφις.

(γ) Οὗτοι οἱ ἀξιόλογοι θησαυροὶ τῶν παρ' Αἰγυπτίοις γραμμάτων ἱκανὸν ἤδη χρόνον πρὸ τῶν Πτολεμαίων γνωστοί τε καὶ ἐπίφθονοι ἐγεγόνεσαν. Καὶ οἱ Πέρσαι ἐπὶ Ἀρταξέρξου σὺν ἄλλοις τιμαλφέσι πράγμασιν ὑπεξείλοντο μέρος αὐτῶν ἐκ τῶν πάλαι ἀρχείων τῶν ναῶν καὶ ἀντὶ πολλῶν λύτρων ὕστερον ἀπέδοσαν (Διόδ. Σικ. ις', να'.). Ἀλλὰ τὸ ἐμπεριεχόμενον αὐτῶν ἀκριβῶς τε καὶ ὁλοσχερῶς γνωστὸν ἀπὸ τῶν πρώτων Πτολεμαίων ἤρξατο τοῖς Ἕλλησι γίγνεσθαι δι' ἀθρόων μεταφράσεων, ὥς που καὶ Σύγκελλος (σ. 271.) μαρτυρεῖ λέγων ὅτι «Πτολεμαῖος Φιλάδελφος, ἀνὴρ τὰ πάντα σοφὸς καὶ φιλοπονώτατος, ὃς πάντων Ἑλλήνων τε καὶ Χαλδαίων, Αἰγυπτίων τε καὶ Ῥωμαίων τὰς βίβλους συλλεξάμενος καὶ μεταφράσας τὰς ἀλλογλώσσους εἰς τὴν Ἑλλάδα γλῶσσαν, μυριάδας βίβλων δέκα, ἀπέθετο κατὰ τὴν Ἀλεξάνδρειαν ἐν ταῖς ὑπ' αὐτοῦ συστάσαις βιβλιοθήκαις.»

Τοῦτο δ' οὐχ ἥκιστ' ἂν καὶ διὰ τοῦ ἐφεξῆς κυρωθείη· Κλήμης γὰρ ὁ Ἀλεξανδρεὺς (ἐν Στρώμ. ς'. σ. 260. ed. Sylb) λόγον ποιεῖται περὶ τῶν παρ' Αἰγυπτίοις τῷ Ἑρμῇ ἀναγραφομένων βίβλων ἱερῶν δύο καὶ τεσσαράκοντα, ἔκ τινος, ὡς ἔοικε, παλαιᾶς καὶ γνησίας πηγῆς ἀρυσάμενος. Αὗται δὴ μονονοὺ πάσας τὰς ἐπιστήμας ὡς ἐν τύπῳ τινὶ ἱερατικῷ συλλαβοῦσαι ἐμπεριεῖχον, τάς τε ἄλλας καὶ μὲν δὴ ἐν πρώτοις τὰς περὶ τὴν τῶν θεῶν λατρείαν τε καὶ τὰς θυσίας καὶ ὅσα ἄλλα τοιαῦτα. ἑκάστῃ δὲ τῶν ἐπιστημῶν ὡς τῇ γεωμετρίᾳ, ἀστρονομίᾳ, ἰατρικῇ καὶ λοιπαῖς καὶ τῶν περὶ τὰ θεῖα πραγματειῶν ἀριθμός τις βίβλων διώρισται. Τὸ μὲν οὖν σύνολον τῶν ἱερῶν τούτων βίβλων τοῦ παντὸς ἔδει ἐγκυκλοπαιδείαν τινὰ ἐπιστημῶν συγκεκροτηκέναι· ἀλλὰ πλὴν τῶν ἰδιαίτατα ἱερατικῶν ἤτοι τῶν δέκα θεολογικῶν, τοῦ προφήτου λεγομένων, καὶ τῶν δέκα λειτουργικῶν τοῦ στολιστοῦ, αἱ λοιπαὶ βίβλοι τὰς ἐν τρίτῳ λόγῳ μᾶλλον εἰς τὴν τῶν ἱεροφαντῶν ὁλοσχερῆ παιδείαν χρησιμευούσας γνώσεις περὶ τῶν αἰσθήσει ληπτῶν ὄντων ἤτοι τοῦ ὁρατοῦ κόσμου περιελάμβανον. οὐδεμιᾶς μέντοι ἀποδείξεως χρήζει, φησὶν ὁ σοφὸς Λέψιος (αὐτόθι. σ. 18.) ὅτι αἱ παρ' Αἰγυπτίοις μαθήσεις καὶ συγγραφαὶ πολλῷ πέραν τῆς ἱεραρχικῆς χρείας ἐξικνοῦντο· αἱ δὲ ἓξ καὶ τριάκοντα ἢ δύο καὶ τεσσαράκοντα βίβλοι τρόπον τινὰ τὸν παλαίτατον καὶ κατ' ἀρχὴν πυρῆνα ἀπετέλουν, ᾧπερ ὕστερον ἄλλαι παντοδαπαὶ μαθήσεις ἀεὶ προςετίθεντο.

Καὶ παρ' ἄλλοις δὲ συγγραφεῦσι πολλαχοῦ περὶ τῶν παρ' Αἰγυπτίοις ἱερῶν ἢ τοῦ Ἑρμοῦ βίβλων ἀναγιγνώσκομεν· ἀλλ' οὐ δίκαιοι ἂν εἴημεν, εἰ καὶ ταύτας εἰς τὰς



ἄρτι λεχθείσας ἀναφέροιμεν. (ἔπιθι μετ' ἐπιστασίας. σ. 48. 49. κ.φ.ξ.) καὶ τὴν μεγάλην δὲ περὶ τῶν νεκρῶν βίβλον τῶν Αἰγυπτίων, οὐδαμῶς ὁ Λέψιος ταῖς δέκα τοῦ στολιστοῦ συγκαταλέγει (α), εἰ καὶ (ἐν τῷ προοιμίῳ τῆς αὐτῆς βίβλου σ. 17.) ἱερὰν βίβλον καὶ μίαν τῶν Ἑρμοῦ αὐτὴν γεγονέναι φησίν. οὐδ' ὁπωςτιοῦν μέντοι ἀμφίβολον ἡγεῖται ὅτι ἡ θεολογικὴ ὑπόστασις αὐτῆς ἐν ταῖς δέκα βίβλοις τοῦ προφήτου παρειλημμένη ἦν. (ἔπιθι δὲ καὶ τὰ ἐν σ. 92—93. καὶ ἀλλαχοῦ.). πρβλ. δὲ καὶ τὰ ὑπὸ Ῥοιθίου λεχθέντα, ἐν τῷ Αῳ τόμῳ σ. 116, κ.φ.ξ.

Ἐπεὶ δ' ἐν τοῖς ἔμπροσθεν λόγος ἐγένετο περί τινων ἀστρονομικῶν καὶ συμβολικῶν μύθων ὡς ἐξ Αἰγύπτου εἰς τὴν Ἑλλάδα ἐκ παλαιτάτου χρόνου εἰςαχθέντων, ἔτι δὲ καὶ περὶ Θάλητος τοῦ Μιλησίου καὶ ἄλλων ὡς ἐν Αἰγύπτῳ τὰ περὶ τοὺς ἀστέρας διδαχθέντων, ἔνιοι δ' αὐτοὺς τοὺς Αἰγυπτίους τῆς ἀστρονομίας ὡς ἐπιστήμης σχεδόν τι πάμπαν ἀδαεῖς γεγονέναι ὑπειλήφασι· προὔργου ἂν εἴη, οἶμαι, τὴν τῶν σοφῶν διαφωνίαν περὶ τούτου ὡς διὰ βραχυτάτων ὑποδεῖξαι, τὴν γνώμην δύο ἐξόχων Αἰγυπτιολόγων ἀντιπαραθέμενον.

Ὁ μὲν οὖν Βρούγσιος ἐν τῇ ἀξιολογωτάτῃ ἱστορίᾳ τῆς Αἰγύπτου τάδε περὶ τούτου ἀποφαίνεται· (Τ. Α, σ.

(α) Αὐτὸ γὰρ τὸ μῆκος τῆς βίβλου ἱκανῶς τὴν γνώμην ταύτην ἐπικυροῖ. Ἀλλ' οὐδ' οἷαί περ ὤφειλον εἶναι αἱ τοῦ στολιστοῦ, λειτουργικὴ ἡ βίβλος ἐστίν, ὥσπερ ἔοικεν ὁ Σαμπολλίων αὐτὴν ὑπειληφέναι· ἱστορίαν δὲ τῶν ψυχῶν μετὰ θάνατον κυρίως περιλαμβάνει. Διὸ καὶ ἔθος παρ' Αἰγυπτίοις ἦν συνθάπτειν αὐτὴν μετὰ τοῦ νεκροῦ.

38.) «Πάντες μὲν οἱ παλαιοί, φησι, πλὴν τινων ὀλίγων, οὐ τὰς τυχούσας τοῖς Αἰγυπτίοις ἀςρονομικὰς γνώσεις ἀποδιδόασιν, ὧν τινων τὴν εὕρεσιν εἰς τοὺς παλαιτάτους αἰῶνας προςαναβιβάζουσιν.» — (σ. 40.) «Ἀλλά, τόγ' ἐμοὶ δοκοῦν, οἱ Αἰγύπτιοι ἀστρολόγοι μᾶλλον ἦσαν ἢ ἀστρονόμοι· τήν τε ἀρχὴν τῆς ἀστρονομίας οὐκ ἐν Αἰγύπτῳ προςήκει ἀναζητεῖν, ἀλλ' ἴσως ἐπὶ τῶν πεδιάδων τῆς Μεσοποταμίας, παρὰ τοῖς Χαλδαίοις. Παρ' αὐτῶν γοῦν καὶ οἱ Ἕλληνες τὰς ἐπισημοτάτας ἐν ἀστρονομίᾳ μαθήσεις παρειλήφεσαν. λέγω δ' ἐν τῷ παρόντι μόνον τὴν τοῦ Ζωδιακοῦ κύκλου διαίρεσιν εἰς δώδεκα μοίρας, τὰ δωδεκατημόρια. Ὁ γὰρ ζωδιακὸς κύκλος ὅλως ἄγνωστος παρὰ τοῖς πάλαι Αἰγυπτίοις ὑπῆρχεν· αἱ δὲ δώδεκα μοῖραι τοῦ κύκλου ὑπὸ τῶν Ἑλλήνων εἰς Αἴγυπτον εἰςήχθησαν ἐπὶ τῶν Ἀλεξανδρέων.»

Ὁ δὲ δὴ Λέψιος, ἔνθα περὶ τῶν δύο καὶ τεσσαράκοντα ἱερῶν βίβλων λόγον ποιεῖται (Χρονολ. σ. 45 κ.φ.ξ.), τάδε φησίν· ὡς οὖν ἑκάστη τῶν ἐπιστημῶν καὶ τῶν περὶ τὰ θεῖα πραγματειῶν ἀριθμός τις βίβλων διώρισται, οὕτω καὶ τῇ περὶ τῶν ἐν οὐρανῷ φαινομένων ἤτοι τῇ ἀστρονομίᾳ (ἣν Κλήμης ἀστρολογίαν ἀποκαλεῖ) τέσσαρες βίβλοι ἀπεδόθησαν ἰδίῳ σοφῶν γένει τῶν ὡροσκόπων (ἢ κατὰ Πορφύριον ὡρολόγων) καλουμένων. Ἦν δὲ ἡ ἀστρονομία ἤδη αὐτή γε καθ' ἑαυτὴν πασῶν τῶν λοιπῶν κεχωρισμένη καὶ ἐν ταῖς μάλιστ' ἀξιολογωτάτη παρὰ τοῖς Αἰγυπτίοις, περὶ τὸν καθόλου τε καὶ κατὰ μέρος τοῦ χρόνου καταλογισμὸν οὖσα καὶ τὰ δι' ὧν ὁ χρόνος μετρεῖται σημεῖα, τὰ ἄστρα καὶ πρῶτον μὲν περὶ τὴν τῶν ἀπλανῶν ἀστέρων θέσιν, εἶτα δὲ καὶ περὶ τὸ ὅπως οἱ πλανῆται τάξεώς τε καὶ τάχους



ἔχουσι πρὸς ἀλλήλους, τάς τε ἡλίου καὶ σελήνης συζυγίας καὶ φάσεις καὶ τελευταῖον περὶ τὰς τῶν ἄςρων ἐπιτολάς τε καὶ δύσεις. Ἐκ δὲ δὴ τῶν ἐν ταῖς ἀστρονομικαῖς βίβλοις ἐμπεριεχομένων εἰκότως ἄν τις συνεικάσειεν ὅπερ πολλῶν τε ἄλλων παλαιῶν συγγραφέων αἱ μαρτυρίαι καὶ αὐτὰ δὲ τὰ μνημεῖα ἐπιβεβαιοῦσιν ὅτι ἐκ παλαιτάτων ἤδη χρόνων παρ' Αἰγυπτίοις ἡ ἀστρονομία πολλῆς ἐπιμελείας ἠξίωτο. Γνωστὸν δ' ὅτι τοῖς Αἰγυπτίοις ὑπ' ἐνίων (α) καὶ αὐτὴ ἡ τῆς ἀστρονομίας εὕρεσις ἀποδέδοται καὶ ἡ τοῦ ἐνιαυτοῦ εἰς δώδεκα μῆνας διαίρεσις. Διόδωρος δὲ ὁ Σικελιώτης ἐν τῷ αψ (πα'.) φησίν· «ἐπιμελῶς γάρ, εἰ καὶ παρά τισιν ἄλλοις, καὶ παρ' Αἰγυπτίοις παρατηρήσεως τυγχάνουσιν αἱ τῶν ἄστρων τάξεις τε καὶ κινήσεις· καὶ τὰς περὶ ἑκάστων ἀναγραφὰς ἐξ ἐτῶν ἀπίστων τῷ πλήθει φυλάττουσιν, ἐκ παλαιῶν χρόνων ἐζηλωμένης παρ' αὐτοῖς τῆς περὶ ταῦτα σπουδῆς· τάς τε τῶν πλανήτων ἀστέρων κινήσεις καὶ περιόδους καὶ στηριγμούς, ἔτι δὲ τὰς ἑκάστου δυνάμεις πρὸς τὰς τῶν ζῴων γενέσεις, τίνων εἰσὶν ἀγαθῶν ἢ κακῶν ἀπεργαστικαί, φιλοτιμότατα παρατετηρήκασι· (β)» πρβλ. δὲ καὶ Διογένη τὸν Λαέρτιον Α,

---

(α) Διόδ. Σικελ. Α, ξθ'. Ε, νζ'. — Κλήμεντος Ἀλεξανδρέως Στρωματέων Α. σ. 132. «Αἰγύπτιοι γοῦν πρῶτοι ἀστρολογίαν εἰς ἀνθρώπους ἐξήνεγκαν· ὁμοίως δὲ καὶ Χαλδαῖοι. Αἰγύπτιοι — καὶ τὸν ἐνιαυτὸν εἰς δώδεκα μῆνας διεῖλον.»

(β) Λόγον ἔχομεν παρατιθέμενοι τὴν συνέχειαν τοῦ ἄνω χωρίου, ὡς ἐφεξῆς ἔχουσαν· «Καὶ πολλάκις μὲν τοῖς ἀνθρώποις περὶ τῶν μελλόντων ἀπαντήσεσθαι κατὰ τὸν βίον προλέγοντες ἐπιτυγχάνουσιν, οὐκ ὀλιγάκις δὲ καρπῶν φθορὰς ἢ τοὐναντίον

κζ'. — Μόνους δὲ τοὺς Χαλδαίους οἱ Ἕλληνες κατὰ τὴν περὶ τὰ ἐν Οὐρανῷ φαινόμενα γνῶσιν τοῖς Αἰγυπτίοις παραβάλλουσιν· καὶ μήν, ὥςπερ ὑπὸ πολλῶν πάνυ ἀξιοπίστων μαρτύρων ὁμολογεῖται καὶ ἐν Βαβυλῶνι ἡ ἀστρονομία ἐκ παλαιοῦ ἤδη οὐ τῆς τυχούσης ἦν ἐπιμελείας τε καὶ ἐπιδόσεως τυγχάνουσα. «Καί μοι δοκεῖ, φησὶν ὁ σοφὸς Λέψιος (αὐτόθι σ. 55.) τοὺς Ἕλληνας, ὁπότε γε δὴ τὰς παρ' ἑκάστοις τῶν βαρβάρων μαθήσεις μετὰ πολλοῦ ζήλου συνέλεγον ἵνα πολλῷ γονιμωτέρας καταστήσειαν, πρότερον ἤδη τὴν παρὰ Βαβυλωνίοις ἀστρονομίαν ἐγνωκέναι ἢ τὴν παρ' Αἰγυπτίοις, οἳ δὴ καὶ οὐκ ἄνευ φθόνου τινὸς τοῖς ἄλλοις μετεδίδοσαν.» Καὶ Ἡρόδοτος δέ φησι· «Δοκέει δέ μοι ἐνθεῦτεν (ἐξ Αἰγύπτου) γεωμετρίη εὑρεθεῖσα ἐς τὴν Ἑλλάδα ἐπανελθεῖν. Πόλον μὲν γὰρ καὶ γνώμονα καὶ τὰ δυώδεκα μέρεα τῆς ἡμέρης παρὰ Βαβυλωνίων ἔμαθον οἱ Ἕλληνες» (Εὐτέρπης §. 109.).

Ἀλλὰ τοῦτό γε δὴ οὐ βούλεται σημαίνειν, ὅπως ὁ σοφὸς Λέψιός ἐςιν ὁ λέγων, ὅτι οὐκ ἠδύναντο καὶ παρ' Αἰγυπτίων αὐτά γε ταῦτα παραλαβεῖν· ὅτι μὲν γὰρ τῆς ἡμέρας ἡ εἰς δώδεκα ὥρας διαίρεσις, τῆς νέας βασιλείας ἀρχομένης, γνωστὴ παρ' Αἰγυπτίοις ἦν, τοῦτο αὐτοῖς

πολυκαρπίας, ἔτι δὲ νόσους κοινὰς ἀνθρώποις ἢ βοσκήμασιν ἐσομένας προσημαίνουσι· σεισμούς τε καὶ κατακλυσμοὺς καὶ κομητῶν ἀστέρων ἐπιτολὰς καὶ πάντα τὰ τοῖς πολλοῖς ἀδύνατον ἔχειν δοκοῦντα τὴν ἐπίγνωσιν, ἐκ πολλοῦ χρόνου παρατηρήσεως γεγενημένης, προγιγνώσκουσι. Φασὶ δὲ καὶ τοὺς ἐν Βαβυλῶνι Χαλδαίους, ἀποίκους Αἰγυπτίων ὄντας, τὴν δόξαν ἔχειν τὴν περὶ τῆς ἀστρολογίας, παρὰ τῶν ἱερέων μαθόντας τῶν Αἰγυπτίων.»



τοῖς μνημείοις ἔχοιμεν ἂν τεκμηριῶσαι. Ἀλλ' ἐκ Χαλδαίων ἡ ἀνακοίνωσις τῶν τοιούτων πρότερόν ποτε ἢ ἐξ Αἰγύπτου τοῖς Ἕλλησι προσιτὴ ἐγένετο, ἐς τὰ μάλιστα δὲ ἐπὶ Ἀλεξάνδρου τε καὶ τῶν μετ' αὐτόν. Καὶ μὲν δὴ καὶ Καλλισθένης ἐπὶ τῆς Ἀλεξάνδρου ἀναβάσεως ἐπέστειλε τῷ Ἀριστοτέλει τὰς ὑπὸ Χαλδαίων ἐν ἔτεσι τρισὶ καὶ ἐννεακοσίοις καὶ χιλίοις γεγενημένας ἀστρονομικὰς παρατηρήσεις. — Ἔμοι γε τοίνυν δοκεῖ, φησὶν ὁ Λέψιος (σ. 56.), ταύτην τὴν ἔκπαλαι τῶν Ἑλλήνων σχέσιν πρὸς τοὺς Χαλδαίους αἰτίαν γεγονέναι ὅτι καὶ ὁ Πτολεμαῖος ἐν τῷ Ἀλμαγεστ ταῖς τῶν Βαβυλωνίων τε καὶ Ἑλλήνων παρατηρήσεσιν ἐχρήσατο, τῶν δὲ παρ' Αἰγυπτίοις οὐδεμιᾷ. Ὁ δὲ σοφὸς Ἰδελέριος (α) εἰκάζει ἐντεῦθεν ὅτι ἡ ἀστρονομία πρότερον παρὰ Χαλδαίοις ἢ παρ' Αἰγυπτίοις ἐπίδοσιν ἔλαβεν. Ὁ δὲ Βουνσένιος (β) διατείνεται ὅτι οἱ Αἰγύπτιοι οὐδὲ τὸ ἐπίπαν παρατηρήσεις καὶ ἀναγραφὰς ἀστρονομικὰς εἶχον, ὧν ἂν καὶ ὄφελός τι ἐπιστημονικὸν γένοιτο. Ὡςαύτως δὲ καὶ πολλοὶ τῶν παρὰ Γάλλοις εὐδοκιμούντων. Τούτοις δὲ διὰ μακρῶν ἐνέστη ὁ Βιότος, ὧν τὰ πλεῖστα προςίεται καὶ ὁ Λέψιος, ὃς ὧδέ πως περὶ τούτου ἔτι ἀποφαίνεται· λογιστέον γάρ φησιν ὅτι καὶ Πτολεμαῖος αὐτός, ὅσα περ εἰς προγενεστέρους χρόνους προσαναβαίνει πάντα σχεδὸν ἐν ταῖς Ἱππάρχου συγγραφαῖς ἠρύσατο, ὥςπερ καὶ ὁ σοφὸς Φρερέτιος ἐν τῇ ἀξιολογωτάτῃ διατριβῇ περὶ τῆς τῶν Βαβυλωνίων χρονολογίας ἀποφαί-

(α) Ἐν τῷ βῳ τόμῳ (σ. 100) τῆς ἑαυτοῦ χρονολογίας.

(β) Ἐν τῷ συγγράμματι τῷ περὶ τῆς Αἰγύπτου Τ. Α, σ. 40.

νεται λέγων (α)· «Ἐκ τῶν Ἱππάρχου καὶ ὁ Πτολεμαῖος ἠρύσατο ὅσας τῶν Βαβυλωνίων παρατηρήσεις ἀστρονομικὰς μεταχειρίζεται. Καὶ γὰρ ὅπου ἂν λόγον τούτων τῶν παρατηρήσεων ποιῆται, Ἵππαρχον μόνον μνημονεύει, τὸν δὲ Βηρωσὸν οὐδαμοῦ, καίτοι ἐπὶ πάντων, ἃ μὴ αὐτὸς παρατετηρήκει, ἐπιμελὲς ἀεὶ ποιούμενος, παρ' οὗ γε συγγραφέως παρειλήφει ἐπιμαρτύρεσθαι. Εἰκότως οὖν ἄν τις φήσειε τὸ τοῦ Πτολεμαίου σύγγραμμα μηδὲν ἄλλο ἐμπεριέχειν ἢ τὰ τῷ Ἱππάρχῳ παραδεδομένα, νεωτέραις ἴσως παρατηρήσεσιν ἐπικεχυρωμένα, σαφέστερον δὲ καὶ μεθοδικώτερον διατεταγμένα, ὅσα γοῦν εἴς τε τοὺς ἀπλανεῖς ἀστέρας καὶ τὰς τοῦ ἡλίου καὶ τῆς σελήνης κινήσεις ἀναφοράν τινα ἔχει.» Καὶ πάνυ εὐχερῶς ἄν τις τοῦτό γε νοήσειε· Πτολεμαῖος γὰρ ἱκανὰ ἴσως πρός γε τὴν ἑαυτοῦ χρείαν εὑρὼν τὰ τῷ Ἱππάρχῳ συνηγμένα, ἄσμενος παρειλήφει, οἷον δὴ διὰ χρόνου μῆκος πάνυ χαλεποῦ δόξαντος αὖθις αὐτὰ ἀναλογισμῷ ἐξακριβῶσαι. Διὸ δὴ τὸ τοῦ Ἱππάρχου νῦν μᾶλλον σκεπτέον, δι' ἣν αἰτίαν ἆρά γε ὁ Ἵππαρχος οὐδεμιᾷ Αἰγυπτίων ἀστρονομικῇ παρατηρήσει κέχρηται; Μῶν ὅτι οὐχ οἷός τ' ἐγένετο τοιαύτην τινὰ καὶ παρ' Αἰγυπτίοις εὑρεῖν; ἀλλ' οὐδὲ γὰρ ἡλιακῆς τινος τῶν παρὰ Χαλδαίοις πάντως ἀναγεγραμμένων παρατηρήσεων οὔτε Πτολεμαῖος οὔτε Ἵππαρχος ἐπιμιμνήσκεται. Ὁ δ' οὖν Λέψιός φησιν ὅτι ὁ Ἵππαρχος, ὡς ἐν Ῥόδῳ τὰ πολλὰ διατρίβων, περὶ οὗ γε οὐδεὶς ἡμῖν παραδίδωσι λόγος ὅτι καὶ εἰς Αἴγυπτον ἀπεδήμησεν, οὐχ οὕτω τὰς τῶν

(α) Mémoires de l'Académie des insc. de bel. let. T. XVI. p. 206. 222.



Αἰγυπτίων ἀστρονομικὰς παρατηρήσεις ἐγίγνωσκεν, ὥσπερ τὰς τῶν Χαλδαίων. καὶ οὐδὲν θαυμαστόν, εἴπέρ τις τὰ περὶ τὸν Βηρωσὸν ἔχοντα ὡς ἀληθείας ἐχόμενα λογίσαιτο ὅτι ἐν τῇ ἐγγὺς τῆς Ῥόδου Κῷ σχολήν τε ἰδίαν συνεστήσατο καὶ οὐ τὴν τυχοῦσαν εὐδοκίμησιν ἔσχεν, ὥσπερ ὁ Οὐϊτρούϊός φησιν (α). Ἀλλὰ τί ποτε κῦρος ἂν ἔχοι ὅτι οὐδεμιᾶς ὁ Ἵππαρχος τῶν ἐν Αἰγύπτῳ γενομένων ἀστρονομικῶν παρατηρήσεων μνείαν ποιεῖται πρός γε αὐτῶν τούτων τὴν ὕπαρξιν, ὅταν μάλιστα ἐπισήμων ἀνδρῶν μαρτυρίας βεβαιοτάτας τούτου πέρι ἔχωμεν; Καὶ γὰρ Ἀριστοτέλης αὐτός, τὴν ἡλικίαν τῶν παρὰ Χαλδαίοις παρατηρήσεων εὖ μάλα διὰ Καλλισθένην, ὡς ἐν τῷ πρόσθεν εἰρήκαμεν, μαθὼν οὐχ ἧσσον ἐν τῷ περὶ οὐρανοῦ (Β, ιβ'.) ἔνθα λόγος περὶ καλύψεως τοῦ Ἑρμοῦ ὑπὸ τῆς σελήνης, ἣν αὐτὸς παρατετηρήκει, τάδε Αἰγυπτίων τε πέρι καὶ Βαβυλωνίων ἐπιμαρτυρεῖ. «Ὁμοίως δὲ καὶ περὶ τοὺς ἄλλους ἀστέρας λέγουσιν οἱ πάλαι τετηρηκότες ἐκ πλείστων ἐτῶν Αἰγύπτιοι καὶ Βαβυλώνιοι, παρ' ὧν πολλὰς πίστεις ἔχομεν περὶ ἑκάστου τῶν ἄστρων.» Καὶ ἐν Ἐπινομίδι δὲ (σ. 986.) τάδε φέρεται· «παλαιὸς γὰρ δὴ τόπος ἔθρεψε τοὺς πρώτους ταῦτα ἐννοήσαντας διὰ τὸ κάλλος τῆς θερινῆς ὥρας, ἣν Αἴγυπτός τε καὶ Συρία ἱκανῶς κέκτηται.» Ἔτι δὲ σαφέστερον μαρτυρεῖ περὶ τούτου ὁ Σένεκας λέγων (β) ὅτι

(α) IX, 4. ed. Rod. : Primus Berosus in insula et civitate Co consedit ibique aperuit disciplinam.

(β) Quaest. Nat. VII, 56 : Democritus quoque, subtilissimus antiquorum omnium, suspicari ait se plures stellas esse quae currant ; sed nec numerum illarum posuit,

τὴν τῶν πέντε πλανητῶν κίνησιν οἱ Ἕλληνες οὐκ ἐγίγνωσκον μέχρις Εὐδόξου (τοῦ Κνιδίου), ὃς ἐξ Αἰγύπτου εἰς Ἑλλάδα τὰ τοιαῦτα μετέδωκεν. Ὑστέρῳ δὲ χρόνῳ Κόνων ὁ Σάμιος ὁ ἀστρονόμος περὶ τὸ σξ΄ ἔτος π. Χ. καὶ τὰς ὑπ' Αἰγυπτίων ἀναγεγραμμένας ἡλιακὰς ἐκλείψεις συνήθροισεν. Ὥστε ἔκ γε τούτου τοῦ λόγου φανερὸν ὅτι οἱ Αἰγύπτιοι ἐγίγνωσκον καὶ ἔσωζον τοιαύτας παρατηρήσεις. Τάχα δ' ἂν καὶ ἡ παρὰ Διογένει τῷ Λαερτίῳ μαρτυρία λέγοντι (ἐν προοιμίῳ) ὅτι οἱ Αἰγύπτιοι ἀπ' ἀρχῆς μέχρις Ἀλεξάνδρου τοῦ μεγάλου ἡλίου μὲν ἐκλείψεις τογ΄, σελήνης δὲ ωλβ΄ ἐσκόπησαν, παλαιὰν μὲν καὶ γνησίαν πηγὴν ὑπεμφαίνοι, οὐ μέντοι γε καὶ ὀρθῶς νενοημένην. Φρερέτιος δὲ ἐπιμαρτυρεῖ ὅτι ἀμφότεροι οὗτοι οἱ ἀριθμοὶ λόγον καὶ πάνυ ἔχουσι πρὸς ἀλλήλους καὶ πᾶσαι αὗται αἱ ἐκλείψεις γίγνοιντ' ἂν ὁραταὶ ἐν χρόνῳ ᾳσν΄ ἐνιαυτῶν. Ἐπεὶ δέ, ὡς καὶ ἐν τοῖς ἔμπροσθεν δεδήλωται, οἱ τῶν Αἰγυπτίων ὡροσκόποι πάντα τὰ ἐν οὐρανῷ φαινόμενα ἐπιμελῶς μάλα ἀνασκοποῦντες, ἐπιπροσθήσεις τε ἀστέρων καὶ ἡλίου καὶ σελήνης ἐκλείψεις ἀκριβῶς παρετήρουν καὶ προῤῥήσεις

---

nec nomina, nondum comprehensis quinque siderum cursibus. Eudoxus primus ab Aegypto hos motus (quinque siderum) in Graeciam transtulit. Hic tamen de cometis nihil dicit, ex quo apparet, ne apud Aegyptios quidem, quibus major cæli cura fuit, hanc partem elaboratam. Conon postea, diligens et ipse inquisitor defectiones quidem solis servatas ab Aegyptiis collegit; nullam autem mentionem fecit cometarum, non praetermissurus, si quid explorati apud illos comperisset.



περὶ τούτων ἐποιοῦντο «πάντα τὰ κατὰ μέρος γινόμενα προλέγοντες ἀδιαπτώτως·» οὐδείς γε λόγος, εἴπερ ἡ μαρτυρία καὶ ἀληθείας τινὸς μεταλαγχάνει, ὁ ἀναπείθων ἡμᾶς ὁλικὰς μόνον καὶ πᾶσι φανεῖς ἐκλείψεις ὑπολαμβάνειν, ἀλλὰ πολλῷ γ' ἂν μᾶλλον τῷ Φρερετίῳ ὁμογνωμονοῦντες, φησὶν ὁ Λέψιος, ἐκλείψεις καθόλου ἔχοιμεν ἂν ἐνταῦθα νοεῖν. Προσαναβιβάσειεν οὖν ἄν τις τὰς ἐκ τοῦ ἐπὶ πλεῖστον καταγεγραμμένας τῶν ἀστέρων παρατηρήσεις ἐπ' αὐτήν γε τῆς νέας βασιλείας τὴν ἀρχήν, ὁπότε δὴ οὐ τὴν τυχοῦσαν ἐπιμέλειαν τῆς ἀστρονομίας οἱ Αἰγύπτιοι ἐποιοῦντο, ὥσπερ καὶ τὰ μνημεῖα ἱκανῶς ἐπιβεβαιοῖ.

Εἰ δέ τις ἐθελήσειε καὶ ἐπ' αὐτῶν τῶν πυραμίδων τὴν κτίσιν προσαναβῆναι, αἱ πυραμίδες τὰ χειροποίητα ταῦτα ὄρη, ἅπερ κράτος ἅμα καὶ ἀσθένειαν τῶν πρεσβυγενῶν τούτων ἀνθρώπων ὑπεμφαίνει, οὐ πρὸς ἀστρονομικήν τινα χρείαν ἐκτίσθησαν, ὥσπερ ἐπιεικεῖς τινες ἄνδρες ᾠήθησαν, μὴ ἔχοντες ἴσως συμβαλεῖν, ὅπως ποτὲ οἱ βασιλεῖς οἷοί τ' ἐγένοντο τοιαῦτα πελώρια ἔργα ἀναπυργῶσαι ἄνευ τινὸς κοινῆς ὠφελείας, ἀλλ' ὡς τάφοι τῶν πάλαι βασιλέων ᾠκοδομήθησαν ἐπ' ἀκριβὲς πρὸς ἀνατολὰς τετραμμένοι διὰ τὴν δόξαν, ἣν εἶχον περὶ τοῦ Ἅιδου οἱ Αἰγύπτιοι, ὡς ὄντος πρὸς δυσμάς, αὐτῆς γε τῆς κατ' Αἴγυπτον φύσεως, ὡς ἔοικεν, εἰς τοῦτό πως ἀγούσης. Διὰ δὴ τοῦτο αἱ πυραμίδες ἀκριβῶς πρὸς ἀνατολὰς καὶ δὴ καὶ δυσμὰς τετραμμέναι ἦσαν καὶ οὐχὶ ἀστρονομικῆς τινος χρείας ἕνεκα, εἰ καὶ οἱ ὕστερον ἀστρονόμοι ὡς ἀσφαλῆ τοῦ ὁρίζοντος σημεῖα ἐν ταῖς χρείαις ἴσως παρελάμβανον. Ὅτι δὲ κατ' ἀκρίβειαν ἀστρονομικὴν προσηνατολισμέναι αἱ πυραμίδες ἦσαν,

τοῦτό γε τελειότατά τε ἀποχρώντως ἐμφαίνει τῶν ἀστρονομικῶν ὀργάνων καὶ χρῆσιν αὐτῶν ἀσφαλῆ κατ' ἐκείνους ἤδη τοὺς παμπαλαίους χρόνους. Τὸ αὐτὸ δὲ τοῦτο καὶ ἄλλα μνημεῖα μαρτυρεῖ· ὡς, φέρ' εἰπεῖν, μηνῶν τε καὶ ἑορτῶν ἀναγραφαὶ κατὰ τὴν ἀκολουθίαν τῶν παρ' Αἰγυπτίοις τοῦ ἐνιαυτοῦ ὡρῶν ἐπ' αὐτὴν τὴν τρίτην καὶ τετάρτην Μανεθώνειον δυναστείαν προσαναβαίνουσαι. Καὶ ἑορτολόγιον δ' ὁλοσχερὲς κατὰ τοὺς χρόνους Ῥαμψῆ τοῦ τρίτου σώζεται ἐπὶ τῆς ἔξωθεν πλευρᾶς τοῦ ὑπ' αὐτοῦ ἀνεγηγερμένου ναοῦ ἐν Μεδίνετ Χαβυ, καὶ λείψανα δὲ ἑτέρου ἐπὶ τῆς νήσου Ἐλεφαντίνης ἐς τοὺς χρόνους Τουθμώσεως τοῦ γ' προσανιόντος. Ἔτι δὲ ἐπὶ τῶν τεγῶν πολλῶν βασιλείων τάφων ἐν Θήβαις, μάλιστα δὲ τῶν βασιλέων Ῥαμψῆ τοῦ ἕκτου καὶ ἐννάτου σώζονται πίνακες, ἐν οἷς αἱ τῶν ἄστρων ἀνατολαὶ διὰ παντὸς τοῦ ἔτους ἀνὰ δεκαπενθημερίαν κατὰ πάσας τὰς τῆς νυκτὸς ὥρας ἀναγεγραμμέναι εἰσίν. Ἔτι δὲ ἐπὶ τῶν στεγῶν ναῶν, τάφων καὶ λαρνάκων ἀπαντῶνται ζωγραφήματα τὸν ἐν Αἰγύπτῳ οὐρανὸν μετὰ τῶν ἀστέρων ἀστρονομικῶς διῃρημένον καὶ ὑπὸ θεῶν ἐνῳκημένον παριστάντα· τούτων δὲ τὰ παλαιότατα καὶ ἀξιολογώτατά ἐστι τὰ ἐπὶ τῶν τεγῶν τῶν τάφων Σήθου τοῦ πρώτου, Ῥαμψῆ τοῦ τετάρτου καὶ Ῥαμψῆ τοῦ ἑβδόμου. ἔτι δὲ ἡ ζωγραφία ἐπὶ τοῦ ναοῦ Ῥαμψῆ τοῦ δευτέρου καὶ αἱ ἔνδον ἐπιφάνειαι λάρνακός τινος ἐπὶ Ῥαμψῆ τοῦ ἐννάτου ἐν τῷ Βρεττανικῷ Μουσείῳ). Τὰ δ' εἰς χρόνους ὑστέρους καθήκοντα παραλείπομεν ἐνταῦθα, μνείαν μόνον ποιούμενοι τοῦ πολυθρυλλήτου οὐρανογραφήματος, ὅπερ ἐν σχήματι κυκλοτερεῖ ἐπί τινος τῶν ἄνω οἰκημάτων τοῦ ἐν Δένδερα ναοῦ εὕρηται.



Ἐκ τῶν εἰρημένων τοίνυν δῆλον γίγνεται ὅτι ἡ ἀστρονομία ἐκ τοῦ ἐπὶ πλεῖστον παρά τε Αἰγυπτίοις καὶ Χαλδαίοις πολλῆς ἐπιμελείας ἠξίωτο· οἱ δὲ Ἕλληνες παρὰ Χαλδαίων ἢ Βαβυλωνίων πρότερόν ποτε ἔνια (ἐμμέσως) διδαχθέντες, οὐκ ὀλίγα καὶ παρὰ τῶν Αἰγυπτίων ἔμαθον. Καὶ πολλαχοῦ δὲ ὁ σοφὸς Λέψιος Θαλῆν τὸν Μιλήσιον ἐν Αἰγύπτῳ λέγει τὰ περὶ τοὺς ἀστέρας μαθεῖν καὶ κατὰ τοὺς Αἰγυπτιακοὺς πίνακας ὑπολογισάμενον τὴν πολυθρύλλητον ἔκλειψιν τοῦ ἡλίου προειπεῖν. (Φανερὸν δ' ὅτι ταῦτα καὶ ὁ σοφὸς Ῥοίθιος δοξάζει). Ταῦτα δ' ἐχέτω ἐν τῷ παρόντι ὅπως ἂν ἔχῃ· ἀναμνηστέον γὰρ ὅτι ἡ Χαλδαϊκὴ ἀρχαιολογία νῦν μάλιστα εἰς φῶς ἤρξατο προβαίνειν.

Οὐ μόνον δὲ ὁ σοφὸς Σελλέριος ἀλλὰ καὶ πολλοὶ ἄλλοι τῶν σοφῶν οὐδεμίαν σχεδὸν ἐπικοινωνίαν ὑπάρξαι τῶν Αἰγυπτίων φασὶ πρὸς τοὺς Ἕλληνας· καὶ αὐτὰς δὲ τὰς ἐκ παλαιτάτου χρόνου θρυλλουμένας τῶν Αἰγυπτίων ἀποικίας εἰς Ἑλλάδα λῆρον ἄντικρυς βούλονται ἀποδεῖξαι, οὐδεμιᾶς ἀληθείας ἐχόμενον, ἐξ ὧν καὶ Σχοίμανος ἐν τῇ ἑλληνικῇ ἀρχαιολογίᾳ σφοδρότερόν πως τῶν ἀνατολιζόντων καθαπτόμενος, τοὺς μετρίους τοῖς ὑπερβολικοῖς τρόπον τινὰ συγχέων, ὡς μὴ ὤφελεν (α)·

(α) Ὁ σοφὸς οὗτος ἀνὴρ ἐν τῇ ἑλλην. ἀρχαιολ. σ. 10. παραδέχεται μὲν ἐπιμιξίαν τινὰ τῶν παλαιτάτων ἑλλήνων πρὸς τοὺς Αἰγυπτίους, οὐ μέντοι καὶ τὰς ἐξ Αἰγύπτου εἰς Ἑλλάδα ἀποικίας (σ. 14 κ.φ.ξ.), λέγων ὅτι οἱ Ἕλληνες ἅμα τοῖς ἄλλοις ἔθνεσι τῆς Ἀσίας ἐπιμιγέντες καὶ τοῖς Αἰγυπτίοις, ἤρξαντο τὰ οἰκεῖα ὡς ὀθνεῖα ὑπολαμβάνειν. Ἡμεῖς δὲ τὴν ἐναντίαν τῆς γνώμης ταύτης σφόδρα ἀγάμεθα (πρβλ. Λεψίου χρονολ.

ὁ δὲ δὴ σοφὸς ἀρχαιολόγος Μύλλερος καὶ σοφίσματα ἱστορικὰ ἐν Ὀρχομενῷ (σ. 99—107 καὶ προλεγ. σ. 175. 176. 182—187.) ἐπενόησεν. Ἀλλὰ γὰρ οὐκ ἀλυσιτελὲς ἂν εἴη, εἰ εἴποιμεν ὅτι τὰς Αἰγυπτίων εἰς Ἑλλάδα ἀποικίας, οἵ δε οἱ σοφοὶ παραδέχονται· Ἥρενος (ἐν τῷ περὶ Ἑλλάδος, τμήμ. Γ, σ. 90 κ.φ.ξ. δ' ἔκδ.). — Κρεϋζέριος (ἐν Συμβολ. Τ. Γ, σ. 5 κ.φ.ξ. 152 κ.φ.ξ).— Νειβούριος (ἐν ἀγορεύσ. Τ. Α. σ. 96 κ.φ.ξ.). — Ῥαουμέριος (ἐν τῇ ὀγδόῃ τῶν ἀγορ.).—Πλάσσιος (ἐν Ἱστορ. τῆς Ἑλλ. Τ. Α, σ. 293 κ.φ.ξ.). — Οἰκέριος, (ἐν τῷ περὶ Κρήτης. Τ. Α, σ. 47—52.).— Οὐλρίκιος, (ἐν Ἱστορ. τῆς Ἑλλην. ποιήσεως, Τ. Α, σ. 47, κ.φ.ξ.).—Βοιττίγιος (ἐν τῷ περὶ καλλιτεχνικῆς μυθολ. Τ. Α, σ. 205 κ.φ.ξ.). — Φρερέτιος, (ἐν τῇ ἱστορίᾳ τῆς Ἀκαδημίας τῶν ἐπιγραφῶν, Τ. κα΄, σ. 7.). — Πολλοὶ τῶν Αἰγυπτιολόγων καὶ ἐν πρώτοις ὁ Λέψιος πολλαχοῦ τῶν ἑαυτοῦ συγγραμμάτων. — Καὶ ὁ σεβαστὸς Λαυρέντιος, ἐν τῷ ἀθανάτῳ αὐτοῦ συγ-

---

Αἰγ. σ. 19, ἐδάφ. 6΄.)· ἔθνος γὰρ οἱονδή τι, κατ' ἐξοχὴν δὲ οἱ Ἕλληνες πολλῷ μᾶλλον τὰ ἀλλότρια οἰκειοῦται, ἀλλ' οὐ τὰ οἰκεῖα ἀλλοτριοῖ, εἰ μή γε ἄλλῃ τινὶ οἰκείᾳ παραδόσει πέπεισται. ὁ δὲ δὴ Σχοίμανος φησὶν ὅτι ὁ Δαναὸς ὡς ἐξ Αἰγύπτου εἰς Ἑλλάδα ἐλθὼν ἐν Δαναΐδι, τῷ ἐπικῷ ποιήματι κατὰ πρῶτον εἰσήχθη. ἀλλὰ ῥητέον ὅτι τοῦτο τὸ ἔπος ἐπὶ Σόλωνος μὲν ἐποιήθη, ἀλλ' ἦν ἆρά γε δυνατὸν τῷ ποιητῇ, ἐπικῷ γε ὄντι, φήμην τινὰ περὶ τῶν προγόνων τοῦ Ἑλληνικοῦ ἔθνους παραλαβεῖν οὐδαμῶς πρότερον παρὰ τοῖς Ἕλλησιν ἰσχύουσαν; Δῆλον δ' ὅτι τούτῳ τῷ σοφῷ ἀνδρὶ ἑπόμενοι, λέγομεν ὅτι ἐν πάσῃ δήποτε παραδόσει καὶ ἐγχώριόν τι πάντως συνεμίγη, ὡς καὶ τὸ αἰγιπεταῖς ἢ Αἰγίπται παραπλησίαν ἔννοιαν ἔχον τῷ αἴξ, αἰγίς, Αἰγαῖον, ἀΐσσω.



γράμματι «μελέται ἐπὶ τῆς ἱστορίας τῆς ἀνθρωπότητος» (Τ. Α, ἐν τῷ περὶ Αἰγύπτου, σ. 283 κ.φ.ξ., ἔνθα καὶ αἱ πλεῖσται τούτων τῶν μαρτυριῶν φέρονται (α).

Φαίη δ' ἄν τις ἴσως ὅτι καὶ τὰ ἐν Ἑλλάδι Κυκλώπεια καλούμενα τείχη καὶ τὰ Γιγάντεια ἔργα πρὸς μετοχέτευσιν ὑδάτων καὶ ξήρανσιν ἀγρῶν, ἔτι δὲ καὶ αἱ πρόσθεν λεχθεῖσαι παραδόσεις, αἵτινες φανερῶς ἔθνος δηλοῦσιν ὑδραυλικῶν ἔργων ἔμπειρον, οὐ πάνυ τι ἁρμόζουσαι φαίνονται οὔτε τῇ σμικρᾷ καὶ εἰς πολλὰς ἡγεμονείας διατετμημένῃ Ἑλλάδι, οὔτε τῷ πλήθει τῶν ἐνοικούντων, οὔτε τῷ τηνικαῦτα βίῳ, ὃν διῆγον· Ἀλλὰ τούτων μὲν πέρι ἴσως εἰσαῦθις.

Νῦν δὲ ῥητέον μοι ὅτι καὶ ἣν μέθοδον ὁ Σελλέριος ὡς ἀκροσφαλῆ καθόλου ἐπικρίνει ἤτοι τὴν σύγκρισιν τῶν μυθολογικῶν ὀνομάτων τῶν παρ' Ἕλλησι πρὸς τὰ τῶν ἄλλων ἐθνῶν· αὕτη μετὰ λόγου γιγνομένη μαρτύριον ἀσφαλέστατόν ἐστι τῆς συγγενείας τῶν ἐθνῶν πρὸς ἄλληλα ὡς ὁ σοφὸς Κούνιος καὶ ἄλλοι θαυμασίως ἀπέδειξαν.

Τέλος δὲ ὁ σοφὸς Σελλέριος ἔν τινι σχολίῳ οὕτω πως συλλογίζεται· εἴπερ λατρεῖαι τινὲς καὶ μῦθοι ἐκ τῶν ἀνατολικῶν ἐθνῶν εἰς τοὺς Ἕλληνας μετέβαινον, ὤφειλον ἂν πάντως τῶν ἱεραρχικῶν ἐθίμων τῆς ἀνατολῆς ἀναπόσπαστοι εἶναι. Ἀλλ' ἡμεῖς γε, φησίν, ἐφ' ὅσον ἂν μᾶλλον εἰς τοὺς πάλαι τῆς Ἑλλάδος αἰῶνας προσαναβαίνωμεν, μὴ ὅτι ἱερέων ἀεὶ μείζονα ἰσχύν, ἀλλὰ τοὐναντίον σχεδόν τι παντελῆ ἔλλειψιν ὁρῶμεν. (πρβλ. μέν-

---

(α) Πρβλ. καὶ τὰ τῷ Βερνάρδυϊ μάλα μόγις καὶ βίᾳ πως ῥηθέντα. Τ. Α, σ. 248.

τοι καὶ σ. 41. ἐδ. 6ον).—Εἶεν· ἀλλ' ἴσως ἄν τις καὶ λόγον ἔχοι ἐρέσθαι, μέχρι τίνος δὴ ὁ σοφὸς Σελλέριος τοὺς πάλαι αἰῶνας ἀναλογίζεται; Εἰ μὲν γὰρ σκιάν τινα Θεοκρατείας ἐν αὐτῷ τῷ ὄρθρῳ τοῦ τῶν Ἑλλήνων προγόνων βίου ἔχοι τις ἂν ἢ μὴ ἀνευρεῖν, τούτου γε πέρι ἀποφαινέσθωσαν οἱ γλωσσοδίφαι μᾶλλον καὶ Ἀνατολισταί· ἐπεὶ ὁμολογητέον ὅτι οὗτοι καὶ μόνοι τά γε τοιαῦτα ἱκανοί εἰσιν, οἱ ἐξ ἐπαγγέλματος. Ἀλλ' εἰ μηδ' ἴχνος Θεοκρατείας καὶ παρὰ τοῖς ἐν Ἑλλάδι καὶ περὶ Ἑλλάδα ἤδη ἐγκαταστᾶσιν Ἕλλησι τοῖς πρεσβυτάτοις εὑρίσκεται· (ὑποτεθείσθω δὴ καὶ μάλα ἐξηκριβωμένον τὸ τοιοῦτον) φανερὸν ἄρα κατὰ Σελλέριον ὅτι οὐδὲν οὗτοι παρ' ἄλλων Θεοκρατουμένων ἐθνῶν παρέλαβον. Ἀλλ' εἴπερ πάντα τὰ αἴτια, ὅσα οἱ περὶ τὰ τοιαῦτα σοφοὶ τῆς τῶν ἀνατολικῶν ἐθνῶν Θεοκρατείας, οἷον τῶν Ἰνδῶν προφέρονται οὔπω ἱκανὰ ἐγένετο ὥστε τὴν τῶν σοφῶν (Λαυρεντίου) διάνοιαν ἐντελῶς ἀποπληρῶσαι, οὐ πολλῷ θαυμαστότερον εἴη ἂν ὑπολαμβάνειν ὅτι ἔθνος τι δι' ἄλλην μὲν αἰτίαν οὐδεμίαν, ἀλλὰ διὰ θεολογικῶν τινων γνώσεων μετάληψιν ὤφειλον ἅμα καὶ Θεοκρατείαν τινὰ παραλαβεῖν; Ἔοικε τοίνυν ὁ Σελλέριος μηδένα μῦθον, μηδέν τε δόγμα καὶ εἴ τι ἄλλο τοιοῦτον ὡς εἰς Ἕλληνας εἰσαχθὲν δέχεσθαι, ὃ ἂν μὴ παντὸς τοῦ ἔθνους ἐπικρατῆσαν ἀναφανῇ, αὐτῇ γε τῇ φύσει τοῦ ἔθνους καὶ κατὰ τὴν αὐτήν που ἀνάγκην ῥιζωθὲν, καθ' ἥν περ ἦν καὶ ἐν τῷ ἔθνει, παρ' οὗ οἱ Ἕλληνες αὐτὸ παρέλαβον. ὑπερβολὴ τῇ ἀληθείᾳ ὅλως ξυσνόητος.

Γαλάτης τις σοφὸς, ὁ Κουϊνέτιος (α) ἔν τινι βιβλίῳ λίαν

(α) Quinet, le génie des religions, σ. 176, κ.φ.ξ.



καλῷ, ἄλλην μὲν ἐπιγραφὴν ἔχοντι, ἄλλα δὲ ἐμπεριέχοντι, διὰ λόγων καὶ διὰ λόγων γαλατικῶν ἀναρτᾷ τέλος τὴν πρώτην ἀρχὴν τῶν παρ' Ἰνδοῖς τεσσάρων φυλῶν εἰς αὐτὴν τὴν φύσιν τοῦ θρησκεύματος, πανθεϊστικοῦ κυρίως ὄντος. καὶ γὰρ οἱ βραχμᾶνες τὸ κοινῇ νομιζόμενον δόγμα, καθ' ὃ ὁ Βράχμα αὐτὸς εἰς τιμιώτερα ἢ εὐτελέστερα μόρια καταμελιζόμενος, γένεσιν πᾶσι τοῖς ἐν τῷ κόσμῳ παρέχει, τοῦτο τὸ δόγμα λαβόντες, φησὶν, ἐφήρμοσαν καὶ τῇ κοινωνίᾳ τῇ ἀνθρωπικῇ. καὶ ἐκ μὲν τοῦ στόματος τοῦ Βράχμα τὸ ἑαυτῶν γένος ἔφασαν τὸ τῶν βραχμάνων προεληλυθέναι, ὡς μακρῷ πάντων τιμιώτατον, ἐκ δὲ τῶν βραχιόνων τὸ τῶν Ξατριγα ἤτοι τῶν μαχίμων (κατὰ λέξιν κρειόνων), ἐκ δὲ τῶν ἰσχίων τὸ τῶν Βαΐσγα (ποιμένων, γεωργῶν καὶ ἀγοραίων), ἐκ δὲ τῶν ποδῶν τὸ τῶν Σοῦδρα ἤτοι τῶν δούλων τῶν μελανώπων, καὶ ταῦτα τὰ γένη παραμόνιμα ἐς ἀεὶ εἶναι ἀπεφήναντο. — ἀλλὰ γὰρ καὶ σμικρὸν τὴν διάνοιαν ἐπιστήσαντι φανερὸν γένοιτ' ἂν ὅτι ὁ σοφὸς γαλάτης τὸ δεύτερον ἀντὶ πρώτου ἐξέλαβεν· ἔδει γὰρ πρότερόν ποτ' ἤδη τὸ τῶν φυλῶν νόμῳ καθεστάναι ὥστε τοὺς εἰς δύναμίν τινα περιελθόντας βραχμᾶνας ὑστέρῳ χρόνῳ τῷ σχήματι ἐκείνῳ διὰ τοῦ πανθεϊσμοῦ κῦρος περιάψαι. ὁ λόγος τοίνυν οὐδὲν παύεται ζητῶν, δι' ἣν αἰτίαν τὸ πρῶτον οἷά περ τὰ τέσσαρα γένη τὰ παρὰ τοῖς Ἰνδοῖς συνέστηκεν. — Δοκεῖ τοίνυν ἡμῖν ὅτι ἡ πρώτη αἰτία τοῦ καταστήματος τούτου ἐν αὐτῇ τῇ φύσει ζητητέα ἐστὶ τοῦ πατριαρχικοῦ τῶν νομάδων βίου. παρὰ πᾶσι γὰρ τούτοις τοῖς ἁπλοϊκοῖς νομάσιν ἡ πρὸς τοὺς γονεῖς καὶ τοὺς πρεσβυτέρους ἐν γένει ὑπακοὴ καὶ εὐσέβεια ἐν ἀρετῆς μέρει πρωτίστης νομίζεται, ὥσπερ οὖν καὶ τὰ πρωτοτόκια εἰς ἄκρον τιμᾶται, καὶ μόνοις τοῖς πρεσβυτέροις γέρας προσνέμεται ἐν ἑκάστῃ πατριᾷ τὰ τῆς θρησκείας ἐπιτελεῖν, θυσίας τῷ Θεῷ ἢ τοῖς θεοῖς προσφέρειν, εὐχάς τε εὔχεσθαι καὶ κακὰ ἀποτροπιάζεσθαι καὶ ὅσα ἄλλα τοιαῦτα ἐν ἔθει καθέστηκεν· τοῖς δὲ θαλεροῖς ἀνδράσι, τῶν πρωτοτό-

κων ἡγουμένων, ἡ ἄμυνα τῶν πολεμίων ἤτοι λῃστῶν, ἡ προστασία καὶ φυλακὴ τῶν ποιμνίων καὶ τῶν σκηνῶν καὶ πάντων ὁμοίως τῶν ὑπαρχόντων ἀνατίθεται, εἰ δὲ ϐούλει, καὶ ἡ ἐπ' ἄλλους ἐπιδρομὴ καὶ σύλησις τῶν ἀλλοτρίων· τοῖς δὲ ἀκτήμοσι τοῖς παισὶν εὐφημουμένοις μυρία ἔργα ὑπολείπεται. ὥστε ἐν πάσῃ πατριᾷ αὐτομάτως πως φύεται ταῦτα τὰ τρία γένη, τὸ τῶν ἱερέων, τὸ τῶν μαχίμων, καὶ τὸ τῶν ἐργοπόνων. Τοιοῦτον ϐίον διῆγεν ἀνέκαθεν ἔτι καὶ νῦν καὶ ἐν τῷ μέλλοντι χρόνῳ βιώσεταί γε πάντως πάντα τὰ νομαδικὰ φῦλα, οἵ τε κατὰ τὰς πολικὰς χώρας ταράνδων ἀγέλας νέμοντες, γαλακτοφάγοι, διφθέρας ἐνειμένοι, ᾄσματα ᾄδοντες καὶ φαντασιώδεσι παραμυθίοις τὸ ἀπέραντον μῆκος τῶν νυκτῶν παραμυθούμενοι οἱ Λάππωνες, οἱ Ὀστιάκοι, οἱ Ἰακοῦται, οἱ Τουγγοῦζοι· οἵ τε Μογγόλοι ἐντὸς τῆς εὐκράτου ζώνης ϐοῦς τε τρέφοντες καὶ πρόϐατα καὶ ἵππους καὶ ἐν ταρσωταῖς πίλῳ εὐτέχνως τεταμέναις καλύϐαις θυμήρη ϐίον διάγοντες· οἱ πάλαι τε καὶ νῦν Τουράνιοι καὶ οἱ ὕστερον Σίναι ἐπίκλην κληθέντες· τῶν τε Ἰσραηλιτῶν τὸ φῦλον τὸ πάλαι καὶ τῶν νῦν Βεδουΐνων· καὶ οἱ Ἄριοι ὡσαύτως οἵ τε παμπάλαιοι καὶ οἱ Ἄριοι οἱ ἐπίλοιποι, ἐξ ὧν τέλος οἱ μὲν ἀποσχισθέντες Ἰνδοὶ ἐκλήθησαν, οἱ δὲ Πέρσαι κατὰ χώραν ἔμειναν. Ἔτι δὲ πρὸς τούτοις ἐπιλογιστέον καὶ τόδε· ὅτι ἡ πολυτεκνία παρὰ τοῖς νομάσι τιμὴν οὐ τὴν τυχοῦσαν περιάπτει, ὥσπερ ἡ ἀτεκνία ὄνειδος. ἐκ δὲ τῆς πολυτεκνίας ἥ τε πληθὺς συμϐαίνει καὶ ἰσχὺς καὶ ὁ πλοῦτος ἑκάστῃ τῶν πατριῶν καὶ δὴ καὶ ἡ ἐπὶ μακρὸν χρόνον διάδοσις τοῦ γένους· καὶ ἐκ πολλῶν πατριῶν ἢ φυλῶν ἡ πρεσϐυτάτη ἢ ἐπ' ἐξόχοις ἀνδράσιν ἐλλογιμωτάτη ὡς ἱερὰ παρ' ἄλλαις φιλογενέσι λογίζεται καὶ πάντα τὰ μέλη αὐτῆς ὡσαύτως ἱερά, ὡς δηλοῦσι παρ' Ἄραψιν οἱ Χιμυαρῖται, εἶτα δὲ οἱ Κοραϊσῖται, ἐν οἷς οἱ Βανοῦ Χασὶμ, ἐξ ὧν ὁ προφήτης Μοχαμμὰδ ἀνέλαμψε· παρὰ τοῖς Ἄραψι δὴ τιμῶνται καὶ ἵπποι καὶ κάμηλοι, ὅσων ἡ γενεαλογία ἐπὶ μήκιστον προσανα-



ϐαίνει. ταῦτα τοίνυν διὰ μνήμης τις ἔχων, μεταϐάτω αὖθις εἰς τοὺς Ἀρίους, ἀφ' ὧν ἔσχατοι οἱ ὕστερον κληθέντες Ἰνδοὶ απεσχίσθησαν. Μοῖρα γάρ τις τούτων τῶν Ἀρίων, πολλαὶ ἤδη πατριαὶ ἢ φυλαὶ πρὸς ἀλλήλας συνησπισμέναι, εἴτε διὰ πλεονασμὸν ἀνθρώπων τε καὶ ποιμνίων εἴτε δι' ἔριν θρησκευτικὴν πρὸς τοὺς ὕστερον Πέρσας ὠνομασθέντας ἐπὶ τὸ ἠθικώτερον τοὺς πρῴην φυσικοὺς καὶ συμϐολικοὺς θεοὺς ὁσημέραι μεθαρμόζοντας, εἴτε δι' ἔμφυτον ὁρμὴν πᾶσι σχεδὸν τοῖς νομάσι κοινὴν, εἰς περιπλάνησιν καὶ ψυχαγωγίαν ἐφορμῶσαν εἴτε δι' ἀνομϐρίαν καὶ ἔλλειψιν νομῶν, ἠναγκάσθησαν τέλος, ὥς ποτε οἱ Ἰσραηλῖται εἰς Αἴγυπτον, οὕτως οὗτοι πρὸς τὴν Ἰνδικὴν μεταναστεῦσαι καὶ πρῶτον μὲν ἐγκατέστησαν εἰς τὰ πρὸς ἑσπέραν τῆς Ἰνδικῆς μεταξὺ τοῦ Καϐυλίου ποταμοῦ καὶ τοῦ Ἰνδοῦ ἐν χώρᾳ καλλίστῃ, εὐφορωτάτῃ καὶ πολυγυιοτάτῃ τῇ Καϐουλιστάνῃ, εἶτ' ἐνθένδε εἰς τὴν πενταποταμίδα Πενγ'άϐ λεγομένην προυχώρησαν, καὶ ἀπὸ ταύτης κατὰ σμικρὸν διὰ τῆς κοιλάδος τοῦ Γάγγου μέχρι τοῦ Σαδάνίρα ἐσχάτου ὅρου πρὸς τὰ ἑῷα τῆς Ἰνδικῆς, διὰ πάσης ταύτης τῆς ἀπεράντου χώρας ἐπὶ εἴκοσιν ὅλας μοίρας τεινούσης, ἀπὸ τοῦ Καϐυλίου ποταμοῦ μέχρι τοῦ Σαδάνίρα, ἐπορεύθησαν οὐκ ἀμαχητὶ, ἀλλὰ συνεχῶς μαχόμενοι πρὸς μελαμϐρότους, ἰθαγενεῖς οἰκήτορας τῶν τόπων ἐκείνων, καὶ τὸ μέσον αὐτῶν διαλαϐόντες, τοὺς μὲν πρὸς μεσημϐρίαν κατὰ τὰ Βίνδγα ὄρη ἐξείλησαν, τοὺς δὲ πρὸς ἄρκτους ἐπὶ τὸν Ἴμαον. φανερὸν τοίνυν ὅτι παρὰ πάντα τοῦτον τὸν συνεχῆ πόλεμον τὸ πᾶν, ὡς εἰκὸς, εἰς τὴν βουλὴν ἀνέκειτο τῶν ὑπαρχόντων ἤδη πρεσϐυτέρων τε ἅμα καὶ, ὡς ἔπος εἰπεῖν, ἱερέων καὶ εἰς τὸν βραχίονα τῶν νέων ἤτοι τῶν μαχίμων· ἀμφοῖν γὰρ τούτοιν ἀκμὴ ἦν τότε, ϐουλῆς καὶ ϐραχίονος. ὁ δὲ τοιοῦτος ϐίος καὶ πολλῷ μᾶλλον ἄμφω τὰ κρείσσονα γένη ἐπέρρωσε καὶ τοῖς ὑποδεεστέροις, τοῖς παισὶ, μείζονα ὑπακοὴν πρὸς τοὺς κρείσσονας ἐπέϐαλεν. ἐχωρίσθη τοίνυν ἐνταῦθα τὰ τρία γένη ἀλλήλων

πολλῷ εὐκρινέστερον ἢ πρώην, οἷς προσετέθη καὶ τέταρτον, τὸ τῶν αἰχμαλώτων ἢ ὑποτεταγμένων μελαμβρότων. οἱ δ' οὖν π ρ ε σ β ύ τ ε ρ ο ι προετιμῶντο, ὡς εἴρηται, ἀνέκαθεν καὶ αὐτῶν τῶν μαχίμων, νῦν δὲ καὶ ἔτι μᾶλλον, ὅτε ὁ κίνδυνος καὶ τὸ ἀλλοπρόσαλλον τοῦ πολέμου τὴν τῶν θεῶν ἀρωγὴν πολλῷ ἀναγκαιοτέραν κατέστησε καὶ τὴν τήρησιν τῆς ὑπακοῆς καὶ πειθαρχίας καὶ τὴν τῶν θεσμῶν εὐλαβῆ διαχείρισιν· ἔτι δὲ τῶν ἱερῶν ᾀσμάτων, τῶν ὕμνων, τῶν λειτουργιῶν καὶ τῶν λοιπῶν νομίμων τῶν θρησκευτικῶν ἡ ἑρμηνεία ἀπαραίτητος ἐς τὰ μάλιστα τὰ νῦν ἀπέβη· χρόνου γὰρ μῆκος πολὺ μεσολαβῆσαν σκοτεινά τε ἅμα τοῖς πολλοῖς τὰ πρόσθεν ἀπειργάσατο καὶ ἀμηγέπη ἱερώτερα, ὁπότε μάλιστα τὸ θρήσκευμα τοὺς Ἀρίους τῶν ἰθαγενῶν καὶ ἀγρίων ἀνθρώπων ἐξαῖρον, γνώρισμα πολλῷ προσφιλέστερον ἢ πρώην αὐτοῖς ἐγένετο. ἐπὶ δὲ πᾶσι τούτοις τὸ τῶν ὡρῶν πρόσθες κατὰ τὴν τοῦ Γάγγου κοιλάδα ὑδατόῤῥυτόν τε ἅμα καὶ αὐχμῶδη, ὑλομανῆ δ' εἰς ἄκρον οὖσαν καὶ τὴν ἐκ τοῦ θάλπους καὶ τῶν νοσημάτων προσγιγνομένην χαυνότητα τῷ τε σώματι καὶ τῇ ψυχῇ τῶν ἀνθρώπων καὶ νοήσεις πάντως δι' ἣν αἰτίαν οἱ βραχμᾶνες τελευτῶντες δεσπόται καὶ τύραννοι ἀνόσιοι καὶ μιαροὶ πάντων τῶν λοιπῶν γενῶν ἐγένοντο ταῦτα μὲν οὖν ἡμῖν δοκεῖ·

Λάσσην δὲ ὁ σοφὸς ὧδέ πως ἄρχεται τὴν τῶν φυλῶν γένεσιν διασαφῶν· τῶν τεσσάρων παρ' Ἰνδοῖς φυλῶν οὐδεμία, φησί, μνεία κατὰ τοὺς παλαιτάτους χρόνους γίγνεται, εἰς οὕς, φέρ' εἰπεῖν, ὁ Ῥιγβέδα προσαναβαίνει· ἱερεῖς δὲ μόνον φαίνονται οἱ π υ ρ ω Χ ι τ α, οἱ τὰς θυσίας ἀμφιέποντες. τούτους δὲ τοὺς ἱερεῖς κατὰ σμικρὸν ὁρῶμεν ὕστερον εἰς φυλὴν ἰδίαν ἁρμοζομένους ἐν τῷ μεταξὺ τοῦ χρόνου, ἐν ᾧ τὰ παλαίτατα μέρη τοῦ μεγάλου ἔπους ΜαΧάβΧαρατα ἐποιήθη καὶ τοῦ χρόνου, καθ' ὃν ὁ νόμος Μανῦ συνετάχθη, ὁπότε οἱ Ἰνδοὶ κύριοι ἐγένοντο τῆς κοιλάδος τοῦ Ἰαμυνᾶ καὶ Γάγγου τῆς μεταξὺ τῶν Χιμάλαγα καὶ τῶν Βινδύα ὀρέων κειμένης. (Ἰνδ. ἀρχ. Τ. Α. σ. 800—801.)



καὶ ΒραΧμᾶ ἢ ΒρᾶΧμανα ἐδήλου τὸ πρῶτον οὐδὲν ἄλλο ἢ τὸν εὐχέτην, ᾧ περ ἦν ἀνατεθειμένη ἰδίως ἡ ἐποπτεία τῶν θυσιῶν, ὁσημέραι κῦρος μεῖζον λαμβανουσῶν· ἐπεὶ δὲ κατὰ τὰς θυσίας τάς τε ἄλλας καὶ τὰς ἐπὶ τῆς χρίσεως ἢ στέψεως τῶν βασιλέων οἱ βραχμᾶνες τὸ πᾶν ἴσχυον ὡς ἐπόπται ἤτοι αὐτὸ τοῦτο βραχμᾶνες, τῷ ὀνόματι τούτῳ τῷ ἱερῷ ἐκλήθη ὕστερον καὶ ἅπασα ἡ φυλὴ αὐτῶν, ὧν ἡ πρώτη δύναμις, ὡς λέγω, ἐκ τῶν ἱερέων τῶν πυρωΧιτῶν προῆλθε. τιμῆς δὲ παρὰ τοῦ βασιλέως οὐ τῆς τυχούσης ἄξιοι ᾄδονται οἱ βραχμᾶνες καὶ ἐν αὐτοῖς ἤδη τοῖς ὕμνοις τοῖς βεδικοῖς, καίπερ μήπω φυλὴν ἰδίαν ἀποτελοῦντες. ἐν δὲ τοῖς ἔπεσιν ὁ βραΧμᾶ ὡς εὐχέτης καὶ σύμβουλος τοῦ βασιλέως φαίνεται, ὅσπερ καὶ ἔμελλε, φησὶν ὁ Λάσσην, παρ' ἔθνει οἵῳ τῷ τῶν πάλαι Ἰνδῶν πάνυ θρησκευτικῷ ὄντι, ἐπηρεάσαι καὶ κατακυριεῦσαι καὶ αὐτῆς τῆς βουλήσεως τῶν βασιλέων. ἀλλ' ἡ πρώτη καταβολὴ εἰς τὴν τῶν φυλῶν σύστασιν ἐτέθη, ὥσπερ ὁ σοφὸς ἀνὴρ εἰκάζει, ἐξ ὅτου τὸ τῶν πυρωΧιτῶν ἀξίωμα διαδοχικὸν ἐγένετο, καὶ γένη ὡς ἐν παραδείγματι προφέρεται ἱερέων διαδοχικὰ παρὰ τοῖς ἑκασταχοῦ τῆς Ἰνδικῆς βασιλεύουσι μέγα ἰσχύοντα. ἀλλὰ ταῦτα καὶ ἄλλα γένη ἦσαν ἤδη ἐπὶ τῶν Βεδικῶν αἰώνων ὀνομαστὰ ἐπὶ ὕμνοις καὶ ᾠδαῖς, οὓς κληρονομίας δίκην ἰδίας μεθ' ἑαυτῶν ἐκομίσαντο εἰς τὴν νέαν πατρίδα, τὴν κοιλάδα τοῦ Γάγγου, καὶ τούτου ἕνεκεν ἡ βουλὴ αὐτῶν ἔμελλε πάντως ἰσχύσειν ὅτε ἐπεχείρησαν τὰ περὶ τὴν λατρείαν διακοσμῆσαι, πρὸς ἣν χρήσιμοι ἐφάνησαν ἐκεῖνοι οἱ ὕμνοι. ταύτῃ δὲ τῇ ἐργασίᾳ προσετέθη ἐν πρώτοις ἡ συλλογὴ τῶν πρὸς τὰς λειτουργίας ἐπιτηδείων ᾀσμάτων. καὶ ἐκ τούτων δὴ τῶν περὶ τὰς ἱερὰς παραδόσεις ἑρμηνευτικῶν ἀσχολήσεων ἀπεβλάστησαν τῷ χρόνῳ αἱ σχολαὶ σάκΧα παρ' αὐτοῖς καλούμεναι. αὗται δὲ αἱ σχολαὶ διδάσκαλοί τε ἅμα καὶ μαθηταί, ὅσοι περὶ τὰ ἱερὰ γράμματα καὶ τὰς θυσίας ἦσαν σπουδάζοντες, ἀπετέλεσαν σύλλογον ἀνδρῶν ἱερῶν, οἵπερ πάντων τῶν ἄλλων ἀνθρώπων ὡς γένος ἢ

φυλὴ ἰδίᾳ ἐχωρίσθησαν καὶ οὕτως ἡ τῶν βραχμάνων φυλὴ καθέστηκε, συμφέρον ἑαυτοῖς ἐς τὰ μάλιστα ἡγουμένων πάντας τοὺς λοιποὺς τῆς ἑαυτῶν φυλῆς παντάπασιν ἀποκλεῖσαι, οὐδεμιᾷ ἄλλῃ ἐξουσίᾳ χρώμενοι ἢ τῇ εὐνοίᾳ καὶ ἰσχύϊ, ἧς ἀπέλαυον παρά τε τῷ βασιλεῖ καὶ παρὰ τοῖς ἄλλοις τοῖς μαχίμοις. εἰ δ᾽ ἐν τοῖς ἔπεσι βραχμάνων, βασιλέων τε καὶ μαχίμων ἐπιμιξία πρὸς ἀλλήλους ἔτι φαίνεται, ἀλλ᾽ ὁ νόμος τοῦ Μανοῦ ἐξαγγέλλει ἤδη τὴν ἐπιτέλεσιν τοῦ ἔργου, καὶ αὐτοὺς δηλονότι τοὺς βασιλεῖς τελέως τοῖς βραχμᾶσιν ὑποτεταγμένους. — Παραπλησίως δὲ καὶ ὁ σοφὸς Οὐεβέριος ἔν τινι θαυμασίᾳ ἀγορεύσει περὶ τῆς πάλαι Ἰνδικῆς (σ. 18—19) εἰς παλαιὰ γένη ἀοιδῶν καὶ ῥαψῳδῶν, ἱερογραμματέων τε καὶ κατ᾽ ἐξοχὴν *ἱεροθυτῶν* ὕστερον καταστάντων τὴν ἀρχὴν τῆς τῶν Βραχμάνων φυλῆς ἀναβιβάζει. (Ἔπιθι Λάσσ. Ἰνδ. ἀρχ. τ. Α. σ, 704—823. — καὶ Οὐεβερ. τὴν ἄρτι λεχθεῖσαν διατρ. ἐν τοῖς Ἰνδ. σκιαγραφήμασι (skizzen) σ. 1—38.).

Ταῦτα πάντα ὑπ᾽ ἀνδρῶν σοφωτάτων πολλῷ ἐπιστημονικώτερον εἰρημένα ἢ ὡς ἡμεῖς κατὰ τάχος ἐπιτεμόντες τοῖς Ἕλλησι λέγομεν, ἐς τὰ μάλιστα προσιέμεθα καὶ ἐγκωμιάζομεν· ἀλλ᾽ ἐξέστω καὶ τὴν ἡμετέραν ἀπορίαν τούτων πέρι ὧδέ πως ἔχουσαν, ὑποβαλεῖν· πρῶτον μὲν οὖν φαμεν ὅτι πάντες οἱ ἄρτι λεχθέντες λόγοι οἷοί τε εἶναι ἐδόκουν ἂν ἡμῖν φυλῶν γένεσιν καθόλου καὶ ἰδίᾳ τῆς τῶν βραχμάνων παρ᾽ Ἰνδοῖς ἄριστα διασαφῆσαι, εἰ μή γε οἱ βραχμᾶνες τοῦτ᾽ ἴδιον εἶχον ὅτι πάντας τοὺς λοιποὺς τῆς ἑαυτῶν φυλῆς ἐξέκλεισαν, νῦν δὲ οὐ κατὰ πάντ᾽ ἐπαρκεῖς ἡμῖν δοκοῦσιν οἱ λόγοι. καὶ γὰρ γένη ἱεροφαντῶν καὶ ἄλλους συλλόγους ἱεροὺς ὁρῶμεν καὶ ἀλλαχοῦ εἰς εὐφυΐαν καὶ ἐπίπνοιαν ἀνδρῶν τινων τὴν πρώτην ἀρχὴν ἀνάγοντας, ἀλλ᾽ ἥκιστα τῆς τῶν βραχμάνων ἐξουσίας ἐπιτυχόντας ὥστε καὶ αὐτοὺς τοὺς βασιλεῖς καὶ τοὺς μαχίμους ἄνδρας ἑαυτῶν ὡς ὑποδεεστέρους ἀποκλεῖσαι. Πῶς γὰρ οἱ βασιλεῖς καὶ μάχιμοι πόῤῥωθεν κατὰ σμικρὸν ὁρῶντες αὐξανομένην τὴν ἐς ἄκρον τείνουσαν ἰσχύν τε καὶ ἐξουσίαν τῶν βραχμάνων ὑπέμειναν καὶ οὔτε ἔφθασαν αὐτοὶ τὴν ἑαυτῶν ἰσχὺν ἐπαυξῆσαι, εἰσποιησάμενοι ἅμα καὶ τὴν τῶν βραχμάνων, οὔτε ἐν καιρῷ πρὸς αὐτὴν ἐξανέστησαν, ἀλλ᾽ ὀψέ ποτε καὶ περὶ κτήσεων ἤρισαν, ὁπότε ἡ ἐξουσία ἐκείνων καὶ ὕβρις ἄμαχος ἤδη καθειστήκει; τίνι ποτὲ τρόπῳ τοῖς βραχμᾶσι προὐκεχωρήκει παρὰ πᾶσι τοῖς ἑκασταχοῦ τῆς Ἰνδικῆς βασιλεύουσι τὴν αὐτὴν ἰσχὺν ἔχειν, εἰ καὶ ἔνιοι τούτων τῶν βασιλέων ἐκ παλαιτάτων χρόνων λέγονται καὶ ᾄδονται ὡς πάμπαν ἀλλήλων κεχωρισμένοι; πῶς παρὰ πᾶσαν τὴν πορείαν αὐτῶν καὶ ἐπὶ τῆς Πενταποταμίδος ἤδη διαιρέσεως ἴχνη εἰς φυλὰς ἡμῖν ὑπαντᾷ, ὡς τινος ἐθίμου παρὰ τοῖς Ἀρίοις ἀνέκαθεν ἰσχύοντος; τίς ποτ᾽ αἰτία ἐκίνησε τοὺς βραχμᾶνας ὡς κατὰ παράδοσιν ἱερὰν ἄγαν αὐστηρῶς καὶ ἕως τέλους ἀνενδότως ἐκκλείειν τὰς ἀλλοθρους φυλὰς καὶ μὴ ἀξιοῦν αὐτὰς μηδ᾽ αὐτῆς τῆς οἰκτρᾶς καὶ ἐλεεινῆς τύχης *τῶν Σούδρα*, ὁπότε τοιοῦτος θεσμὸς ἐν *μόνῃ τῇ Ἰνδικῇ* ἰσχύων οὐδὲν ὄφελος τοῖς βραχμᾶσιν ἰδίᾳ, ὡς φυλῇ κεχωρισμένῃ, παρεῖχε; ταῦτα πάντα δηλοῖ μοι ὅτι οἱ βραχμᾶνες αὐτοὶ οἱ πρῶτοι νικηφόροι κυρίως ἦσαν οἱ τοὺς πρώτους νόμους θέμενοι, αὐτοὶ οἱ πᾶσαν τὴν ἐξουσίαν ἐν χειρὶ ἔχοντες ἀνέκαθεν, οἱ πρεσβύτεροι τοῦ λαοῦ, ἐξ ὧν ὑστέρῳ χρόνῳ οἱ βασιλεῖς προῆλθον, ὡς ἡγούμενοι πάντων αὐτοὶ οἱ βραχμᾶνες κῦρός τε ἱερὸν καὶ ἐξουσίαν *κατὰ παράδοσιν* ἔχοντες, ὑστέρῳ χρόνῳ οἷοί τ᾽ ἐγένοντο καὶ αὐτοὺς τοὺς ἐξ ἑαυτῶν προελθόντας βασιλεῖς *μετὰ τῶν μαχίμων* τῆς ἑαυτῶν ἱερᾶς φυλῆς ἀποκλεῖσαι, ὡς τοῖς κοσμικοῖς πράγμασιν ἀναγκαζομένους ἀεὶ μᾶλλον τὸν νοῦν προσέχειν καὶ τοῦ θεωρητικοῦ βίου κατὰ σμικρὸν ἀφισταμένους. τὸ τῶν βραχμάνων ἄρα γένος οὐκ ἐξ ἰδιωτῶν ἐπὶ ποιητικῇ ἐπιπνοίᾳ ὀνομαστῶν γενομένων προελθεῖν δοκεῖ μοι, ἀλλὰ τὴν ἀρχὴν αὐτῶν εἰς ἐκείνους τοὺς βουληφόρους γέροντας καὶ τοὺς ἄρχοντας τοῦ λαοῦ ἀνάγειν.

Ἐκ δὴ οὖν τούτων ἁπάντων ἐπιεικῶς, οἶμαι, συνάγεται

τόδε· ὅτι οἱονδήποτε εἶδος θεοκρατείας οὔ τοι θεσμὸς ἁπλοῦς τυγχάνει ὢν καὶ ἔθος ἐπείσακτον, ἀλλ' ἐκ τῆς φύσεως τοῦ τῶν ἀνθρώπων βίου καὶ τῶν τόπων, ἐκ τοιᾶσδε ἢ τοιᾶσδε γενομένης τῆς ἕξεως τοῦ ἔθνους προερχόμενος νόμος, ἥκιστα εἰς ἔθνη τε καὶ τόπους εἰσοιστέος ἀλλοτριωτάτην αὐτοῦ φύσιν ἔχοντας. ἀλλὰ πάντων τόπων καὶ δήμων ἀλλοτριώτατοι θεοκρατείας ὤφθησαν πάντως οἱ Ἕλληνες κληθέντες καὶ ἡ χώρα αὐτῶν ἡ Ἑλλάς. οὔκουν θαυμαστόν μοι δοκεῖ, εἴπερ οἱ Ἕλληνες καὶ τῆς ἱερᾶς τῶν Ἀσιατῶν σοφίας πολλὰ ἀποδεξάμενοι, μηδὲν μόριον τῆς θεοκρατείας αὐτῶν παρεσπάσαντο. Διὸ ἡ τοῦ σοφοῦ Σελλερίου ἀπαίτησις, καθ' ἣν οἱ Ἕλληνες ἱερὰν σοφίαν ἐξ Ἀσίας παραλαβόντες, ὤφειλον ἅμα καὶ τὴν θεοκρατείαν αὐτῶν παραλαβεῖν, οὔτε μέγα οὔτε σμικρὸν κῦρος φαίνεταί μοι ἔχειν.

Ἀλλ' οὐδὲ τοῦ πολυμαθοῦς Βερνάρδυος τὴν γνώμην ἔχοιμεν ἂν ἡμεῖς ὁλοσχερῶς ἀποδέξασθαι, ὃς ἐν μετεώρῳ τινὶ καὶ μονοκώλῳ λόγῳ ὅλον τὸ πόνημα τοῦ Ῥοιθίου πικρότερον τοῦ προσήκοντος, ὥσπερ καὶ εἴωθεν, εἰς τὸ μηδὲν ἀποῤῥίπτει (ὅρα Ἱστ. τῶν παρ' Ἕλλησι λεκτικῶν τεχνῶν, ὡς ἡμεῖς τὸ πόνημα αὐτοῦ ἀποκαλοῦμεν, ὅπερ οὐ τὸ μόνον ἄριστόν ἐστιν, ἐπεὶ ἔστι δὴ καὶ ἕτερα ἴσου λόγου ἄξια. Μέρ. Α'. σ. 211 τῆς Γ' ἐκδόσ.)· εἰ καὶ περὶ πολλῶν ἔχοι τις ἂν τῷ σοφῷ Ῥοιθίῳ ἀντειπεῖν, ἐν οἷς καὶ τάδε ἐστίν· πρῶτον μὲν γὰρ ὁ Ῥοίθιος οἰομένῳ ἔοικεν ἀρχαιοτάτην μὲν κοιτίδα τοῦ περὶ τὴν Αἴγυπτον πολιτισμοῦ τὰς Θήβας γεγονέναι· τὴν δὲ τῶν Αἰθιόπων παιδείαν πολλῷ πρεσβυτέραν τῆς τῶν Αἰγυπτίων σαφῶς λέγει· τῆς γὰρ πρῴην ἔχεται γνώμης, καθ' ἥν γε ἐλέγετο ὅτι οἱ Αἰθίοπες τὸν Νεῖλον κατὰ σμικρὸν ἐπικαταβάντες, ἤθη τε καὶ ἔθιμα θρησκευτικὰ καὶ τὴν ἄλλην παιδείαν εἰς Αἴγυπτον διέδοσαν· Διὸ καὶ



τὸ τῆς Ἀβυσσινίας ὀροπέδιον πρώτην κοιτίδα ἀποφαίνεται γενέσθαι τῶν Αἰθιόπων καὶ Αἰγυπτίων καὶ Βαβυλωνίων καὶ Φοινίκων. ταῦτα πάντα οὐκ οἶδ' ὅπως ὁ σοφὸς Ῥοίθιος εἶπεν, ὡς ἥσσω τοῦ ἀληθοῦς ὄντα ὑπὸ τῶν ἐπιστημόνων ἤδη ἐμφανῶς ἐλεγχθέντα. Εἶτα δὲ, εἰ καὶ πᾶσαν τὴν παρ' ἄλλοις Ἀσιατικοῖς ἔθνεσι καὶ Ἕλλησι παιδείαν ὡς ἐξ Αἰγύπτου ὁρμηθεῖσαν ἀναβάλλεται ἀποδεῖξαι, τὰ γραπτὰ τῶν Αἰγυπτίων μνημεῖα εἰς ἔλασσον τοῦ ἀληθοῦς μῆκος χρόνου ἀναβιβάζει· δι' ὃ συμβαίνει αὐτῷ ἀντιφάσεσιν ἔστιν ὅτε περιπίπτειν. Καὶ ταῖς εἰς Ἀσίαν δ' ἐπιστρατείαις τοῦ Σεσώστρεως ἤτοι κατὰ τὸν σοφὸν Λέψιον Ῥαμψῆ τοῦ δευτέρου μεῖζον τοῦ προσήκοντος κῦρος ἀποδίδωσιν· (καὶ Δαρεῖον τὸν πρῶτον Ὑστάσπους υἱὸν λέγει τοῦ βασιλέως γενέσθαι τῆς Βακτριανῆς!) καὶ ἐν πολλοῖς ἄλλοις ἔχοι τις ἂν ἀντειπεῖν τούτῳ τῷ πολυμαθεστάτῳ ἀνδρὶ, ἐξ ὧν ἂν καὶ δῆλον γένοιτο ὅτι ἡ μέθοδος αὐτοῦ αὐτὸ τοῦτο ἀρχαιολογικῶς οὐ πάνυ ἰσχυρὰ ἀποβαίνει. πρβλ. τὸν ἡμέτ. λόγ. πρὸς τὴν ἑλλ. νεολ.

Ἀλλὰ καὶ ὁ σοφὸς Λέψιος ἔν τινι ἀξιολόγῳ διατριβῇ περὶ τῶν παρ' Αἰγυπτίοις θεῶν τῶν τεσσάρων στοιχείων » (α) πλάνην τινὰ τοῦ Ῥοιθίου σοφώτατα ἐπανορθοῖ. Ἔδοξε δὲ ἡμῖν πάνυ λυσιτελούντως ἔχειν τὰ κυριώτατα ταύτης τῆς διατριβῆς μετὰ προσθηκῶν τινων ἐνταῦθα παραθέσθαι, ὡς τὴν μὲν περὶ τὰ τοιαῦτα ὑπερβολὴν ἀμωσγέπως κολάζοντα, ἅμα δὲ καὶ τὸ ἀνάπαλιν

---

(α) Ἐν ταῖς διατριβαῖς τῆς ἐν Βερολίνῳ ἀκαδημίας τῶν ἐπιστημῶν τοῦ ἱστορικοῦ τε ἅμα καὶ φιλοσοφικοῦ τμήματος, ἐν ἔτει 1856.

ἱκανῶς ὑποδεικνύοντα ὅτι καὶ Αἰγύπτιοι παρ' Ἑλλήνων μαθήσεις τινὰς παρέλαβον. Ἔτι δὲ ὁ λόγος εἰς μίαν καὶ τὴν αὐτὴν τοῦ ἀνθρωπίνου γένους ἀρχὴν πάνυ χαριέντως ἡμᾶς ἀνάξει, ἣν οἵου περ τούτου τοῦ λόγου παυόμενοι, βουλοίμεθ' ἂν μάλιστα ὑπαινίξασθαι, καθόσον περ καὶ διὰ τῆς παρὰ πᾶσι σχεδὸν τοῖς ἔθνεσιν ὁμοιότητος τῶν κοσμογονικῶν παραδόσεων πρὸς ἀλλήλας εἰς ἓν γένος ἀνθρώπειον ἀναχθέντες, ἔχοιμεν ἂν ἐκ ταύτης πάλιν τῆς δόξης ὁρμώμενοι καὶ ἄλλους τινὰς λόγους παρισθῆναι, οἵπερ ἂν εἰ μή τι ἄλλο, πιθανωτέραν γοῦν τὴν εἰκασίαν περὶ τῆς κατ' ἀρχὴν συγκοινωνίας τῶν ἐθνῶν πρὸς ἄλληλα κατάστήσειαν. Καὶ τοῦτο, οἶμαι, καλὸν ἂν εἴη προοίμιον καὶ τῆς ἐν ὑστέρῳ χρόνῳ ἐπιμιξίας τῶν πρεσβυτάτων τῆς Ἀσίας ἐθνῶν πρὸς ἄλληλα, περὶ ἧς ἐν τῷ παρόντι οὔπω ἱκαναὶ ἀποδείξεις ὑπὸ τῶν ἀρχαιολόγων προφέρονται, οὐδ' ἱκανῶς ἐναργεῖς, εἰ καὶ πολλὴ καὶ καλὴ ἐλπὶς ἐν τῷ μέλλοντι καὶ περὶ τούτου ὑπάρχει. Ἀλλὰ πρὶν τὰ τοῦ σοφοῦ Λεψίου ἐκθέσθαι, προὔργου ἡμῖν δοκεῖ εἶναι τοῖς ἐφεξῆς λόγοις αὐτὰ προσιμιάσασθαι.

Λόγοι μὲν γὰρ περὶ τῆς κατ' ἀρχὴν ἑνότητος τοῦ ἀνθρωπίνου γένους, πλὴν τῶν τῆς παλαιᾶς Γραφῆς, ὡς θεῖον τὸ κῦρος ἐχόντων, τῶν ζωολογικῶν καὶ φυσιολογικῶν καὶ ψυχολογικῶν καὶ τῶν τοιούτων, εἰσὶ καὶ οἷοι οἱ ἐφεξῆς, οὓς ἄν τις οὐκ ἀπεικότως ἱστορικοὺς ἀποκαλέσειε· πρῶτον μὲν ὅτι ἀμφοῖν τῶν μεγάλων γενῶν τῆς Καυκασιακῆς λεγομένης φυλῆς, τοῦ τε Σημιτικοῦ καὶ τοῦ Ἰνδοευρωπαϊκοῦ αἱ χρόνῳ πρεσβύταται ἀναμνήσεις καὶ δὴ καὶ αἱ ἀρχαὶ αὐτῶν εἰς τὰ πρὸς ἕω τετραμμένα μέρη τοῦ Ἰρανίου ὑψιπέδου, καθολικώτατα λαμβανομένου, προσαναβαίνουσιν. οὕτω πως ἀποφαίνονται οἱ ἐλλογιμώτατοι τῶν ἀρχαιολόγων ἅμα καὶ γλωσσοδιφῶν. — Εἶτα ὁ λόγος ὁ ὁσημέραι κῦρος μεῖζον λαμβάνων περὶ τῆς κατ' ἀρχὴν πάντων ὁμοίως τῶν φωνητικῶν τοῦ ἀνθρωπίνου γένους γενῶν ἑνότητος, τοῦ Ἰνδοευρωπαϊκοῦ, Σημιτικοῦ, Τουρανικοῦ καὶ λοιπῶν, εἰ καὶ πρὸς τοῦτο ἔξοχοι γλωσσολόγοι ἀντεῖπον, ἐν οἷς ὁ Πόττιος, ὁ Ῥενὰν καὶ ἄλλοι. — Τρίτος δὲ λόγος ὅτι καὶ οἱ Αἰγύπτιοι, παλαίτατοι πάντων ὧν ἱστορίᾳ ἴσμεν ἀνθρώπων ὑμνούμενοι, Καυκασίας φυλῆς γεγονότες ἦσαν καὶ ἐξ Ἀσίας, ἐκ τοῦ Ἰρανίου καὶ οὗτοι ὑψιπέδου εἰς Αἴγυπτον ἐλθόντες, καθάπερ ἀνατομὴ νεκρῶν ταριχευτῶν καὶ ἡ συγκριτικὴ ἔρευνα τῆς γλώσσης αὐτῶν πρὸς τὸ φωνητικὸν γένος τῶν Ἰνδογερμανῶν καὶ Σημιτῶν ἀναμφιλέκτως μαρτυρεῖ, ὡς οἱ τὰ πρῶτα φέροντες Αἰγυπτιολόγοι διαβεβαιοῦνται. καὶ οἱ Σῖναι ἐκ τῶν αὐτῶν περίπου τόπων ὁρμηθέντες, τὴν ὕστερον Σινικὴν κληθεῖσαν χώραν κατὰ σμικρὸν ἐπέλαβον. καὶ τὰ πρὸς ἑσπέραν ἔθνη τὰ παλαιγενέστατα τῆς Ἰνδοευρωπαϊκῆς φυλῆς, οἱ Κέλται πρωϊαίτατα ἁπάντων ἀποσχισθέντες τῶν ἄλλων Ἰνδοευρωπαίων ἀπὸ τοῦ Ἰρανίου ὑψιπέδου. τούτοις δὲ ἠκολούθησαν τῷ χρόνῳ οἱ Πελασγοί, εἰς Ἕλληνάς τε καὶ Λατίνους ὕστερον χωρισθέντες, εἶτα τὸ Γερμανο-Σλαβικὸν φῦλον εἰς Γερμανοὺς καὶ Προσσο-Λεττο-Σλάβους τῷ χρόνῳ διακριθέν. — τέταρτος δὲ λόγος ἐστὶ παλαιογραφικός, ὁ περὶ τῆς ἀλφαβητικῆς γραφῆς· Καρχηδόνιοι μὲν γὰρ καὶ Πελασγοὶ παρὰ Παλαιστίνων τὴν γραφὴν παρέλαβον ἢ ἐκ Παλαιστίνης εἰς τὴν σφετέραν ἑκάτεροι μεθ' ἑαυτῶν ἐκομίσαντο. ἀλλ' οὔτε Ἑβραῖοι οἰκειοῦνται τὴν τῆς γραφῆς εὕρεσιν ὡς ἰδίαν ἑαυτῶν οὔτε Φοίνικες· πολλῷ δὲ μᾶλλον ἡ παρὰ Φοίνιξιν ἐγχώριος παράδοσις διαῤῥήδην τὸ τῆς ἀλφαβητικῆς γραφῆς εἰς τὸν Αἰγύπτιον Ταάυτ ἀναφέρει, καὶ αὐτοὶ δὲ οἱ Αἰγύπτιοι ὡσαύτως τῷ Θὼθ αὐτὴν ἀναγράφοντες, ἀλλ' οὗτος αὖ ὁ Θὼθ ἐν τοῖς ἱεροῖς τῶν Αἰγυπτίων ᾄσμασιν, ὡς ἐξ Ἀσσοὺρ ἔπηλυς ἐλθὼν ᾄδεται καὶ αὖθις ὡς τοῦ «Ἀσσοὺρ ὁ ἔκλαμπρος υἱός.» ὥστε κατά γε

τοῦτον τὸν λόγον εἴη ἂν καὶ τῆς ἀλφαβητικῆς γραφῆς ἡ ἀρχὴ εἰς Ἀσσοὺρ ἐπανοιστέα καί, καθάπερ πολλοὶ ἄνδρες σοφοὶ εἰκάζουσιν, εἰς αὐτὴν τὴν Βαβυλῶνα, ἢ μᾶλλον εἰς ἄλλας χώρας ὑπεραλίους πάμπαν ἀγνώστους, ἐξ ὧν ἔθνος ναυτικὸν (οὐδὲν ἄλλο ἀρχαιολογικῶς ὑπολείπεσθαί μοι δοκεῖ ἢ αὐτὸ τὸ τῶν Φοινίκων, οἳ δὴ καὶ ἐπὶ δὶς δισσῶν ὁμωνύμων νήσων, Τύρου καὶ Ἀράδου ἐγγύς τε τῆς εἰσόδου καὶ πρὸς τὰ μυχαίτερα τοῦ Περσικοῦ κόλπου κειμένων οἰκοῦντες, ἐναυτίλλοντο τὸ παλαιόν, ἔνθεν ὑπερβάντες τῆς Συρίας ᾤκησαν τὰ παρὰ θάλασσαν, ἔπιθι Κ. Ῥιττερίου ἱς. τ. Γεωγρφ. σ. 16 κ.φ.ξ.) ὁ Ὠάννης εἰς Βαβυλωνίους ἄλλην τε παιδείαν καὶ τὴν γραφὴν ἐκόμισε. Καὶ αὐτὸς δὲ ὁ Βούττκιος οὐκ ἄντικρυς πρὸς ταῦτα ἀντιλέγει, εἰ καὶ μηδεμίαν σχέσιν δέχεται τῆς παρὰ Φοίνιξιν ἀλφαβητικῆς γραφῆς μηδὲ πρὸς οἵαν περ τὴν τῶν Αἰγυπτίων ἱερογλυφικὴν τῷ Σεϋφφαρθίῳ ἀμηγέπῃ ὁμολογῶν, ἀποφαίνεται, ἥκιστα μὲν συμβολικὴν ἀλλ' ἁπλῶς φωνητικήν, ἀρχῆθεν συλλαβικὴν οὖσαν (ὅρα μέντοι τὰς πάλαι Περσικὰς σφηνοειδεῖς ἢ κωνοειδεῖς ἐπιγραφὰς ὑπὸ Σπιεγελίου τοῦ σοφοῦ, σ. 433.), μηδὲ τὴν τῶν στοιχείων ὀνομασίαν, ὡς παρὰ Βαβυλωνίοις γενομένην (Βαβυλώνιοι γὰρ τὸν ταῦρον οὐκ ἀλὲφ ἀλλὰ ταυρ ἐκάλουν) ἀλλὰ Σημίτας φησίν, Ἑβραίους ἢ Φοίνικας, τὰ ὀνόματα θέσθαι τῶν ϛοιχείων, οἵπερ ἁπλοϊκὸν βίον διῆγον, κτηνοτροφίαν τε καὶ ἁλιείαν μετερχόμενοι. τὴν γὰρ τῶν στοιχείων εὕρεσιν διαῤῥήδην ὁ σοφὸς ἀνὴρ τῆς ὀνομασίας αὐτῶν χωρίζει. ἴσως δὲ εἰς τὴν σφηνογραφίαν τὴν πρώτην ἀρχὴν τῆς ἀλφαβητικῆς γραφῆς ἀναρτῆσαι βούλεται· ἐπεὶ καὶ τοῦ παλαιτάτου φοινικικοῦ ἀλφαβήτου, πρὸς ὃ πάντα συγγενῆ ἐστι τὰ ἀλφάβητα τῶν ἐθνῶν τῶν περὶ τὴν μεσόγειον θάλασσαν οἰκούντων, ἡ πρώτη καὶ κυρία βάσις οὐκ εἰκονική ἐστιν, ὡς ἐκ τῆς ἱερογλυφικῆς προελθοῦσα κατὰ τὴν γνώμην τῶν πρῴην τε καὶ χθὲς σοφῶν (πλὴν τῶν παλαιτέρων ἄλλων τε καὶ τοῦ κλεινοῦ Εἰχχορνίου, ὅρα ἱς. τῶν γραμμ. Τ. Α. σ. 14. καὶ πρὸς ταῦτα



γραμμάτων στοιχεῖα καλούμενα, ὡς ἂν ἐπιτήδεια γενέσθαι καὶ εὔχρηστα πρὸς τὴν τότ' ἐν χρήσει οὖσαν ὕλην τὴν γραφικήν, λίθους τε καὶ μέταλλα ἢ ξύλα καὶ τὰ παραπλήσια. (ἔπιθι τὴν καλλίστην διατριβὴν τοῦ σοφοῦ Βουττκίου ἐν τῷ ΙΛΨ τόμ. τῆς DMG. σ. 75. κ.φ.ξ.) Καὶ ὁ σοφὸς Οὐεβέριος ἐν ἄλλῃ διατριβῇ ἀξιολογωτάτῃ καὶ τῆς Ἰνδικῆς γραφῆς Δεβανάγαρὶ καλουμένης τὴν ἀρχὴν εἰς Σημίτας ὡσαύτως ἀνάγει καὶ ὀνομαστὶ εἰς Βαβυλωνίους καὶ οὗτος, ἀφ' ὧν εἰκάζει εἰς Ἀρίους ἐν Πενταποταμίδι ἤδη οἰκοῦντας αὐτὴν κομισθῆναι, ἀμφοτέρων τῶν φύλων ναυτιλίαις μακραῖς πρὸς ἀλλήλους πάντως κεχρημένων, ἀπὸ τῆς χώρας τῶν Ἀβχίρα ἤτοι τῆς πολυχρύσου Ὠφεὶρ τῆς περὶ τὰς προχοὰς τοῦ Ἰνδοῦ παρὰ πᾶν τὸ μῆκος τοῦ Περσικοῦ κόλπου μέχρι τῶν ἐκβολῶν τοῦ Εὐφράτου ποταμοῦ. (Ἰνδ. σκιαγραφημ. σ. 127, κ.φ.ξ.) Ὥστε καὶ οὗτος ὁ λόγος ὁ περὶ τῆς ἀλφαβητικῆς γραφῆς εἰς ἑνότητα τοῦ ἀνθρωπίνου γένους ἀνάγει. Πάντες δὲ οἱ μέχρι τοῦδε λεχθέντες λόγοι καὶ ἄλλοι πολλοὶ καὶ καλοὶ ἐκ τῆς καθ' ὕλην τε καὶ εἶδος τῶν γλωσσῶν παραβολῆς πρὸς ἀλλήλας καὶ ἐκ τῆς παλαιογραφίας προεληλύθασιν.—Πέμπτος δὲ λόγος ἐστὶν ὁ περὶ τῆς ὁμοιότητος καὶ κατ' ἀρχὴν ταὐτότητος τῶν παλαιτάτων παραδόσεων παρὰ πᾶσι σχεδὸν τοῖς ἔθνεσιν· καὶ γὰρ παρὰ τοῖς πλείστοις τῶν ἐθνῶν ἡ μυθολογία καὶ αἱ κοσμογονίαι σχεδὸν ἁπάντων οὐ τὴν τυχοῦσαν ὁμοιότητα πρὸς ἀλλήλας ὑποδηλοῦσιν· ἔτι δὲ λατρεῖαί τινες, ἡ τῶν νεκρῶν (Οὐελκ. τ. Α. σ. 794. κ.φ.ξ.), ἡ τῶν δένδρων (ὅρα τινὰ καὶ παρὰ τῷ Οὐμβόλδ. ἐν Β. τόμ. σ. 99 τοῦ κόσμου.) κοιναὶ πολλοῖς καὶ παντοίοις ἔθνεσι φαίνονται· καὶ ἡ περὶ κατακλυσμοῦ δὲ παράδοσις παρὰ πᾶσιν ὁμοίως τοῖς ἀνατολικοῖς ἔθνεσι διασέσωσται, παρ' Ἑβραίοις, Βαβυλωνίοις, Σίναις καὶ λοιποῖς, καὶ ἡ περὶ τῶν τεσσάρων τοῦ ἀνθρωπίνου γένους αἰώνων τοῦ παρ' Ἕλλησι χρυσοῦ, ἀργυροῦ καὶ λοιπῶν καὶ τῶν παρ' ἄλλοις ἀντιστοίχων, καὶ ἡ περὶ τῶν δέκα πρώτων πατριαρχῶν ὡσαύτως (Λάσσ. Ἰνδ. ἀρχ. τ. Α. σ. 529.

πρβλ. Σπιεγελίου ἔνθ. ἀ. σ. 133.) ἀλλ' ὡς ἔπος εἰπεῖν, γ ρ α μ μ ι κ ὴ ἤτοι χαράγματα εὐθύγραμμα προςφυῶς παρ' Ἕλλησι καὶ ἄλλοι.) ἔτι δὲ πανταχοῦ τῆς Ἀνατολῆς ἡ τοῦ χρόνου διαίρεσις ἡ αὐτὴ ὑπάρχει. (Μνημονευτέον μέντοι ὅτι οἱ Αἰγύπτιοι κατὰ πάντα ταῦτα, πλὴν εἰ τὴν κοσμογονίαν ἐξέλοις, πάντων τῶν λοιπῶν ἐθνῶν παραλλάσσοντές εἰσι.—Λεψ. χρον. σ 23.). — Ἦν δὲ πρότερον καὶ ἄλλος λόγος εὐδοκιμῶν περὶ τῆς κατ' ἀρχὴν ἑνότητος τῶν Ἰνδογερμανῶν, ὃν ὁ περιώνυμος Ἰάκωβος ὁ Γρίμμιος εἰς μέσον ἤνεγκεν· ἔλεγε δὲ ὡς ἄρα οἱ Αἰσώπειοι μῦθοι ἢ οἱ περὶ τὰ ζῷα ἀπόλογοι κτῆμα ἐκ παλαιτάτων αἰώνων παρὰ τοῖς Ἰνδογερμανοῖς ὑπῆρχον, καὶ ὅτι τοῦτο ἀναμφιλόγως μαρτυρεῖ ἡ ὁμοιότης τῶν παρὰ Γερμανοῖς, Ἕλλησί τε καὶ Ἰνδοῖς ἰθαγενῶν μύθων, ἣν πρὸς ἀλλήλους ὁρῶμεν ὑπάρχουσαν. ἀλλ' οὗτος ὁ λόγος οὐκέτι ὁμοίως ἰσχύει, ἐξ ὅτου ὁ σοφὸς Οὐεβέριος ἔν τινι παγκάλῃ διατριβῇ αὐτὸν ἀνεσκεύασεν, ἄλλας αἰτίας τῆς ὁμοιότητος ἐκείνων αἰτιώμενος εἰς πολλῷ μεταγενεστέρους αἰῶνας ἱκνουμένας, τοῦτο μὲν αὐτὴν ἤδη τὴν μετανάστασιν τῶν Γερμανικῶν φύλων καὶ καθόλου εἰπεῖν, τὴν τῶν Γερμανῶν ἐπιμιξίαν πρὸς τὴν Βυζαντινὴν ἐπικράτειαν, τοῦτο δὲ καὶ ἄμεσον γνῶσιν αὐτῶν τῶν Αἰσωπείων μύθων διὰ τῶν εὐμούσων κληρικῶν. τὰς δὲ σπανιωτέρας οὔσας ὁμοιότητας τῶν παρὰ Γερμανοῖς μύθων πρὸς τοὺς Ἰνδικούς, ὅσαι οὐδ' ἐν αὐτοῖς τοῖς Ἑλληνικοῖς ἡμῖν ὑπαντῶσι, τὰς μὲν αὐτῶν εἰς ἐπικοινωνίαν πρὸς τοὺς Ἄραβας κατὰ τὴν Ἱσπανίαν ἀποδίδωσι, τὰς δὲ ἀμέσως εἰς μεταφράσεις τοῦ Βίδπαϋ, τὰς δὲ λοιπὰς εἰς τὰς σταυροφορίας. ἀλλὰ καὶ τὰς πρεσβείας Καρόλου τοῦ Μεγάλου καὶ τοῦ φιλομούσου Χάρουν αλ Ῥασίδ, ἃς ἀπέστειλαν πρὸς ἀλλήλους οὐ πάμπαν ἀναιτίους τῆς ὑποκειμένης ὁμοιότητος ἀποφαίνεται (α). καὶ ἄλλον δ' ἄνδρα Οὐεγενέριον

(α) Εἰρήσθω δέ μοι ὡς ἐν παρόδῳ καὶ τόδε, ὅτι ὁ σοφὸς Οὐεβέριος ὡς τρόπον τινὰ ἀλλοτρίαν τῶν παρὰ Γερμανοῖς γνησίων μύθων ἐλέγχει τὴν σκῶψιν τῆς περὶ τὰ θεῖα προςποιήσεως τῶν



ὀνόματι ἐν τῇ αὐτῇ πραγματείᾳ καὶ μάλιστ' ἐπανορθῶν τὴν πρώτην ἀρχὴν τῶν παρ' Ἕλλησί τε καὶ Ἰνδοῖς παραλλήλων μύθων εἰς τοὺς Ἰνδοὺς ἀποδιδόντα, ἀπέδειξε κριτικῇ τέχνῃ ἐναργεστάτῃ χρώμενος πᾶν τοὐναντίον ὅτι οἱ Ἰνδοὶ ἐξ Ἑλλήνων αὐτοὺς παρέλαβον, διὰ τῶν Βυδδιστῶν. οἱ γὰρ Βυδδισταὶ

μοναχῶν, ἣν περ ἄλλοθέν ποθεν εἰκάζει προελθοῦσαν εἴτε ἐξ Ἰνδῶν, παρ' οἷς περισπασμοὶ καὶ παρακμὴ τοῦ θρησκευτικοῦ βίου τὴν μέμψιν τῶν ἱερέων ἐν ἔθει κατέστησαν, εἴτε ἐκ τῶν Βυζαντίων διὰ τὰς αὐτὰς αἰτίας, τῶν δὲ εὐσεβῶν καὶ θρήσκων λαϊκῶν καὶ ἱερέων κατὰ τὴν ἑσπερίαν Εὐρώπην καὶ κατ' ἐξοχὴν ἐπὶ τῶν πρώτων σταυροφοριῶν ὅλως ἀλλότριον ἀποφαίνεται τὸ κίβδηλον καὶ ἐπίκλοπον ἦθος τὸ ἐν τοῖς μύθοις καταγελώμενον. Ταῦτα μὲν οὖν δοκεῖ ἡμῖν πρὸς τὴν ἱστορίαν ἀμηγέπῃ μαχόμενα· ἔτι δὲ πρὸς τούτοις πολλοὶ εἰώθασι τοῖς ἐπὶ τῶν μέσων αἰώνων ἔθνεσι τοῖς ἑσπερίοις τυφλὴν ὑπακοὴν πρὸς τοὺς κοσμικοὺς καὶ ἱερατικοὺς δεσπότας καὶ πτόησιν θρησκευτικὴν ἀποδιδόναι ἄκρατον. οὐκ ὀρθῶς μέντοι οὐδὲ τοῦτο, ὡς μαρτυροῦσιν οἵτε πρὸς τοὺς μεσημβρινοὺς τῆς Γαλλίας τόπους ἀκμάσαντες ἱ π π ο τ ι κ ο ὶ ἀοιδοὶ (Troupadours) καὶ οἱ πρὸς τὰ βορεινὰ μέρη αὐτῆς ε ὑ ρ ε σ ι ε π ε ῖ ς (Trouvères) δακεθύμως πάνυ τὴν ἐν Ῥώμῃ ἱεραρχικὴν αὐλὴν καὶ τὰς πονηρὰς ἕξεις τοῦ ἱερατείου ἐν γένει ἐπιψέγοντες καὶ αὐτὸς ὁ Δάντης τοὺς Πάππας ἀνδρειότατα καταμαστίζων καὶ ὁ λαλίστατος Βοκκάκιος τὴν ψευδῆ ἁγιότητα ἅμα καὶ ἀκολασίαν διὰ γέλωτος χλευάζων, ὃς ἐπὶ τέλους ἀπὸ τῶν ἱερῶν ὀνύχων τῶν πικρανθέντων μοναχῶν δεξιώτατα σώζεται, καὶ αὐτὸς σχῆμα μοναχικὸν ἀναλαβών. ὑπῆρχον ἄρα κακίαι καὶ ψεκτικοὶ ἄνδρες τῶν κακιῶν τῆς ἱεροκρατείας παρά τε ἄλλοις ἔθνεσιν ἑσπερίοις καὶ παρὰ Γερμανοῖς (διὰ τὴν πάλην τῆς κοσμικῆς ἀρχῆς πρὸς τὴν ἀρχιερατικὴν) πιθανώτατα καὶ ἐπὶ τῶν μέσων αἰώνων καὶ ἐπ' αὐτῆς τῆς ἀκμῆς τῶν σταυροφοριῶν καὶ πρότερον καὶ ὕστερον αὐτῶν.

τὴν διάδοσιν τῆς ἑαυτῶν διδασκαλίας ἐπιζητοῦντες ἐπεκοινώνησαν καὶ τοῖς Ἕλλησι, Γαβανα, τοῖς βασιλεύουσιν ἐν Πεταποταμίδι τῆς Ἰνδικῆς μέχρι τῆς Γηζεράτης καὶ ῥητῶς τῷ Μιλίνδᾳ ἤτοι τῷ Μενάνδρῳ καὶ παρὰ τῶν Ἑλλήνων ἄλλα τε παρέλαβον (ἀστρονομικὰς μαθήσεις, Οὐεβ. Ἰνδ. γραμματολ. σ. 224 κ.φ.ξ., τὴν δραματοποιΐαν) καὶ τοὺς Αἰσωπικοὺς μύθους, οἳ διςσῶς αὐτοῖς χρήσιμοι ἔδοξαν εἶναι ἐν τῷ βίῳ καὶ ὡς συνᾴδοντές πως τῇ περὶ μετεμψυχώσεως δόξῃ αὐτῶν, ἧς πολλῷ μᾶλλον τῶν Βραχμάνων λόγον πρακτικὸν ἐποιοῦντο καὶ ὡς εἰς ἠθοποιΐαν χρησιμεύοντες, ἧς μάλιστ' ἐκείνοις ἔμελε. ταῦτα δὲ λέγων σχολῇ γε τοιόνδε τι βούλεται ὁ σοφὸς ἀνὴρ ἰσχυρίσασθαι, τὴν πρώτην ἀρχὴν τῶν τοιούτων μύθων ἐξ Ἑλλήνων τοὺς Ἰνδοὺς παρειληφέναι, ὁπότε παρ' Ἰνδοῖς μύθων ἐγχωρίων τεκμήρια ὑπάρχει, ἀλλ' ὅτι τοιαύτης μυθοποιΐας ἴχνη ἐν παροιμίαις ἤδη ἑλληνικαῖς εὑρισκόμενα πρὶν Ἀλεξάνδρου τοῦ μεγάλου, ἔτι δὲ τὸ ἁπλοῦν, συνακόλουθον καὶ φυσικὸν ἦθος τῶν παρ' Ἕλλησι μύθων καὶ τῶν ἐν αὐτοῖς ζῴων ἡ γνησία παρ' Ἕλλησιν ἠθοποιΐα πολλῷ μᾶλλον περὶ τῶν Ἰνδῶν μαρτυροῦσιν ὅτι τούς γε παραλλήλους ἐξ Ἑλλήνων παρέλαβον ἐπὶ τὸ φορτικώτερον καὶ σκαιότερον αὐτῶν ἐνίους μετασκευάσαντες ἢ οἱ Ἕλληνες παρὰ τῶν Ἰνδῶν. οὔκουν εἰς τοὺς Ἕλληνας αὐτὴν τὴν εὕρεσιν τῶν Αἰσωπείων μύθων ἀνατίθησιν· οὐδὲ γὰρ αὐτοὶ οἱ Ἕλληνες αὐτὴν ἰδιοποιοῦντο. ὑπολείπονται τοίνυν τῆς τιμῆς ταύτης ἀντιποιούμενοι οἱ Σημῖται καὶ οἱ Αἰγύπτιοι· καὶ ἴχνη αὐτῶν παρὰ τοῖς Σημίταις ἤτοι παρὰ τῇ παλαιᾷ Γραφῇ ἱκανὰ εἰς μέσον φέρει. ἀλλ' οὐδὲν ἧσσον καὶ οἱ Αἰγύπτιοι αὖ ἔχουσι τὴν αἰτίαν τῆς εὑρέσεως μύθων Αἰσωπείων. Τελευτῶν δὲ ὁ σοφὸς ἀνὴρ ἀποφαίνεται ὅτι παρ' ἑκάστοις ἔθνεσιν ἰδίᾳ ἔοικεν ἡ ἀρχὴ τῶν τοιούτων μύθων γεγονέναι, ὡς αὐτῆς τῆς φύσεως τοῦ πράγματος τῇ αἰσθήσει καὶ διανοίᾳ τοῦ ἀνθρώπου ἐν γένει ὑποκειμένης («περὶ τῆς σχέσεως τῶν παρ' Ἰνδοῖς ἀπολόγων πρὸς τοὺς ἑλληνικούς.» σ. 1—50).



Ὁμολογητέον μέντοι ὅτι καὶ τοιαύτης ἀποβάσης τῆς ζητήσεως, ὁ τῶν ζῴων ἀπόλογος συνάφειαν ἔκπαλαι καὶ συγγένειαν τῶν ἀνθρώπων πρὸς ἀλλήλους ἱκανῶς ὑπεμφαίνει, καθ' ὅσον καὶ ἔνιοι τῶν μύθων εἰς παμπαλαίας μεταφορὰς καὶ μυθολογικὰ σύμβολα καὶ δόγματα τὴν ἀρχὴν ἐμφανῶς ἀναβιβάζουσιν. (πρβλ σ. 5—6 καὶ τὸ σχόλιον (*) τῆς 37 σ. τῆς διατριβῆς πρὸς τὸ μυθολογικὸν σύστημα τοῦ ἐν τοῖς ἔμπροσθεν μνημονευθέντος Μέλανος.).

Λόγοι δὲ περὶ τῆς ὕστερον ἐπιμιξίας τῶν παλαιγενῶν ἐθνῶν πρὸς ἄλληλα τοιοῦτοί τινές εἰσιν· ἡ τῶν Ὑκσῶς (ποιμένων βασιλέων) ἀπὸ τῆς Αἰγύπτου ἀπέλασις καὶ διασπορά· ἡ ἔξοδος τῶν Ἰσραηλιτῶν· αἱ τοῦ Σεσώστρεως ἐπιστρατεῖαι· οἱ ἐσχάτως τῶν Ἰρανίων χωρισθέντες Ἄριοι οἱ τὴν Ἰνδικὴν κατὰ σμικρὸν ἐπιλαβόντες· αἱ τῆς Σεμιράμιδος καὶ τῶν Περσῶν εἰς τὴν Ἰνδικὴν ἐπιστρατεῖαι· αἱ τῶν Φοινίκων καὶ Ἑβραίων ναυτιλίαι εἰς τὴν χώραν τοῦ χρυσοῦ Ὠφεὶρ κατὰ τὰς προχοὰς τοῦ Ἰνδοῦ κειμένην (ὥςπερ νῦν καὶ ὁ μέγας Γεωγράφος Ῥιττέριος ἔν τινι παγκάλῳ πονήματι δέχεται, εἰ καὶ πρότερον ὑπενδοιάζων ἐφάνη.). ἀπὸ γὰρ ταύτης τῆς χώρας τοῦ Ὠφεὶρ (Αβχῖρα κατὰ τὸν Λάσσενα) διςσῶς ἡ ἐπιμιξία πρὸς τὰς χώρας τὰς δυσμικὰς ἐγίγνετο, ἔνθεν μὲν παρὰ τὸν Περσικὸν κόλπον πρὸς τὰ βασίλεια τῆς Μεσοποταμίας, ὥςπερ προείρηται, ἔνθεν δὲ διὰ τῆς ἐρυθρᾶς (νῦν Ἀραβικῆς) θαλάσσης καὶ τοῦ Ἀραβίου κόλπου πρὸς Ἄραβας, Αἰθίοπας, Αἰγυπτίους, Φοινικάς τε καὶ Ἑβραίους. καὶ γὰρ οὐδ' αὐτοὶ οἱ Ἰνδοὶ ἄπειροι θαλάσσης ἐοίκασι γεγονέναι κατ' αὐτὰς τὰς μαρτυρίας τοῦ Ῥιγβεδα, ἔνθα ὑπὸ τὸ ὄνομα Σ α μ ΰ δ ρ α θαλάσσης ἐξ ἅπαντος μνεία γίγνεται καὶ ναυτιλίας καὶ σωτηρίας ἀπὸ ναυαγίων τε καὶ ἄλλων κινδύνων θαλασσίων. πάντα γὰρ ταῦτα ὡς ἁπλᾶς ἀλληγορίας ἐθέλειν ἑρμηνεύειν καὶ τὸ ὄνομα Σαμῦδρα ὡς μόνον τὸν οὐράνιον ὠκεανὸν σημαῖνον, οὐκ ἐπαινεῖ ὁ σοφὸς Οὐεβέριος. — καὶ ἄλλα δὲ πολλὰ ἐπιμιξίας πέρι τῶν πάλαι ἐθνῶν πρὸς ἄλ-

λην εὑρήσεις ἄλλοθι πολλαχόθι καὶ παρὰ Λεψίῳ (ἐν τῇ χρονολ. τ. Αἰγ. σ. 14—20 κ.φ.ξ.) Ριττερίῳ, Ὕρενι, Λαυρεντίῳ καὶ ἄλλοις πολλοῖς. παράβαλε δὲ καὶ τὸν ἡμέτερον λόγον (πρὸς τὴν ἑλλ. νεολ.), ἐν ᾧ καὶ παραδείγματα πολλαχόθεν συνηγμένα φέρεται, ταὐτότητα ὀνομάτων τιμαλφῶν τινων προϊόντων παρ' ἔθνεσι διαφόροις ἀλλήλων τὸ γένος μαρτυροῦντα.

Καὶ ταῦτα μὲν δὴ τοσαῦτα ἐπὶ τοῦ παρόντος, ἐκ συγγραμμάτων ἐλλογιμωτάτων τὸ κῦρος ἔχοντα, ὧν πολλὰ συντομίας χάριν σιγῇ παρήλθομεν. ἐπανιτέον δὲ νῦν εἰς τὸν περὶ τῶν τεσσάρων στοιχείων λόγον τοῦ περιπύστου Λεψίου, ὃς χαριέντως ἡμᾶς αὖθις ἀναβιβάσει εἰς τὴν ἀρχῆθεν συγγένειαν τῶν ἐθνῶν πρὸς ἄλληλα.

Ἔστι δὲ τοῦ σοφοῦ ἀνδρὸς ὁ λόγος συντετμημένος τε ἅμα καὶ ἀλλοθέν ποθεν ἡμῖν ἐπηυξημένος τοιόσδε· ὕδωρ, πῦρ, γῆ καὶ ἀὴρ, τὰ τέσσαρα πολυθρύλλητα στοιχεῖα, ἅπερ ἐπὶ τῶν παλαιτάτων παρ' Ἕλλησι φιλοσοφημάτων καὶ μέχρι τῆς παρελθούσης ἑκατονταετηρίδος οὐ τὸ τυχὸν κῦρος ἔσχεν, εὑρίσκομεν αὖθις καὶ πλειστάχοῦ τῶν Αἰγυπτιακῶν μνημείων. Ζωγραφεῖται δὲ ὡς ἰδία χορεία θεῶν ὀκτὼ τὸν ἀριθμὸν κατὰ ζεύγη ἄρσενος καὶ θήλεος· ἑκάστῳ γὰρ τῶν τεσσάρων θεῶν ὁμώνυμος θεὰ ἕπεται. παρίστανται δὲ οἱ ὀκτὼ θεοὶ ὁτὲ μὲν ἐπὶ θρόνου καθήμενοι, ὁτὲ δὲ ὁδεύοντες· κεφαλὴν δὲ φέρουσιν ἢ ἀνθρωπικὴν ἢ βατράχου μὲν οἱ ἄρσενες θεοὶ, αἱ δὲ θήλειαι θεαὶ ὄφεως· βάτραχος γὰρ καὶ ὄφις σύμβολα αὐτοφυοῦς ζωϊκῆς γενέσεως ἦν (α)· τῷ μὲν οὖν ζεύγει τῶν θεῶν, οἳ τὸ ὕδωρ παριστᾶσι, Νοὺν (α) ὄνομα τῷ ἄρσενι ἀπεδίδοσαν, τῇ δὲ θηλείᾳ Νοὺντ (τὸ γὰρ τ δηλωτικόν ἐστι τοῦ γένους τοῦ θηλυκοῦ·)· τῷ δὲ ζεύγει τοῦ πρωτογόνου πυρὸς Χεχ μὲν τῷ ἄρσενι, Χεχτ δὲ τῇ θηλείᾳ· τῷ δὲ ζεύγει τῆς γῆς Κὲκ μὲν τῷ ἄρσενι, Κεκτ δὲ τῷ θήλει, ἀντιστοιχοῦν τῷ Κοπτικῷ Κακε, ὅπερ δηλοῖ ζόφον, σκότον. τῷ δὲ τοῦ ἀέρος Νὶ τῷ ἀρσενικῷ καὶ Νὶτ τῷ θηλυκῷ.

Τούτων δὴ τῶν ὀκτὼ θεῶν τῶν τεσσάρων στοιχείων προεδρεύουσιν, ἐπί τινων στοίχων θεοί τινες ὡς ἡγεμόνες αὐτῶν· οὕτω φέρ' εἰπεῖν ἐν τῷ πρώτῳ στοίχῳ (τῶν ὑπὸ τοῦ σοφοῦ Λεψίου ἐν ταύτῃ τῇ παγκάλῃ διατριβῇ ἑρμηνευομένων) ὁ θεὸς τοῦ ἡλίου Ῥᾶ καλούμε-

(α) Ὁ Ὡραπόλλων τὸν μὲν βάτραχον οὑτωσὶ ἑρμηνεύει (ἱερογλυφικῶν βιβλ. Α. κε΄.)· «Ἄπλαστον δὲ ἄνθρωπον γράφοντες βάτραχον ζωγραφοῦσιν, ἐπειδὴ ἡ τούτου γένεσις ἐκ τῆς τοῦ ποταμοῦ ἰλύος ἀποτελεῖται. ὅθεν καὶ ἔσθ' ὅτε ὁρᾶται τῷ μὲν ἑτέρῳ μέρει αὐτοῦ, βατράχῳ, τῷ δὲ λοιπῷ, γεώδει τινὶ ἐμφερὴς, ὡς καὶ ἐκλείποντι τῷ ποταμῷ, συνεκλείπειν.» τὸν δὲ ὄφιν οὑτωσὶ «κόσμον βουλόμενοι γράψαι, ὄφιν ζωγραφοῦσι τὴν ἑαυτοῦ ἐσθίοντα οὐρὰν, ἐστιγμένον φολίσι ποικίλαις· διὰ μὲν τῶν φολίδων αἰνιττόμενοι τοὺς ἐν τῷ κόσμῳ ἀστέρας· βαρύτατον δὲ τὸ ζῶον, καθάπερ καὶ ἡ γῆ, λειότατον δὲ, ὥσπερ ὕδωρ· καθ' ἕκαστον δὲ ἐνιαυτὸν τὸ γῆρας ἀφεὶς, ἀποδύεται. καθ' ὃ καὶ ὁ ἐν τῷ κόσμῳ ἐνιαύσιος χρόνος ἐναλλαγὴν ποιούμενος, νεάζει· τὸ δὲ ὡς τροφῇ χρῆσθαι τῷ ἑαυτοῦ σώματι σημαίνει τὸ πάντα ὅσα ἐκ τῆς θείας προνοίας ἐν τῷ κόσμῳ γεννᾶται, ταῦτα πάλιν καὶ τὴν μείωσιν εἰς αὐτὰ λαμβάνειν.» (αὐτ. Α, β΄.).

(α) Ἐπιμαρτυρεῖται δὲ τοῦτο καὶ ὑπὸ τῶν Κοπτῶν τῶν ἀπογόνων τῶν Αἰγυπτίων, οἵτινες Νοὺν λέγοντες τὴν ἄβυσσον σημαίνουσι. καὶ ὁ Ὡραπόλλων λέγει ὅτι οἱ Αἰγύπτιοι τὸν Νεῖλον Νοὺν ἐκάλουν. (αὐτ. βλ. Α, κα΄.).

νος, τὸν δίσκον καὶ τὸν Οὐραῖον (α) ἐπὶ τῆς κεφαλῆς ἔχων, ὡς βρέφος νεογιλὸν τὸν δάκτυλον πρὸς τὸ στόμα φέρων, ἐπὶ λωτῷ καθήμενος· ἐπὶ δὲ τῆς ἐπιγραφῆς τῆς πρὸ τοῦ Θεοῦ ἐγγεγλυμμένης κέκληται «Ῥᾶ τῆς Ἐδφοῦ,» «ὁ Ἥλιος—Ὧρος ἀμφοτέρων τῶν σφαιρῶν» (ἀνατολῶν τε καὶ δυσμῶν) — «Λάμπει ἐπὶ τοῦ ἄνθους λωτοῦ.» ἔστι τοίνυν ὁ ἀρτιγέννητος ἥλιος, ὃς ἐπὶ λωτῷ ἐκ τοῦ ὕδατος ἀνίσχει. Ἐν τούτῳ ἄρα τῷ μνημείῳ ἔνθα ὁ ἥλιος «ὡς ἡγεμὼν τῶν στοιχείων» προΐσταται, ὥσπερ αἱ τοῦ Ἑρμοῦ βίβλοι ἔλεγον, οὐ μόνον τὴν καθ' ἡμέραν ἀνατολὴν τοῦ ἡλίου ὑπεμφαίνει, ἀλλὰ καὶ τὴν πρώτην γένεσιν αὐτοῦ ἐκ τῶν πρωτογενῶν ὑδάτων.

Τὴν αὐτὴν δὲ ἡγεμονείαν σημαίνει καὶ ὅταν ἀλλαχοῦ τὸν Ἀμοὺν—Ῥᾶ τῶν στοιχείων προϊστάμενον ὁρῶμεν. Οὐκ ἐπίσης δ' ἄξιον λόγου δέον ἡμῖν φανῆναι ὅτι (ἐν στοίχῳ ιϐ') καὶ ὁ Θεὸς Θὼθ (ὁ Ἑρμῆς) δὶς τοῦ χοροῦ τῶν Θεῶν τῶν τεσσάρων στοιχείων ἡγούμενος, ἔνθα μὲν τῇ Χαθωρ—Ἀφροδίτῃ ἐπὶ θρόνου καθημένῃ προσέρχεται, ἔνθα δὲ τῇ Ἴσιδι ὡσαύτως καθημένῃ· εἰ καὶ ὁ Θεὸς οὗτος οὐκ ἀλλότριος τῶν στοιχείων—Θεῶν

(α) αὐτ Λ, α'. Αἰῶνα δὲ οἱ Αἰγύπτιοι γράψαι βουλόμενοι «ὄφιν ζωγραφοῦσιν, ἔχοντα τὴν οὐρὰν ὑπὸ τὸ λοιπὸν σῶμα κρυπτομένην, ὃν καλοῦσιν Αἰγύπτιοι Οὐραῖον, ὅ ἐστιν ἑλληνιστὶ βασιλίσκον, ὅν περ χρυσοῦν ποιοῦντες, θεοῖς περιτιθέασιν· αἰῶνα δὲ λέγουσιν Αἰγύπτιοι διὰ τοῦδε τοῦ ζώου δηλοῦσθαι, ἐπειδὴ τριῶν γενῶν ὄφεων καθεστώτων, τὰ μὲν λοιπὰ θνητὰ ὑπάρχει, τοῦτο δὲ μόνον ἀθάνατον, ὃ καὶ προσφυσῆσαν ἑτέρῳ παντὶ ζώῳ, δίχα καὶ τοῦ δακεῖν, ἀναιρεῖ. ὅθεν ἐπειδὴ δοκεῖ ζωῆς καὶ θανάτου κυριεύειν, διὰ τοῦτο αὐτὸν ἐπὶ τῆς κεφαλῆς τῶν θεῶν ἐπιτιθέασιν.»



ἔοικεν εἶναι, ἐξωτερικῶς πως μετ' αὐτῶν συναπτόμενος, ὡς ἐκ τῶν ἐφεξῆς δῆλον γενήσεται.

Καὶ γὰρ Θὼθ—Ἑρμῆς, ὡς πάντες που ἴσμεν, ἦν Θεὸς πολιοῦχος Ἑρμουπόλεως τῆς μεγάλης ἐν τῇ μεσαίᾳ Αἰγύπτῳ κειμένης· αὕτη δὲ ἡ πόλις ἐν τοῖς Κοπτικοῖς συγγράμμασι καὶ λεξιλόγοις καλεῖται συχνάκις Σ μ ο ὺ ν, τὸν ἀριθμὸν ὀκτὼ σημαῖνον. Ἀλλὰ κατ' ἄλλην ἱερογλυφικὴν γραφὴν ἀπαντᾶται τὸ ὄνομα σεσεννοὺ καὶ Θὼθ κύριος τῶν Σεσεννοῦ· καὶ τοῦτο δὲ τὸ σεσεννοὺ οὐδὲν ἄλλο σημαίνει ἢ ὀκτώ, δι' οὗ ἀριθμοῦ ἐκαλεῖτο ὑπὸ τοῦ δήμου ἡ ἱερὰ τοῦ Θὼθ πόλις, «ἡ πόλις τῶν ὀκτὼ»· ἄδηλον μέντοι ὅπως τὸ σεσεννοὺ Κοπτιστὶ Σμοὺν ἐγένετο. Τὸ δ' ὄνομα τῆς Ἑρμουπόλεως Σμοὺν ἐσυνδύασαν καὶ μετὰ τοῦ φοινικικοῦ Ἔσμουνος (α), ὅπερ τὸν ὄγδοον τῶν Καβείρων σημαίνει· τοῦτον δ' αὖ τὸν Ἔσμουνον τὸν αὐτὸν εἶναι τῷ Ἑρμῇ—Θὼθ ὑπέλαβον, ὥστε ἡ Ἑρμούπολις καλοῖτο ἂν ἡ πόλις τοῦ Ὀγδόου. Ἀλλ' ὁ σοφὸς Λέψιος οὕτως ἐπισπερχῆ συνδυασμὸν οὐ πάνυ προσίεται δι' ἄλλους τε λόγους καὶ μάλιστα τὸν ἐφεξῆς. Ἔσμουνος γὰρ οὐχ ὁ Ἑρμῆς ἀλλ' ὁ Ἀσκληπιὸς ῥητῶς ἀποκαλεῖται, Ἀσκληπιὸς δὲ ἱερογλυ-

(α) Δαμασκ. ἐν βίῳ Ἰσιδώρ. παρὰ Φωτ. βιϐλ. 242. «ὁ ἐν Βηρυτῷ Ἀσκληπιὸς οὐκ ἔστιν Ἕλλην, οὐδὲ Αἰγύπτιος, ἀλλά τις ἐπιχώριος φοίνιξ. Σαδύκῳ γὰρ ἐγένοντο παῖδες, οὓς Διοσκούρους ἑρμηνεύουσι καὶ Κ α β ε ί ρ ο υ ς· ὄ γ δ ο ο ς δὲ ἐγένετο ἐπὶ τούτοις ὁ Ἔ σ μ ο υ ν ο ς ὃν Ἀσκληπιὸν ἑρμηνεύουσιν — Ἔ σ μ ο υ ν ο ν ὑπὸ Φοινίκων ὠνομασμένον ἐπὶ τῇ θέρμῃ τῆς ζωῆς· οἱ δὲ τ ὸ ν Ἔ σ μ ο υ ν ο ν ὄ γ δ ο ο ν ἀξιοῦσιν ἑρμηνεύειν.»

φικῶς Ἰμχοτεπ, Ἰμούθης, ὁ παῖς τοῦ Φθᾶ καλεῖται μὲν
συχνάκις ἅμα τῷ Ἑρμῇ, οὐδέποτε μέντοι αὐτῷ εἰς ἓν
συνέρχεται· οὐδὲ τὰ μνημεῖα κῦρός τι ἐκείνῳ τῷ συν-
δυασμῷ παρέχει.

Ἀλλ' ἄξιον μνήμης ἐστὶν ὅτι τοῖς ὀκτὼ στοιχείοις—
θεοῖς κοινὸν ἐπίσης ὄνομα ἦν τὸ Σεσεννού· καί που ἐν
Καρνὰκ (Αἰγυπτιακῶν μνημ. Δ, 30, 6'.) ὁ Ἀμοὺν—
Ῥᾶ καλεῖται «πατὴρ τῶν πατέρων τῶν Σεσεννού» ἤτοι
πάππος (πρόγονος) τῶν στοιχείων, ὅπερ φανερὸν ὅτι ὑ-
παινίσσεται τὸν Ἥλιον ἡγεμονεύοντα τῶν στοιχείων,
ὡς πρότερόν τε ἐλέχθη καὶ Ἰάμβλιχός ἐστιν ὁ μαρτυρῶν.

Ἐπεὶ οὖν τὸ Σεσσενοὺ παλαιὰ ἱερογλυφικὴ δήλωσίς
ἐστι τοῦ ἀριθμοῦ ὀκτὼ, φανερὸν ἄρα ὅτι τὰ στοιχεῖα
τὸ ὄνομα τῶν ὀκτὼ θεῶν μάλιστα ἔφερον.

Εἰκότως οὖν ἄν τις τὸ πρῶτον ταῦτα σκεψάμενος,
πορισθείη ὅτι ὁ ἴδιος οὗτος τῶν ὀκτὼ στοιχείων κύκλος
οὐδὲν ἄλλο σημαίνει ἢ τοὺς ὀκτὼ παλαιτάτους καὶ πο-
λυθρυλλήτους θεοὺς, ὧν Ἡρόδοτος μνημονεύει· καὶ δὴ
καὶ ἱερογλυφικῶς ἐπικυρωθείη ἂν ὅτι οἱ ὀκτὼ τῶν στοι-
χείων θεοὶ παρὰ τοῖς Ὀρφικοῖς καὶ τῷ Εὐάνδρῳ καὶ τὰ
τέσσαρα τῶν θεῶν ζεύγη παρὰ τῷ Ἑρμῇ καὶ Σενέκᾳ
ὡς καὶ πᾶσα ἡ πραγματεία τῶν Ἑλλήνων φυσιολόγων
περὶ τῆς τετρακτύος τῶν στοιχείων ἐκ τῆς πάλαι Αἰγυ-
πτιακῆς θεολογίας παρελήφθησαν. Καὶ ἐγένοντο πρότε-
ρόν ποτ' ἄνδρες σοφοὶ, οἳ καὶ πολλαχῶς ἐπεχείρησαν
ταῦτα ὡς ἀληθῆ ἐπικυρῶσαι· ἐν δ' ἐσχάτῳ χρόνῳ καὶ ὁ
πολυμαθὴς Ῥοίθιος (α) καὶ Γλαδίσχιος (ὁ παραδοξολό-

(α) Αἰγυπτιακῆς δογματολογίας, σημειώσεων σ. 64. 166.
199.



γος (α) ) εἰ καὶ ὁ ὡρισμένος κύκλος τῶν ὀκτὼ στοιχείων
— θεῶν ἐπὶ τῶν Αἰγυπτιακῶν μνημείων καὶ τὸ ἱερο-
γλυφικὸν αὐτῶν ὄνομα, ἐν ᾧ γε αὐτὸς ὁ ὀκτὼ ἀριθ-
μὸς ἐκδηλοῦται ἔτι ἄγνωστα αὐτοῖς ὑπῆρχον.

Ἀλλ' οὐ μόνον ἔχοι τις ἂν ἀποδεῖξαι (ὥσπερ ὁ βα-
θύνους οὗτος ἀνὴρ ἐν ἄλλῃ διατριβῇ ἐποίησεν) ὅτι τὰ
μνημεῖα, τοῖς ἐπὶ παπύρων χρονικοῖς καὶ τοῖς τῷ Μά-
νεθῳ παραδεδομένοις συνᾴδοντα, ὀκτὼ πάντῃ ἄλλους
θεοὺς ὡς πρώτας δυναστείας τῶν θεῶν—βασιλέων
ἡμῖν παραδίδωσιν, οὐδὲν κοινὸν τὸ παράπαν τοῖς Στοι-
χείοις—θεοῖς ἔχοντας, οἳ δὴ καὶ οὐδαμῶς ὡς θεοὶ —
δεσπόται ἐκληφθῆναι ἠδύναντο, ἀλλὰ καὶ ἀκριβέστερον
ταῦτα σκοποῦντι δῆλόν που γένοιτ' ἂν ἱκανῶς ὅτι ὁ ὁ-
λοσχερὴς ἀριθμὸς ὀκτὼ ἤτοι τεσσάρων διδύμων στοι-
χείων καὶ ὡς ἔοικεν ἡ παρ' Ἕλλησι τετρακτὺς αὐτῶν
καθόλου, ἀρχῆθεν μὲν ἀλλοτρία ὑπῆρχε τῆς τε μυθο-
λογίας καὶ φυσιολογίας τῶν Αἰγυπτίων, ὑστέρῳ δὲ
χρόνῳ οἱ Αἰγύπτιοι παρὰ τῶν Ἑλλήνων αὐτὴν παρα-
λαβόντες, τοῖς πάλαι Αἰγυπτιακοῖς μύθοις συνέπλεξαν·
πᾶσαι δὲ αἱ γραφαὶ τῶν ὀκτὼ στοιχείων ὡς θεῶν οὐκ

(α) Ἔν τινι διατριβῇ «Ἐμπεδοκλῆς καὶ οἱ πάλαι Αἰγύπτιοι»
ἐν τοῖς Νοάκου χρονικοῖς τῆς θεωρητικῆς φιλοσοφίας. ἔτος 6'.
1847 σ. 710 κ.φ.ξ. — Ὁ συγγραφεὺς διὰ μακρῶν λόγων ἀνα-
βάλλεται ἀποδεῖξαι ὅτι ἡ τῶν Αἰγυπτίων δογματολογία ὅλη
τε καὶ κατὰ μέρη ἐλάχιστα ἐν τοῖς Ἐμπεδοκλέους αὖθις εὑρί-
σκεται, κατὰ τἀναντία πρὸς τὰ τοῦ Πυθαγόρου, ἅπερ τῆς τῶν
Σινῶν περὶ κόσμου θεωρίας τρόπον τινὰ ἀπαυγάσματα ἢ ἀπη-
χήματα ὄντα, οὐδὲν κοινὸν τὸ παράπαν πρὸς τὰ τῶν Αἰγυ-
πτίων ἔχει. καίτοι περὶ Πυθαγόρου μὲν, φησιν ὁ σοφὸς Δε-

ἐπέκεινα Πτολεμαίων τῶν πρώτων τῷ χρόνῳ προσαναβαίνουσιν. Ἐπ' οὐδενὸς γὰρ τῶν μνημείων τῶν πάλαι Φαραώνων μέχρι τοῦ νῦν ὅμοιόν τι τούτοις εὕρηται· εἰ δέ τισιν ὀνόμασιν αὐτῶν καὶ ἐπὶ τούτων τῶν πάλαι μνημείων ἐντυγχάνομεν, χωρὶς ἕκαστα ἢ ἄλλως πως ἀλλήλοις συνηρμοσμένα ὑπάρχει, ἀλλ' οὐ κατὰ τὴν τῶν στοιχείων — Θεῶν ἔννοιαν, ὥςπερ παρὰ τοῖς Ἕλλησι καὶ ἐπὶ τῶν Πτολεμαϊκῶν γραφῶν, αἵτινες μάλα κεχαρισμέναι τοῖς τότε κατέστησαν, ὡς ὁ πολὺς ἀριθμὸς τῶν συλλεχθέντων παραδειγμάτων ἱκανῶς που ἐμφαίνει. Καὶ εὐλόγως δ' ἄν τις ἔχοι εἰπεῖν ὅτι καὶ τὸ ὄνομα Σεσεννοὺ (ἢ Σμουννοὺ) θεῶν ἀρχαῖον ὄνομα ἦν, ὅπερ ὕστερον τοῖς στοιχείοις προςηρμόσθη.

Πάντες δέ που ἴσασιν ὅτι τῶν στοιχείων τὴν τετρακτὺν ὁ Ἀριστοτέλης πολλαχοῦ τῷ Ἐμπεδοκλεῖ σαφῶς ἀπονέμει, λέγων· « Ἐμπεδοκλῆς — τὰ ὡς ἐν ὕλης εἴδει λεγόμενα στοιχεῖα πρῶτος εἶπεν. » Καὶ αὐτὸς ὁ Ἐμπεδοκλῆς πολλαχοῦ καὶ κατὰ τάξιν ἀδιάφορον αὐτὰ ἐκτίθησι, ῥ ι ζ ώ μ α τ α ἀποκαλῶν.

Τέσσαρα τῶν πάντων ῥιζώματα πρῶτον ἄκουε·
Πῦρ καὶ ὕδωρ καὶ γαῖαν, ἰδ' αἰθέρος ἄπλετον ὕψος.

Ἐν ἄλλῳ δὲ τόπῳ λέγει πάλιν ὁ Ἀριστοτέλης· οἱ μὲν πῦρ καὶ γῆν, οἱ δὲ ταῦτά τε καὶ ἀέρα τρίτον, οἱ δὲ καὶ ὕ δ ω ρ τούτων τ έ τ α ρ τ ο ν, ὥςπερ Ἐμπεδοκλῆς. »

---

ψιος, ἱκανῶς ἡμῖν παραδέδοται ὡς συχνόν τε χρόνον ἐν Αἰγύπτῳ διέτριψε καὶ παρ' Ὀννούφει τῷ ἐξ Ἡλιουπόλεως ἱεροφάντῃ ἐμαθήτευσε, περὶ δὲ Ἐμπεδοκλέους οὐδεὶς λόγος κατέχει ὡς εἰς οἱανδή τινα κοινωνίαν τοῖς Αἰγυπτίοις ἐλθόντος.



Ἐκ δὲ τούτου εἰκάσειεν ἄν τις εὐλόγως ὅτι πρὸ τοῦ Ἐμπεδοκλέους ἦσαν ἄλλοι μὲν τὰ πρῶτα τῶν ὄντων στοιχεῖα δύο τιθέντες, ἄλλοι δὲ τρία. Φανερὸν δὲ ὅτι ταῦτα τὰ στοιχεῖα πρῴην ἤδη ἐν τοῖς φυσικοῖς συστήμασι μάλιστα τῶν Ἰώνων παραδεδεγμένα ἦν, εἰ καὶ τὸ ἐν ὑστέρῳ χρόνῳ κατισχύσαν ὄνομα, στοιχεῖα, πρῶτος ὁ Πλάτων εἰςήγαγεν. Ἔοικε δὲ καὶ Φιλόλαος ὁμοίως πως τοῖς στοιχείοις κεχρῆσθαι, οὑτωσὶ λέγων. «Καὶ τὰ ἐν τᾷ σφαίρᾳ σ ώ μ α τ α (εἴη δ' ἂν ταῦτα τὰ στοιχεῖα) πέντε ἐντί. » καὶ γάρ πού φησι· « τὸ ἐν τᾷ σφαίρᾳ πῦρ, ὕδωρ καὶ γᾶ καὶ ἀὴρ καὶ ἁ τᾶς σφαίρας ὁλκὰς πέμπτον· » ὁλκὰς δ' οὐδὲν ἄλλο ἐστὶν ἢ ὁ τὰ πάντα νεὼς δίκην ἐμπεριέχων αἰθήρ.

Ἀλλ' ἐνδίκως ἄν τις τὴν περὶ τὰ στοιχεῖα θεωρίαν εἰς τοὺς Ἴωνας Φυσιολόγους ἀνάγοι, ὧν περ ὁ ἀριθμὸς, ὡς καὶ πρότερόν μοι εἴρηται, κατὰ σμικρὸν ηὐξήθη. Ἔνιοι μὲν γὰρ τρία αὐτὰ ἐτίθεσαν, ἔνιοι δὲ δύο καὶ ἄλλοι ἓν μόνον· ὥσπου Ἀναξιμένην ἴσμεν ἀέρα ἀρχὴν εἶναι τῶν ὄντων ἁπάντων φάμενον κἀκ τούτου τὰ λοιπὰ πάντα μανώσει ἢ πυκνώσει γίγνεσθαι· Θαλῆς δ' ὡσαύτως ἓν εἶπε τὸ ὕδωρ· «ἐξ ὕδατος γάρ φησι πάντα εἶναι καὶ εἰς ὕδωρ πάντα ἀναλύεσθαι.» Ἀμφότεροι μέντοι Θαλῆς τε καὶ Ἀναξιμένης τῶν ὕστερον φυσιολόγων διαστέλλονται, καθ' ὅσον περ τῷ πρωτογενεῖ ἐκείνῳ τῶν ὄντων στοιχείῳ κίνησίν τινα καὶ θείαν δύναμιν ἐνεῖναι ἔφασαν. Ἐμπεδοκλῆς γὰρ τὰς κινητικὰς τῶν ὄντων αἰτίας, φιλίαν τε καὶ νεῖκος τῶν τεσσάρων ῥιζωμάτων πάμπαν ἐχώρισε καὶ οὕτως ἐναντιότητα τοῦ ἐνύλου πρὸς τὸ ἄϋλον ἔθετο.

Ἐντεῦθεν ἄρα δῆλον ὅτι τὰ τῶν παλαιτάτων φυσιο-

λόγων δόγματα περὶ τῶν τοιούτων παραπλήσιά πως ὑπάρχει τοῖς ποιητικοῖς καὶ μυθολογικοῖς τῶν τε Ὀρφικῶν καὶ τοῦ Ἡσιόδου, καθ' οὓς γε ἡ τοῦ κόσμου δημιουργία οὐδὲν ἄλλο ἦν ἢ θεία τις ἀπόρροια ἢ γένεσις· αὐτὴ δὲ ἡ φύσις ἐκ δυνάμεων ἀποτελεῖται, ὧν περ ὡς νοῦν ἐχόντων θείων προσώπων ἀντελαμβάνοντο· τά τε ἐν τῇ φύσει γιγνόμενα καὶ ὁρατὰ τῆς τῶν ἐν αὐτῇ ὑπολανθανόντων θεῶν ἐνεργείας ἐκφάνσεις εἶναι ἔλεγον.

Φανερὸν δὲ ὅτι αὕτη ἡ θεολογικὴ τοῦ κόσμου ἀντίληψις καὶ δήλωσις προγενεστέρα τῆς τε φυσιολογικῆς καὶ τῆς ὡς ἀληθῶς φιλοσοφικῆς θεωρίας ἦν, εἰ καὶ φανερὸν ἐπίσης ὑπάρχει, ὅτι ἐκείναις ταῖς μυθικαῖς κοσμογονίαις φυσιολογική τις καὶ μᾶλλον ἢ ἧσσον ἐπιλελογισμένη θεωρία οἷον βάσις ὑπέκειτο καὶ ὡς ἔπος εἰπεῖν συνεβάδιζεν. Ἀλλὰ καὶ μετὰ τὰς ἐμβριθεῖς ἐρεύνας Λοβεκκίου τε καὶ Βρανδισίου καὶ ἄλλων ἀεὶ ἐργῶδές ἐστιν ἐν ταῖς Ὀρφικαῖς παραδόσεσι τὰ παλαιὰ τῶν μακρῷ πλεοναζόντων νέων ἀντιδιαστέλλειν.

Τῆς μὲν οὖν τῶν Ὀρφικῶν κοσμογονίας, ἣν περ ὁ Δαμάσκιος, ἐκ τοῦ Ὀρφικοῦ ποιήματος Θεογονίας ἢ Θεολογίας παραλαβὼν ὡς συνήθη οὖσαν (α) τῶν λοιπῶν προτάσσει, Χρόνος ὁ ἀγήρως ὡς τὸ πρῶτον ἡγεῖται· ἐκ δὲ δὴ τοῦ χρόνου τὸ χάος ἢ τὸν Αἰθέρα καὶ τὸ πελώριον χάσμα γεγονέναι (β). Τὸ δ' αὖ χάος ἢ ὁ Αἰθὴρ

(α) Ἔπιθι Λοβεκκίου «Ἀγλαόφημον», σ. 472 κ.φ ξ. — καὶ Βρανδισίου Ἱστορ. τῆς Ἑλληνο-ρωμ. Φιλοσ. Τ. Α. σ. 59 κ.φ.ξ.

(β) Τὸ δὲ πελώριον χάσμα περιγράφει ὁ ἑξῆς στίχος «οὐδέ τι πεῖραρ ἔην, οὐδὲ πυθμήν, οὐδέ τις ἕδρη.» ἔτι δὲ λέγεται «ἀζηχὲς σκότος» καὶ σκοτόεσσα ὁμίχλη.» ἔπιθι Βρανδ. καὶ Λοβ. ἐν. ἀν.



διά τινος αὐτῷ ἐνούσης δυνάμεως περιδινούμενον ὡς ᾠὸν ἐμορφώθη ἀργύφεον, «ἔπειτα δ' ἔτευξε μέγας Χρόνος αἰθέρι δίῳ Ὠεὸν ἀργύφεον.» ἐκ δὲ τοῦ ᾠοῦ καὶ τοῦ ἀργῆτος χιτῶνος αὐτοῦ ἢ τῆς νεφέλης ἐκθρώσκει ὡς πρωτόγονος υἱὸς ὁ Φαέθων, ὃς Φάνης καὶ Μῆτις καὶ Ἠρικαπαῖος καὶ Ἔρως ἁβρὸς κέκληται (α)· ὁ δ' αὖ Φάνης τὰ ἔτι ἄωρα σπέρματα θεῶν τε καὶ τῶν ἄλλων ὄντων ἐν ἑαυτῷ κυοφορῶν, ἐγέννησεν ὕστερον τὴν Νύκτα καὶ τὸν Κόσμον, ἐν δὲ τούτῳ τῷ κόσμῳ πρῶτον μὲν τὸν Ἥλιον, Διόνυσον καὶ αὖθις Φάνητα, ἔτι δὲ Εὐβουλῆα καὶ Ἀνταύγην καλούμενον· ὕστερον δὲ τὴν Σελήνην (β)· ἢ ὡς καθόλου εἰπεῖν τὸν οὐρανὸν καὶ τὴν γῆν. Ἀλλ' ἡ τῶν ὀνομάτων πολλαπλότης, ὧν ἔνια ἀλλοκότως ἠχεῖ, οἷόν περ τὸ Ἠρικαπαῖος, ἱκανῶς ὑπεμφαίνει ὅτι οὐκέτι ἡ κατ' ἀρχὴν καὶ ἁπλῆ κοσμογονία ἡμῖν παραδέδοται, ἀλλὰ μεταγενεστέρα τις καὶ κατὰ μέρος ἐξ ὀθνείων

(α) ἀκμαίου σχισθέντος ὑπὲκ πολυχανδέος ᾠοῦ
(προέρχεται)
πρωτόγονος Φαέθων περιμήκεος αἰθέρος υἱὸς (ἢ περικαλλέος αἰθέρος υἱὸς) ἁβρὸς Ἔρως. (Ἔπιθι Λοβ. Ἀγλ. σ. 479 κ. φ. ξ.).

τὸν δὴ καλέουσι Φάνητα
(ἀθάνατοι) ὅτι πρῶτος ἐν αἰθέρι φαντὸς ἔγεντο
Μῆτιν σπέρμα φέροντα θεῶν κλυτόν, ὅν τε Φάνητα
πρωτόγονον μάκαρες κάλεον κατὰ μακρὸν Ὄλυμπον. — Μῆτις δὲ Φάνης καὶ Ἠρικεπαῖος (ἢ Ἠρικαπαῖος) ἑρμηνεύονται διὰ τοῦ βουλή, φῶς καὶ ζωοδοτήρ.

(β) Μήσατο δ' ἄλλην γαῖαν ἀπείριτον, ἥν τε Σελήνην
ἀθάνατοι κλήζουσιν, ἐπιχθόνιοι δέ τε Μήνην,
ἣ πόλλ' οὔρε' ἔχει, πόλλ' ἄστεα, πολλὰ μέλαθρα.

δογμάτων συντεθειμένη. Τήν τε ἀφῃρημένην τοῦ χρόνου ἔννοιαν, ὡς τῆς δημιουργίας ἡγουμένην καὶ τοῦ χάους ποτέραν οὖσαν, ἤτοι τὸ πάσης ὑποστάσεως κενὸν καὶ αὐτὸ καθ' αὑτὸ ἄγονον πρὸ αὐτῆς τῆς ὑποστάσεως καὶ τοῦ ζωοφόρου καὶ ἀρχεγόνου σπέρματος τῇ διανοίᾳ παρίστασθαι, οὐδ' ὁπωστιοῦν ἔχοι τις ἂν πρὸς ποιητικήν τινα καὶ ἄμεσον θεωρίαν περὶ τοῦ κόσμου ἀντιπαραθέσθαι, ἀλλὰ φανερὸν ὅτι χρόνῳ μεταγενεστέρῳ καὶ διανοίᾳ ἤδη περιεσκεμμένῃ τά γε τοιαῦτα προςήκει.

Εὐλόγως οὖν ἄν τις τὴν παρ' Ἡσιόδῳ θεογονίαν, τὸν μὲν Χρόνον σιγῇ παρερχομένην, αὐτὸ δὲ τὸ Χάος ἀρχὴν εἶναι τῶν ὄντων ἁπάντων τιθεμένην, προτέραν τῆς τῶν Ὀρφικῶν γεγονέναι ὑπολάβοι. Ἀλλ' οὐχ ἧσσον καὶ αὕτη, ἐν ᾗ περ αὐτὰ δὴ τὰ πρωτογενῆ ὄντα Χάος, Γαῖα, Τάρταρα καὶ Ἔρως οὐ πάνυ τι κατὰ φύσιν ἀλλήλοις ἑπόμενα φαίνεται (ἀμήχανον γὰρ ἂν ταῦτα ὡς τέσσαρα κοσμικὰ στοιχεῖα ὑπολαμβάνειν, ὧν γ' ἂν ἕκαστον τὴν αὐτήν που καὶ τοῖς λοιποῖς δύναμιν ἔχοι), ὡςαύτως ἐπιμαρτυρεῖ ὅτι καὶ ὁ Ἡσίοδος οὐχ ὁ πρῶτος τὸν μῦθον τοῦτον ποιήσας ἐγένετο, ἀλλὰ τὰ ἁπλῶς παραδεδομένα καὶ ἀτελῶς νενοημένα πάλιν αὖθις ἡμῖν παραδέδωκε. Γαῖα γὰρ καὶ Τάρταρα ἢ ὥςπερ ὕστερον ὁμοῦ λαμβάνεται, Τάρταρα Γαίης, ἡ σκοτεινὴ Γῆ, μεταξὺ Χάους τε καὶ Ἔρωτος παρ' Ἡσιόδῳ οὖσα, ἀντιστοιχεῖ τῷ ᾠῷ τῷ παρὰ τοῖς Ὀρφικοῖς, ἐξ οὗ γε ὁ φαεινὸς Ἔρως ἐκθρώσκει. Ἡ δὲ τούτοις εὐθὺς ἐπακολουθοῦσα γενεαλογία, καθ' ἥν γε ἐκ τοῦ Χάους τὸ Ἔρεβος γεννᾶται καὶ ἡ Νὺξ (ἤγουν πάλιν αὖθις ἡ σκοτεινὴ Γῆ) καὶ ἐκ τῆς νυκτὸς ὁ Αἰθὴρ καὶ ἡ Ἡμέρα (ἡ φαεινὴ ἡμέρα), οὐδὲν ἄλλο ἔοικεν εἶναι ἢ ἡ αὐτὴ ἀντίληψις ἄλλως ἐκπεφασμένη.



Ὅμηρος τέλος ᾄδει ἡμῖν Ὠκεανὸν θεῶν γένεσιν (α) καὶ πάντων τῶν ὄντων, «ὅςπερ γένεσις πάντεσσι τέτυκται (β). Ἔστι δὲ κατὰ τὸν Ποιητὴν ὁ Ὠκεανὸς οὐχ ὥςπερ ἐν τῇ μεταγενεστέρᾳ θεογονίᾳ τοῦ Ἡσιόδου παῖς Οὐρανοῦ τε καὶ Γῆς, ἀλλ' ἀντ' αὐτοῦ τοῦ χάους ἐκλαμβάνεται, καθ' ἥν περ ἀντίληψιν καὶ Θαλῆς ὁ Μιλήσιος ἀρχὴν ζωτικὴν τῶν ὄντων ἁπάντων τὸ ὕδωρ εἶναι ἔφη· κατὰ τοσοῦτόν γε μὴν Ὅμηρος ἐκείνου διαφέρει, καθ' ὅσον περ τοῦ παντὸς ἔδει ταῖς ἔνδον τοῦ χάους ἀχωρίστοις οὐσίαις δύναμίν τινα φυσιολογικὴν ἀποδιδόναι. Ὠκεανὸς γάρ ἐστι παρ' αὐτῷ τὸ κύκλῳ τὴν γῆν περιρρέον πρωτόγονον καὶ ἄπειρον ὕδωρ,

> ἐξ οὗ περ πάντες ποταμοὶ καὶ πᾶσα θάλασσα
> καὶ πᾶσαι κρῆναι καὶ φρείατα μακρὰ νάουσιν·

Ὡςαύτως δὲ καὶ ἐν τούτῳ ἀπήχησίς τις ἔοικε καὶ ποιητικὴ μετασκευὴ ἐνεῖναι τῆς κατ' ἀρχὴν ἰδέας, καθ' ἥν γε τῷ Ὠκεανῷ προςῆκε τὸ γέρας ὡς τῶν θεῶν πρωτογόνον πηγὴν καὶ πάντων ἅμα τῶν δημιουργημάτων νομίζεσθαι.

Προςθετέον δέ τινα καὶ περὶ τῆς τῶν Ἰνδῶν κοσμογονίας (α).

« Κατὰ τὰ γεωγραφικὰ συστήματα τῶν χρόνῳ πο-

---

(α) Ἰλ. Ξ, 201, 302.

(β) Ἰλ. Ξ. 246.

(γ) Παρελάβομεν δὲ ταῦτα ἐκ τῆς Ἀσίας τοῦ περιπύστου Γεωγράφου Καρόλου τοῦ Ριττερίου. Τ. Α. § 2, σ. 5.

λιῶν καὶ σανσκριτιστὶ γεγραμμένων Βεδῶν (α) καὶ τῶν Πουρανῶν (β), ὧν ἑκάστη ἵνα τοῦ τοιούτου ὀνόματος ἀξία γένοιτο, ὤφειλεν εὐθὺς ἐν ἀρχῇ τὰ περὶ κοσμοποιΐας (σάργα) διαλαμβάνειν, ἐν τῷ αφ κεφαλαίῳ, ὅπερ ΒΧουβανά Δαρσά ἤτοι κάτοπτρον τοῦ κόσμου ἐκέκλητο, ἀπεικονίζεται ἡ ἤπειρος πρὸς ἄνθος λωτοῦ (σανσκριτιστὶ Πάδμα καλουμένου), ὅπερ ἐπὶ τῆς ἐπιφανείας τοῦ Ὠκεανοῦ ἐπιπολάζει. Ἀμφότεραι δὲ ἥ τε ὑγρὰ καὶ στερεὰ μορφή, ὡς ἀρχαὶ τοῦ διαμορφοῦντος καὶ διαμεμορφωμένου, ἤτοι τοῦ γεννῶντος καὶ γεγενημένου ἀποτελοῦσι πάλιν ὅλον τι εὖ ἀπηρτισμένον. Βιόνοὺς ἤγουν ὁ διήκων, ὁ δημιουργῶν καὶ διασώζων Θεὸς κατὰ τὴν ἠπιωτέραν τῶν Ἰνδῶν θεωρίαν (ἥ γε ὕδωρ καὶ ἀέρα ὡς τὰς πρώτας καὶ κυρίας δυνάμεις ἐξέλαβε καὶ πολλάκις μετὰ τῆς θαλπνῆς καὶ ζωογόνου ἀρχῆς τοῦ ἡλίου τῇ ἰδέᾳ τοῦ Κρίσνα εἰς ταὐτὸν συνῆπτεν) ὡς ἀναπαυόμενος ἢ ἐνεργῶν νομίζεται.

Οὗτος δὴ ὁ Βιόνοὺς, ὡς σύμβολον τοῦ ἐν τόπῳ ὁρατοῦ, καθεύδει ἐπὶ τοῦ πυθμένος τοῦ Ὠκεανοῦ ἢ ἐπὶ τοῦ ὄφεως τῆς αἰδιότητος, πάντοθεν ὑπὸ τῶν κυμάτων κατακλυζόμενος. ἐκ δὲ τοῦ ὀμφαλοῦ αὐτοῦ, ὡς συμβόλου τῆς γενέσεως, ἐκβλαστάνει ὁ τοῦ λωτοῦ καυλὸς, οὗ ἡ μὲν κάλυξ τὴν πρὸ τῆς δημιουργίας κατάστασιν δηλοῖ, τὸ δ' ἀναπεπταμένον ἄνθος, ὡς τὸ ὁρατὸν καὶ γεγενημένον, γῆ τε καὶ γένος τὸ ἀνθρώπειον, ἐπὶ τῶν ὑδάτων

(α) ΒρὰΧμανα καλοῦνται ἐν αὐταῖς καὶ αἱ κοσμογονικαὶ θεωρίαι.

(β) Ἐν ταῖς Πουράναις ἑρμηνεύονται τὰ δόγματα τῶν Βεδῶν. πρβλ. Λάσσενος Ἰνδικῆς ἀρχαιολογίας Τ. Α. σ. 479 κ.φ.ξ.



αἰωρεῖται. Κέκληται δὲ καὶ τὸ ἄνθος τοῦτο ἤτοι ἡ γῆ ΒραΧμά (παρὰ τὸ ΒραΧμαν, (γένους ἀρσ.) ὅπερ τὸν τοῦ κόσμου δημιουργὸν σημαίνει), ἤτοι τὸ ὑπάρχον ἢ γεγενημένον (α). Διὸ καὶ ἀντ' ἄνθους λωτοῦ προκύπτει πολλάκις ἐκ τοῦ καυλοῦ τὸ εἶδος τοῦ τὸν κόσμον δημιουργοῦντος ἤτοι αὐτὸς ὁ ΒραΧμαν, ὅσπερ ὁ αὐτὸς ὢν τῷ ἀναπεπταμένῳ ἐκείνῳ ἄνθει, τὴν ἱεροπρεπῆ ἰδέαν ταύτης τῆς περὶ γῆς καὶ κόσμου θεωρίας ἐπιμαρτυρεῖ.

Ἐν δὲ τῷ μέσῳ τούτου τοῦ συμβολικοῦ ἄνθους τοῦ λωτοῦ, πάδμα ἤτοι γηίνου κόσμου καλουμένου, ἀνίσχει τὸ ἐμβρυόκαρπον, καὶ ἡ γονοφόρος στεφάνη Μεροῦ καλουμένη, ὡς τὸ τῆς γῆς ἁπάσης ὕψιστον πέδον· κύκλῳ δ' αὐτοῦ ὑποτέλλεται τὰ γεννητικὰ ὄργανα· τὰ δὲ νήματα (γήρεια) καὶ οἱ νεκταροῦχοι ἀδένες ἀναλογοῦσι πρὸς τὰς πάντοθεν ἀναπυργουμένας κορυφὰς τῶν ὑψηλῶν ὀρέων, ἀφ' ὧν οἱ μέγιστοι τῆς γῆς ποταμοὶ καταλείβονται. τὰ δὲ τέσσαρα ἀναπεπταμένα καὶ μέγιστα πέταλα τῆς ἀνθεμίνης κάλυκος τὰ τέσσαρα κύρια μέρη τῆς γῆς παρίστησιν, ἀνάλογα πρὸς τὰ τέσσαρα τοῦ ὁρίζοντος μέρη φαινόμενα· εἰσὶ δὲ αἱ λεγόμεναι Δβίπα ἤτοι χερσόννησοι, οἱ κατὰ τὸ ἥμισυ ἢ καὶ κατὰ τὸ πλεῖστον ὑπὸ τῆς θαλάσσης περικλυζόμενοι τόποι (καὶ γὰρ Δβίπα παρ' Ἰνδοῖς κέκληται, ὅ τι παρ' Ἄραψι Γέζιρα)· πρὸς δὲ μεσημβρίαν ὄνομα τῷ φύλλῳ Γαμβοῦ—Δβίπα, ὅπερ δηλοῖ τὴν Ἰνδικήν. ταύτης δ' ἀντικρὺ κεῖνται οἱ βόρειοι Κουροῦ (βόρειοι τόποι κατὰ τὴν Σιβιρίαν)·

(α) Κατὰ τοὐναντίον πρὸς τὸ ἀδημιούργητον ΒρὰΧμα ἢ παραβρὰΧμα, τὸ κατ' ἀρχὴν μέγα δηλοῦν ἀλλ' οὐδέποτε ὡς τὸ αἴδιον ὂν εἰς τοὺς μύθους εἰσαγόμενον.

πρὸς δ' ἀνατολὰς καὶ δυσμὰς ΒΧαδράσβα καὶ Κετουμάλα, ὀνόματα τὸ μὲν τὴν Σινικὴν Ταταρίαν δηλοῦν, τὸ δὲ τὴν σμικρὰν Ἀσίαν (α).

—« Τὸ ἄνθος τοῦ λωτοῦ ἐν ταύτῃ τῇ θεογεωγονίᾳ, ὡς σύμβολον γενικῆς τῶν ὄντων παραγωγῆς ἐν ἀδρογύνῳ, Ἑρμαφροδίτῳ εἴδει, σημαίνει τὴν Γῆν ὡς μητέρα γεννέτειραν Υονὶ, ἈργΧᾶ ἢ Ἄργα, τὴν ἀγαυὴν, ἀξιοσέβαστον, ὁ δὲ Μεροὺ ὡς ἡ γονοφόρος στεφάνη, ὁ Λίνγαμ-Φαλλὸς τὸ πανταχοῦ τιμώμενον σύμβολον τῆς γονίμου φυσικῆς δυνάμεως. Ὅταν δὲ πᾶσα ἡ θάλασσα Υονὶ, γεννέτειρα γίγνηται, ἡ γῆ ἐστιν ὁ Φαλλός· ἐπὶ τρικυμιῶν δὲ καὶ θαλασσίων πλημμυρῶν λαμβάνει ἡ λωτὸς κατὰ τὰ διδακτικὰ ἔπη τὸ σχῆμα λέμβου ἱστοφόρου ἵνα σώσῃ τὸ ἀνθρώπειον γένος τοῦ καταποντισμοῦ. ἀμφότερα δὲ τὰ εἴδη τῆς τε γεννετείρας καὶ σωτείρας γῆς πλεισταχῶς ἐν τοῖς Ἰνδικοῖς ναοῖς τιμῶνται ». — Ἐκ δὲ δὴ τούτων ἐναργῶς συνάγεται ὅτι ἡ ἱερὰ τῶν Ἰνδῶν γεωγονία τὸ ὑγρὸν στοιχεῖον ἤτοι τὸ ὕδωρ ἀρχὴν εἶναι τῶν ὄντων ἁπάντων τίθησιν.

Προςθετέον δὲ τούτοις καὶ τάδε, χρόνῳ πρεσβύτερα ὄντα· ὕψιστος πάντων τῶν ἐν τοῖς Βέδαις ὑμνουμένων θεῶν ἦν ὁ Ἴνδρα, ὁ τοῦ αἰγλήεντος οὐρανοῦ θεός, τοῦ γλαυκοῦ ἀέρος (ἐξ οὗ γε καὶ τὸ εἰωθὸς ὄνομα παρέλαβε) καὶ τῶν καταιγίδων. Πρώτιστος δὲ πάντων ἀθανάτων ἐγένετο, οἷς κράτος τε ὤπασε καὶ ἰσχύν. Οὗτος τὴν μὲν *σαλευομένην* γῆν ἔμπεδον ἐποίησε καὶ τὰ σειόμενα ὄρη ἀμφήρεισε· τῇ τε εὐρείᾳ τοῦ ἀέρος σφαίρᾳ μέτρον

(α) Ἐκ τοῦ ἕκτου βιβλίου τῆς ΜαΧάβΧάρατα τοῦ ΒΧίσμα ΚΧανδα καλουμένου.



προσένειμε καὶ τὸν οὐρανὸν ὑπεστήριξε. Ἔτι δὲ ὁ Βαρ8να, ὃς ἐν τῇ μεταγενεστέρᾳ μυθολογίᾳ ὁ Θεὸς τῆς θαλάσσης καὶ τῶν ὑδάτων ἐγένετο, ἐν τοῖς Βεδικοῖς θεοῖς ἐστιν ὁ Θεὸς τῆς ἐξωτάτης καὶ τὸν ἀέρα πάντα περικλειούσης ἀψῖδος τῆς οὐρανίας, ἐξ οὗ γε καὶ τὴν προσηγορίαν εἴληφεν, ὁ περιλαμβάνων. Οὗτος δὴ ὁ Βαρ8να ἐποίησε τῷ Ἡλίῳ τὰς τρίβους καὶ τὰ θαλασσοειδῆ τῶν ποταμῶν νάματα προῆκε. Καὶ μετὰ τὰς ἡμέρας τὰς μακρὰς ἐποίησε νύκτας· μεταξὺ δὲ ἐκείνων τῶν ἀπεράντων οὐρανῶν (α) ἐπαναπαύονται αἱ δυνάμεις αὐτοῦ (β). [Λάσσενος Ἰνδικῆς ἀρχαιολογίας Τ. Α. σ. 756 κ. φ. ξ.]. Ταῦτα δὲ πάντα δηλοῖ μοι ἱκανῶς ὅτι πρώτην ὑπόστασιν τῶν πάντων οἱ Ἄριοι ῥευστήν τινα εἶναι ἐτίθεσαν. Τοῦτο δὲ φανερόν που γένοιτ' ἂν καὶ ἐκ τῆς ἐν ὑστέρῳ χρόνῳ ὑπὸ τῶν θεολογούντων ποιηθείσης κοσμογονίας.

Ὅτε γὰρ οἱ Ἰνδοὶ τοῦ φυσικοῦ βίου τρόπον τινὰ ἀποτέρω γενόμενοι, τῶν παλαιτάτων φυσικῶν θεῶν ἤρξαντο ὀλιγωρεῖν καὶ τὴν δύναμιν αὐτῶν ἥκιστα *συναισθάνεσθαι*, ὡς ἐν πόλεσιν ἤδη μᾶλλον καὶ μᾶλλον συγκλειόμενοι, οἱ περὶ τὰ θεῖα πράγματα ὄντες τὸ πρὸς τοὺς θεοὺς σέβας ἐκ παντὸς τρόπου προθυμούμενοι διασῶσαι, τοὺς πρώην μύθους, ἀσαφεῖς νῦν δὴ τοῖς

(α) Ἀπέραντοι δὲ Οὐρανοί εἰσι κατὰ τοὺς ἑρμηνευτὰς ὁ Οὐρανὸς καὶ ἡ Γῆ.

(β) Αὕτη δὲ ἡ δόξα περὶ τοῦ Βαρ8να ἐπικυροῦται ἔτι μᾶλλον καὶ διὰ τοῦ ἑλληνικοῦ ὀνόματος *Οὐρανός*, ὅπερ τὴν αὐτήν που ἀρχὴν καὶ ἔννοιαν τῷ Βαρ8νᾳ ἔχον, Θεὸν τοῦ οὐρανοῦ σημαίνει καὶ παῖδα τοῦ Ἐρέβους καὶ τῆς Γῆς.

πολλοῖς καταστάντας, ἐπὶ τὸ συστηματικώτερον μεταβαλόντες, θεολογίαν τινὰ ἀπετέλεσαν, διανοητικὸν χῦρος τοῖς πάλαι φυσικοῖς θεοῖς περιάψαντες.

Ἤρξατο δὲ ἡ πάλαι τῶν Ἰνδῶν θεολογία ἀρχήν τιν' ἐσχάτην ἀορίστως ἀναζητεῖν, ὥσπερ εἷς τῶν νεωτάτων ὕμνων τοῦ Ῥιγβέδα μαρτυρεῖ· ὧδε γάρ πώς φησιν· « ΤΟΤΕ οὔτε οὐκ Ὂν ἦν, οὔτε Ὂν. οὐδεὶς κόσμος, οὐδεὶς ἀήρ, οὐδέ τι τούτου πέραν ἦν· οὐδὲν οὐδαμοῦ ἐν οὐδενὸς εὐδαιμονίᾳ οὔτε περιλαμβάνον οὔτε περιειλημμένον. Οὐ θάνατος ἦν, οὐδὲ ἀθανασία τότε, οὔτε ἡμέρας καὶ νυκτὸς διάκρισις. ἀλλὰ τὸ ΤΑΔ = ΤΟ ἔπνει καὶ οὐκ ἀνέπνει, μόνον ὂν μετὰ τῆς Σβαδᾶ τῆς Αὐθυποστάσεως τῆς ἐν αὐτῷ οὔσης. Ἐκτὸς δ' αὐτοῦ οὐδὲν ὕσερον ἦν. ΣΚΟΤΟΣ δ' ἦν, καὶ τὸ Σύμπαν τόδε ἐν σκότῳ κεκαλυμμένον, ΥΔΩΡ τε ἀδιαχώριστον ἦν (α). Ἀλλ' ἡ ἐν τῷ καλύμματι ἀμφειλιγμένη μάζα τῇ τῆς θεωρίας δυνάμει εἰς τὰ ἔξω προῆλθεν. (Ἔρως Κάμα) τὸ πρῶτον ἐν τῷ Νῷ αὐτοῦ ἀνεφύη καὶ τοῦτ' ἦν τὸ ἀρχέγονον σπέρμα καὶ δημιουργόν, ὅπερ οἱ σοφοὶ εἰς ἑαυτοὺς συνηθροισμένοι ἐν τῇ ἑαυτῶν καρδίᾳ ἀναγνωρίζουσι καὶ διακρίνουσι ἐν τῷ οὐκ Ὄντι ὡς τὸν δεσμὸν τοῦ Ὄντος. » (β)

Κατὰ τοῦτον τὸν λόγον τὸ ὕψιστον Θεῖον οὐδὲν ἄλλο ἐστὶν ἢ ἀόριστόν τι καθόλου, ἐν ᾧ ἡ αὐθυπόστασις

---

(α) Ὁ Κολεμβρώκιος παραβάλλει ταῦτα πρὸς τὸ ἐν Ἡσιόδου Θεογονίᾳ (ς. ρκγ'.) « ἐκ Χάεος δ' Ἔρεβός τε, μέλαινά τε Νὺξ ἐγένοντο. » Ἀλλὰ καὶ ὁ Ἔρος κατὰ τὸν Ἡσίοδον εἷς τῶν πρεσβυτάτων Θεῶν ὑπάρχει.

(β) Τουτὶ τὸ χωρίον εὕρηται παρὰ Κοιππενίῳ τε καὶ ἄλλοις κατά τι παρηλλαγμένον.



ἐμπεριείληπται, ἐν αὐτῷ δὲ φύεται διὰ τῆς θεωρίας ὁ πόθος, ὁ ἔρως ὁ δημιουργικός, ὥς τι οὔπω Ὂν, ἐν ᾧ γε τὸ Ὂν ἔτι πεπεδημένον ὑπάρχει. Ταὐτόσημος δ' ἔννοια ἐμπεριέχεται ἐν τῇ συλλαβῇ ΩΜ. Ἡ δὲ ἁγιότης τούτου τοῦ φθέγματος Ὢμ ἐξ αὐτῆς τῆς Σανσκριτικῆς γλώσσης οὐκέτι γνωρίμη ὑπάρχει, ἀλλ' ἐκ τῶν πάλαι Περσικῶν γλωσσῶν παραλαμβάνεται, ἐν αἷς Α β α, ἐκεῖνο σημαίνει· ἐκ γὰρ τοῦ Α β α μ κατὰ συναίρεσιν τὸ Ὢμ ἐγένετο. — (Λάσσενος Ἰνδ. ἀρχ. Τ. Α. σ. 774 — 775.)—

Ἀντὶ δὲ τούτου τοῦ ἀόριστον καὶ καθολικωτάτην ἔννοιαν ἔχοντος Ὢμ ἐλήφθη ὕστερον τὸ ὁριστικώτερον ὄνομα ΒραΧμα, ἀλλ' οὐκ ἐν αὐτοῖς τοῖς ὕμνοις ἀπαντᾶται, ἀλλὰ κατὰ πρῶτον ἐν τοῖς Οὐπανισὰδ, ἐν οἷς ἑρμηνεύεται ὡς τὸ ἐξ οὗ γε πάντα τὰ ὄντα γίγνεται, δι' οὗ γενόμενα, ζῇ καὶ εἰς ὅπερ τείνει καὶ αὖθις εἰσδύεται, ἔτι δὲ ὡς ἡ γνῶσις καὶ ἡ μακαριότης. Ἐν ἄλλῳ δὲ τόπῳ λέγεται ὅτι τὸ ΒραΧμα ἔχει δύο φάσεις, μεμορφωμένον καὶ ἀμόρφωτον, θνητόν τε καὶ ἀθάνατον, ἀτρέμας ἔχον καὶ κινούμενον, Ὄν τε καὶ ΕΚΕΙΝΟ. Τοῦτο δὲ ὡς ἐν ὕλης εἴδει Ῥευστόν τι ἦν.

Τὴν δὲ τῶν Φοινίκων κοσμογονίαν οὑτωσὶ ὁ Σαγχουνιάθων ἐκτίθησιν. « Τὴν τῶν ὅλων ἀρχὴν ὑποτίθεται ἀέρα ζοφώδη καὶ πνευματώδη, ἢ πνοὴν ἀέρος ζοφώδους, καὶ χάος θολερὸν ἐρεβῶδες. Ταῦτα δὲ εἶναι ἄπειρα καὶ διὰ πολὺν αἰῶνα μὴ ἔχειν πέρας. Ὅτε δέ, φησιν, ἠράσθη τὸ πνεῦμα τῶν ἰδίων ἀρχῶν καὶ ἐγένετο σύγκρασις, ἡ πλοκὴ ἐκείνη ἐκλήθη πόθος· αὕτη δὲ ἀρχὴ κτίσεως ἁπάντων· αὐτὸ δὲ οὐκ ἐγίγνωσκε τὴν αὐτοῦ κτίσιν· καὶ ἐκ τῆς αὐτοῦ συμπλοκῆς τοῦ πνεύματος ἐ-

γένετο Μώτ. τοῦτό τινές φασιν ἰλὺν, οἱ δὲ ὑδατώδους μίξεως σῆψιν. Καὶ ἐκ ταύτης ἐγένετο πᾶσα σπορὰ κτίσεως καὶ γένεσις τῶν ὅλων. (Ἦν δέ τινα ζῶα οὐκ ἔχοντα αἴσθησιν, ἐξ ὧν ἐγένετο ζῶα νοερὰ καὶ ἐκλήθη Ζωφασημὶν (α), τοῦτ' ἔστιν οὐρανοῦ κατόπται) καὶ ἀνε-

(α) Ζωφασημὶν' εἴη δ' ἂν τοῦτο ἑβραϊστὶ λεγόμενον Ζόφεσχαμαΐμ. Ἔνιοι μὲν τοὺς ἀγγέλους τὸ ῥῆμα τοῦτο δηλοῦν ὑπολαμβάνουσιν, ὡς ζῶα πάσης αἰσθήσεως ἀπηλλαγμένα. Κουμβερλάνδος δὲ νοεῖ ἀστέρας, μάλιστα δὲ τοὺς πλανήτας, οὓς ψυχήν τε καὶ νοῦν ἔχειν οὐ μόνον τῶν βαρβάρων οἱ θεολόγοι ἐδόξαζον, ἀλλὰ καὶ ἔνιοι τῶν Ἑλλήνων φιλοσόφων καὶ μάλιστα οἱ Στωϊκοί. Ἐρδέριος δὲ καὶ Βαγνέριος τὰ ἀδρανοῦντα καὶ οἱονεὶ καθεύδοντα σπέρματα ἢ τὰς μονάδας τῶν ζωϊκῶν καὶ ὀργανικῶν ὄντων ὑπολαμβάνουσιν. Ἔοικε δὲ τῇ ἑρμηνείᾳ ταύτῃ κῦρός τι περιάπτειν καὶ τὸ ἐφεξῆς· « καὶ πρὸς τὸν πάταγον τῶν βροντῶν νοερὰ ζῶα ἐγρηγόρησεν καὶ πρὸς τὸν ἦχον ἐπτύρη καὶ ἐκινήθη ἐν τῇ γῇ καὶ θαλάττῃ ἄῤῥεν καὶ θῆλυ. » Κάννιος δὲ τῷ Κουμβερλάνδῳ ὁμολογῶν τοὺς ἀστέρας νοεῖ ἢ μᾶλλον τοὺς τῶν ἀστέρων θεοὺς παραπλησίους ὄντας τοῖς ὑπὸ Περσῶν Φέρουερ καλουμένοις. Παραβλητέον μέντοι ταῦτα τὰ Ζωφασημὶν πρὸς τὰ τῷ Βηρωσῷ ἐν *Βαβυλωνιακοῖς* ἢ *Χαλδαϊκοῖς* εἰρημένα, ἅπερ πρώτας τινὰς καὶ τρόπον τινὰ ἀτελεῖς ἀποπείρας τῆς φύσεως ὑπεμφαίνει. (Βηρωσοῦ ἀποσπ. σ. 49 τῆς ἐκδ. Ῥιχτέρου). « Γενέσθαι φησὶ χρόνον, ἐν ᾧ τὸ πᾶν *σκότος καὶ ὕδωρ* εἶναι, καὶ ἐν τούτοις ζῶα τερατώδη ἰδιοφυεῖς τὰς ἰδέας ἔχοντα ζωογονεῖσθαι· ἀνθρώπους γὰρ διπτέρους γεννηθῆναι, ἐνίους δὲ καὶ τετραπτέρους, καὶ διπροσώπους καὶ σῶμα μὲν ἔχοντας ἓν, κεφαλὰς δὲ δύο, ἀνδρείαν τε καὶ γυναικείαν καὶ αἰδοῖά τε διττὰ, ἄῤῥεν καὶ θῆλυ, καὶ ἑτέρους ἀνθρώπους τοὺς μὲν αἰγῶν σκέλη καὶ κέρατα ἔχοντας, τοὺς δὲ ἱππόποδας· τοὺς δὲ τὰ ὀπίσω μὲν μέρη ἵππων, τὰ δὲ ἔμπροσθεν ἀνθρώπων, οὓς



πλάσθη ὁμοίως ᾠοῦ σχήματι καὶ ἐξέλαμψε Μὼτ ἥλιός τε καὶ Σελήνη, ἀστέρες τε καὶ ἄστρα μεγάλα » — « Καὶ

ἱπποκενταύρους τὴν ἰδέαν εἶναι· ζωογονηθῆναι δὲ καὶ ταύρους ἀνθρώπων κεφαλὰς ἔχοντας καὶ κύνας τετρασωμάτους, οὐρὰς ἰχθύος ἐκ τῶν ὄπισθε μερῶν ἔχοντας, καὶ ἵππους κυνοκεφάλους καὶ ἀνθρώπους καὶ ἕτερα ζῶα κεφαλὰς μὲν καὶ σώματα ἵππων ἔχοντα, οὐρὰς δὲ ἰχθύων καὶ ἄλλα ζῶα παντοδαπῶν θηρίων μορφὴν ἔχοντα . . . » Παρβλ. δὲ πρὸς ταῦτα καὶ τὰ τοῦ Ἐμπεδοκλέους·

σνζ'. πολλὰ μὲν ἀμφιπρόσωπα καὶ ἀμφίστερν' ἐφύοντο,
βουγενῆ ἀνδρόπρωρα, τὰ δ' ἔμπαλιν ἐξανέτελλον
ἀνδροφυῆ βούκρανα, μεμιγμένα τῇ μὲν ἀπ' ἀνδρῶν,
τῇ δὲ γυναικοφυῆ, διεροῖς ἠσκημένα γυίοις. κ. τ. λ.

Παρβλ. δὲ καὶ τὸν μῦθον, ὃν Ἀριστοφάνης ἐν τῷ συμποσίῳ τοῦ Πλάτωνος ἀφηγεῖται. Ταῦτα πάντα λείψανα παραδόσεων παλαιτάτων τοῦ ἀνθρωπίνου γένους ἡμῖν δοκεῖ ὄντα, ἄλλως ἀλλαχοῦ διὰ τῆς παρ' ἑκάστοις ἔθνεσιν ἠλλοιωμένης μυθολογίας ἠλλοιωμένα. τὸ γὰρ δόγμα τὸ περὶ ἀνδρογύνου θεοῦ (παρ' Ἰνδοῖς) ἢ θεῶν καὶ τὸ πρεσβύτατον χρόνῳ καὶ εἰς αἰῶνας ἀμνημονεύτους προςανιὸν τὸ περὶ τῆς κυκλοτεροῦς τῶν ὄντων ἐναλλαγῆς εἰς ἄλληλα καὶ τὸ τούτων ἐξάπαντος ἐχόμενον τὸ περὶ τῆς μετεμψυχώσεως (ἄλλο γάρ πού ἐστιν αὕτη ἡ ἐκ τῆς ἀφελοῦς τῶν ὁρατῶν ἐπισκέψεως ἔκπαλαι πορισθεῖσα καὶ τῶν ψυχῶν περιέλευσις καὶ ἄλλο ἡ δογματικὴ ἢ ἱερατικὴ χρῆσις αὐτῆς, ὡς τίσεως καὶ ἀνταποδόσεως) ἐκ παλαιτάτης κοσμογονίας ἴσως πάντα προῆλθεν. ἀξία δὲ λόγου πάντως ἐστὶ καὶ ἡ νεκυολατρεία τῶν ἡμιαγρίων ἢ ἡμιπαιδεύτων μάλιστα ἐθνῶν. — ὅτι δὲ τὰ πρόςθεν ὡς ἑρμηνείας τοῦ ἐν τῷ κειμένῳ χωρίου ὑπὸ τῶν σοφῶν ῥηθέντα οὐ πάνυ προςιέμεθα, φανεροί ἐσμεν, διὰ μέσου αὐτὸ ἐνθέμενοι, ὡς ἐπειςόδιόν τι ὄν.

τοῦ ἀέρος διαυγάσαντος διὰ πύρωσιν καὶ τῆς θαλάττης καὶ τῆς γῆς ἐγένετο πνεύματα καὶ νέφη καὶ οὐρανίων ὑδάτων μέγισται καταφοραὶ καὶ χύσεις. Καὶ ἐπειδὴ διεκρίθη καὶ τοῦ ἰδίου τόπου διεχωρίσθη διὰ τὴν τοῦ ἡλίου πύρωσιν καὶ πάντα συνήντησε πάλιν ἐν ἀέρι τάδε τοιοῖσδε καὶ συνέῤῥαξαν, βρονταί τε ἀπετελέσθησαν καὶ ἀστραπαὶ καὶ πρὸς τὸν πάταγον τῶν βροντῶν προγεγραμμένον νοερὰ ζῶα ἐγρηγόρησεν καὶ πρὸς τὸν ἦχον ἐπτύρη καὶ ἐκινήθη ἔν τε γῇ καὶ θαλάττῃ ἄῤῥεν καὶ θῆλυ. »

Ὥστε καὶ ταύτῃ τῇ κοσμογονίᾳ ἡ αὐτὴ θεωρία ὑπόκειται περὶ τῆς ἀρχῆς τοῦ κόσμου, ἀλλ' ἁμωσγέπως μετηλλαγμένη τε καὶ ἐνιαχοῦ τῆς ἑλληνικῆς μᾶλλον ἀνεπτυγμένη, καθ' ὅσον μάλιστα ὁ χωρισμὸς τοῦ Χάους καὶ τῆς Ἰλύος οὐκέτι ὡς κατ' ἀρχὴν γενόμενος λέγεται.

Τοὐναντίον δὲ ἐν τῇ Ἑβραϊκῇ κοσμογονίᾳ τὸ ζοφῶδες ὑγρόν, παρὰ τοῖς Ο' ἄβυσσος ἅμα καὶ ὕδωρ καλούμενον, ἐφ' οὗ πνεῦμα Θεοῦ ἐπέκειτο, πάλιν ὡς τὸ πρωτογενὲς χάος φαίνεται, ἐν ᾧ γε ὕστερον τὸ φῶς, τῷ παρ' Ἕλλησι Φάνητι ἀντιστοιχοῦν, δημιουργεῖται καὶ ἀπὸ τοῦ σκότους χωρίζεται· ὕστερον δὲ ὁ Οὐρανὸς καὶ ἡ γῆ καὶ θάλασσα ἀποχωρίζεται.

Ταύταις οὖν ταῖς παλαιτάταις κοσμογονίαις κοινὸν δόγμα ὑπόκειται τόδε· ὅτι τὸ Σύμπαν τόδε ἔκ τινος κατ' ἀρχὴν ἀορίστου, ἀειδοῦς καὶ ζοφεροῦ χάους γέγονεν, οὗ γε τὴν οὐσίαν παραπλησίαν μὲν τῷ ὕδατι, ὡς τῷ κατὰ πυκνότητα μεταξὺ ἀέρος τε καὶ γῆς μεσολαβοῦντι στοιχείῳ, οὐ μέντοι καὶ ταὐτὸν εἶναι ἡγοῦντο. Ταύτῃ δὴ τῇ πρωτογενεῖ οὐσίᾳ ἐνδοφυής τις κίνησις ὑπάρχει, ἥνπερ κατὰ τὸ μᾶλλον ἢ ἧσσον ὡς νοερὰν καὶ πρωτόγονον δύναμιν τῆς κινουμένης ὕλης χωρὶς οὖσαν ὑπελάμβανον. Ἐν δὲ τῇ παλαιᾷ Γραφῇ ὡς ἄμεσος καὶ προσωπικὴ βούλησις τοῦ Θείου Δημιουργοῦ ὑμνεῖται. Τοῦτο δὴ τὸ χάος κυκλοτερῶς κινούμενον, λαμβάνει κατὰ πρῶτον τὴν ἐξωτερικὴν μορφὴν τῆς σφαίρας ἢ τοῦ ζωηφόρου ᾠοῦ, ὅπερ ὡς πάντοθεν περαινόμενον, ἀπείρῳ τινὶ ἐκτὸς ἑαυτοῦ χώραν παρέχει· τοῦτο δ' αὖ τὸ ἄπειρον, ἐν ᾧ γε τὸ ᾠὸν κυκλοφορούμενον περιλαμβάνεται, αἰθὴρ ἀραιότατος καὶ πυροειδὴς ἐκέκλητο. Εἶτα δὲ τὸ ζωθαλπὲς ᾠὸν κατὰ σμικρὸν ἐπίτοκον γιγνόμενον, πρῶτον μὲν γεννᾷ τὸ φῶς, Φάνητα λεγόμενον, ἀλλὰ καὶ ὡς Μῆτις καὶ Ἔρως νοούμενον· εἶτα δὲ τοῦ Φάνητος ἐπὶ τοῦ τελειουμένου κόσμου ἐπιδρῶντος, πάντες οἱ λοιποὶ θεοί τε καὶ ἄνθρωποι καὶ πάντα τὰ ὄντα γίγνονταί τε καὶ εἶδος λαμβάνουσιν.

Τὴν αὐτήν που κοσμογονίαν ἔχοι τις ἂν καὶ ἐπὶ τῶν πάλαι Αἰγυπτιακῶν μνημείων ἐπιδεῖξαι, εἰ μή γε ὁλοσχερῆ, ἀλλὰ γοῦν κατὰ μέρη τινὰ σεσημειωμένην.

Καὶ γὰρ ἡ ἱερογλυφικὴ γραφὴ τοῦ Νοὺν, ὅπερ ἐπὶ τῶν Πτολεμαίων ἀντὶ τοῦ ὕδατος ὡς ἁπλοῦ στοιχείου ἐκλαμβάνεται, ἐδήλου κατ' ἀρχὴν τὸ ὑδατῶδες Χάος καὶ ἀεὶ ἐν ταύτῃ τῇ χρήσει ὑπῆρχεν. Εἴρηται δὲ ἐν τῷ πρόσθεν ὅτι ἡ λέξις Νοὺν ἔτι καὶ νῦν ἐν τῇ Κοπτικῇ φωνῇ διασέσωσται, τῇ ἑλληνικῇ λέξει Ἄβυσσος ἐν τῇ κοσμογονίᾳ ἀντιστοιχοῦσα.

Ἐκ τούτου δὴ τοῦ Νοὺν ἤτοι τοῦ χάους ἐκθρώσκει ὁ τοῦ Ἡλίου θεὸς Ῥᾶ καλούμενος, ὥσπερ πολλαχοῦ σαφῶς λέγεται, φέρ' εἰπεῖν ἐν τῇ περὶ τῶν νεκρῶν βίβλῳ 85, 1. «Ἐγώ εἰμι ὁ Ῥᾶ ὁ ἐκ τοῦ χάους (Νοὺν) προελθὼν ἡ προφανείς·» οὔτε γὰρ γεννᾶται οὔτε γίγνεται,

ἀλλὰ προφαίνεται καὶ αὐτὸς ἑαυτὸν γεννᾷ. Καὶ ἔν τινι ἐπιγραφῇ τῆς εἰκοστῆς δυναστείας ἐπὶ τινος τάφου ἐν Ἀνιβῇ, ἔνθα ὡς ἡλιακὸς δίσκος ἐπὶ νεὼς ὀχούμενος γράφεται, καλεῖται «ὁ Ἥλιος—θεὸς ἀμφοτέρων τῶν σφαιρῶν, ὁ μέγας θεός, ὁ ἐς ἀεὶ κύριος τοῦ Οὐρανοῦ, ὁ θεῖος Νοῦς, αὐτὸς ἑαυτὸν γεννῶν, χεπὲρ (= δημιουργὸς) ἐν μέσῳ τῆς ἑαυτοῦ νεώς, ὁ τὴν Αἴγυπτον καταυγάζων, ἐκ τοῦ Χάους προφανείς.» Σύνηθες δ' ἐπώνυμον τῷ Ἡλίῳ ἦν καὶ τὸ χεπὲρ τεσέφ, «ὁ αὐτὸς ἑαυτὸν δημιουργήσας» ἤτοι ἐκ τοῦ Χάους. Διὸ καὶ πατὴρ τῶν Θεῶν κέκληται ὁτὲ μὲν καθ' ἑαυτόν, ὁτὲ δὲ μετὰ τοῦ Ἄμμωνος συνημμένος ὡς Ἀμοὺν — Ῥᾶ ἢ καὶ συχνότερον ὡς Σουτὲν Νουτεροῦ, «βασιλεὺς τῶν Θεῶν.» αὐτὸς γὰρ πρῶτος, ἐν τῷ φωτὶ τῆς αὐτεπιγνώσεως, τοῦ συντετελεσμένου κόσμου ἀνάσσει. Ἡ γὰρ ἰδέα τοῦ πατρὸς ὡς πρώτη τῶν ὄντων ἀρχὴ ἔχοι ἂν ἀναφορὰν καὶ εἰς αὐτὸ τὸ χάος, ὃ δὴ διὰ τὴν ἐνοῦσαν αὐτῷ θείαν καὶ ζωηφόρον ἰδιότητα ἐπίσης «πατὴρ τῶν Θεῶν» οὐκ ὀλιγάκις προσαγορεύεται, οὐδέποτε μέντοι «βασιλεὺς τῶν Θεῶν.»

Ἐοίκασι δὲ οἱ πάλαι Αἰγύπτιοι τὸ ὑδατῶδες Χάος τῷ πᾶσαν μὲν τὴν Γῆν περικλύζοντι, αὐτὴν δὲ καὶ τὰς ῥίζας αὐτῆς φέροντι ὕδατι (α) ἀνταλλάξαι, ἐξ οὗ γε ἡ θάλασσα καὶ οἱ ποταμοί, κατ' ἐξοχὴν δὲ ὁ Νεῖλος ἐκβλύζουσι. Καὶ γὰρ οὕτως ἂν εἶχον τὸν Νεῖλον, ὥσπερ ὁ Ὅμηρος τὸν Ὠκεανὸν «πατέρα τῶν Θεῶν» προσαγορεύειν. Καὶ μὴν καὶ ἐν τῷ ναῷ τῷ ἐν Μεδίνετ Χαβού, ὃς ἐπὶ Ῥαμψῆ τοῦ Γ' ἐκτίσθη εἷς τῶν πολλῶν Νείλων

(α) Πανομοιότατον τῇ παρ' Ἰνδοῖς γεωγονίᾳ.



— Θεῶν αὐτό γε τοῦτο Νοὺν ἀποκαλεῖται ἤτοι Χάος ὑδατῶδες. Ἄλλος δέ τις τὸ εἰωθὸς ὄνομα τοῦ Νείλου φέρων Χαπὶ λέγει πρὸς τὸν βασιλέα· «ὀχετηγοῦμέν σοι τὰ ἱερὰ νάματα τὰ ἐκ τοῦ Νοὺν προεληλυθότα.»

Τέλος δὲ οὐδὲ τὸ περὶ τοῦ ᾠοῦ δόγμα τοῖς πάλαι Αἰγυπτίοις ξένον ὑπῆρχεν, οὗτινος τὸ σχῆμα τὸ Χάος παρειλήφει πρὶν τὸ τοῦ Ἡλίου φῶς αὐτοῦ ἐξέθορεν. Δηλοῖ δὲ μάλιστα τοῦτο ἤτοι ὅτι πάντων τῶν πρεσβυγενῶν ἐθνῶν αἱ κοσμογονίαι κατ' ἀρχὴν ἀλλήλαις συνῇδον ἢ ὅτι τὰ τοιαῦτα δόγματα παρὰ τῶν Αἰγυπτίων τὰ ἄλλα ἔθνη παρέλαβε. Δέδεικται γοῦν ὅτι οἱ Αἰγύπτιοι πάντων τῶν ἄλλων ἐθνῶν πρότερον τὰ τοιαῦτα ἐπρέσβευον.

Καὶ ἐν τῷ περιφήμῳ δὲ ναῷ Ῥαμψῆ τοῦ δευτέρου ἐν Θήβαις (τοῦτον ὁ Διόδωρος τῷ Ἑκαταίῳ ἑπόμενος ὡς τάφον τοῦ Ὀσυμανδύου περιγράφει), ὃς ἐν τῇ δεκάτῃ τετάρτῃ ἑκατονταετηρίδι πρὸ Χριστοῦ ἐκτίσθη, εὕρηταί τις προσηγορία τοῦ Θεοῦ Ῥᾶ, ὧδέ πως ἔχουσα· «ὁ τοῦ ᾠοῦ κινητής, ἐκ τοῦ Χάους ἐκλάμψας.» Νοεῖται τοίνυν ἐνταῦθα αὐτὸς ὁ Ῥᾶ ὡς ἡ τῷ ᾠῷ ἐνοῦσα δύναμις τῆς κινήσεως πρὶν ἢ τὸ φῶς ἐκ τοῦ Χάους ἐξέλαμψε· καὶ ἐν τῇ τῶν νεκρῶν βίβλῳ (17, 59) προσφωνεῖται «Ῥᾶ ὁ ἐν τῷ ἑαυτοῦ ᾠῷ ὤν.»

Οἱ παλαίτατοι ἄρα παρ' Ἕλλησι μῦθοι καὶ αἱ κοσμογονικαὶ παραδόσεις παρ' Ὁμήρῳ, Ἡσιόδῳ, τοῖς Ὀρφικοῖς καὶ τῷ πρεσβυτάτῳ τῶν Ἰώνων φυσιολόγων Θάλητι τῷ Μιλησίῳ (περὶ οὗ, ὡς καὶ πρότερόν που ἐλέχθη, σαφῶς παραδέδοται ὅτι συχνόν τε ἐν Αἰγύπτῳ χρόνον διέτριψε καὶ οὐκ ὀλίγας εἰς Ἕλληνας μαθήσεις ἐκεῖθεν διέδωκε) τοῖς ἔκπαλαι τῶν Αἰγυπτίων δόγμασι καὶ μέχρι

τῶν χρόνων τῶν Ψαμητίχων (α) καὶ ἔτι ὕστερον ἐντελέστατα συνᾴδουσι. Παρὰ δὲ τοῖς Ἕλλησιν ἡ φυσιολογία ἀπὸ Θάλητος τοῦ Μιλησίου ἀρξαμένη τὴν τετρακτὺν τῶν στοιχείων καὶ τὰς ἐν αὐτοῖς δρώσας δυνάμεις τὰς νοερὰς κατὰ σμικρὸν καὶ συστηματικῶς ἀνέπτυξεν.

Ἐκ τούτων τοίνυν καταφανὴς ἡ τοῦ σοφοῦ Αἰγυπτιολόγου γνώμη γίγνεται· ὅτι ἡ τῶν τεσσάρων στοιχείων ἰδέα οὐκ ἐξ Αἰγύπτου εἰς Ἑλλάδα μετέβη, ὥσπερ Ῥοίθιός τε καὶ Γλαδίσχιος ἐξ ἑτοίμου ἐδόξασαν, ἀλλὰ τοὐναντίον ἐξ Ἑλλάδος εἰς Αἴγυπτον ἐπὶ τῶν πρώτων Πτολεμαίων διεδόθη. Τοῖς δὲ δὴ ἱεροφάνταις τῶν Αἰγυπτίων, ἴσως αὐτῷ τῷ Μανέθῳ εὐχερὲς ἐγένετο ἐπὶ τὸ Αἰγυπτιακώτερον τὰ τοιαῦτα ἐκμυθεῦσαι, καθ' ὅσον περ ἡ ὑπόστασις αὐτῶν ἐν τοῖς παλαιτάτοις τῶν Αἰγυπτίων δόγμασιν ὡς πυρὴν ἐνυπολανθάνων ὑπῆρχεν.

Ὥστε πάλιν πᾶσαι αἱ κοσμογονίαι αἱ τὴν ἀρχὴν τοῦ κόσμου εἰς ὕδωρ ἢ ὑδατῶδές τι Χάος ἀνάγουσαι ἴσως ἐξ Αἰγυπτίων κατὰ τὸν Λέψιον, ὡς πάντων ἐθνῶν πρεσβυτάτων ὄντων τὸ πρῶτον προῆλθον (β), καὶ ἡ περὶ φύσεως τοῦ Θάλητος πραγματεία καὶ πολλαὶ ἄλλαι παρ' Ἕλλησι μαθήσεις ἐξ Αἰγύπτου τὸ πρῶτον ὡρμήθησαν. Καὶ γὰρ αὖθις φησὶν ὁ Λέψιος ὅτι ἀπὸ τῆς εἰκοστῆς ἕκτης Μανεθωνείου δυναστείας ἐπὶ τῶν Ψαμητίχων ἡ ἐπικοινωνία τῶν Ἑλλήνων πρὸς τοὺς Αἰγυπτίους ἔτι μείζων

(α) Οὕτω γράφει τὸ ὄνομα ὁ Λέψιος, ἄλλως Ψαμμήτιχος ἢ Ψαμμίτιχος γραφόμενον.

(β) Τοῦτο δ' ἡμεῖς γε οὐ πάνυ τι προσιέμεθα. Καὶ διὰ τοῦτο καὶ τὴν τῶν Ἰνδῶν, ὡς φύλου ἀ ρ ι α κ ο ῦ, κοσμογονίαν παρεθέμεθα. ἀλλὰ καὶ περὶ τούτου εἰςαῦθις.



κατέστη. Τῶν γὰρ Αἰγύπτου νῦν βασιλευόντων οὐκ ὀλίγη δύναμις ἐν Ἕλλησι μισθοφόροις ὑπῆρχεν. Ἑλληνικαί τε ἀποικίαι καὶ ἐμπορικαὶ ἐπιμιξίαι ὑπὸ τῶν βασιλέων ἐπροστατεύοντο· καὶ ἑνὶ λόγῳ οὕτω τὰ τῶν Ἑλλήνων ἐν Αἰγύπτῳ νῦν ηὐξήθη ὥστε καὶ γένος ἑρμηνέων παρ' Αἰγυπτίοις ἐδέησε καταστῆναι ἵνα ἔχοιεν Αἰγύπτιοι τοῖς Ἕλλησιν εὐχερέστερον ἐπιμίγνυσθαι, ὥς περ ἤδη ὁ Ἡρόδοτος μαρτυρεῖ τὸ τῶν Ἑρμηνέων γένος τοῖς ἄλλοις γένεσι τῶν Αἰγυπτίων συγκατατάσσων. Οὕτω πολυάριθμον τὸ γένος τοῦτο ἐγένετο. Ἐξ ἐκείνου μάλιστα τοῦ Χρόνου ἄνδρες ἄριστοι ἐν Ἕλλησι φανέντες, εἰς Αἴγυπτον ἐρχόμενοι παντοίας μαθήσεις ἐκεῖθεν εἰς Ἕλληνας μετεδίδοσαν, Θαλῆς ὁ Μιλήσιος καὶ Σόλων ὁ Ἀθηναῖος, Φερεκύδης τε ὁ Σύρος καὶ ὁ Πυθαγόρας, Κλεόβουλος ὁ Λίνδιος καὶ Ἑκαταῖος ὁ Μιλήσιος.

Ἔοικε δὲ ὡς οὐδ' ἡ ὑπὸ τοῦ Καμβύσου τῆς Αἰγύπτου κατάληψις ἐκώλυσε τοὺς Ἕλληνας τῆς εἰς Αἴγυπτον πορείας, καίτοι ἐχθρικῶς Ἑλλήνων τε καὶ Περσῶν κατ' ἐκεῖνον τὸν χρόνον πρὸς ἀλλήλους διακειμένων· ἐν τούτῳ γὰρ τῷ χρόνῳ ἀφίκοντο εἰς Αἴγυπτον Ἑλλάνικος, Ἀναξαγόρας, Ἡρόδοτος, Οἰνοπίδης, Δημόκριτος ὁ Ἀβδηρίτης, ὃς πέντε ἔτη ἐν Αἰγύπτῳ λέγεται διατρίψας. (α) Τῶν δ' ὕστερον εἰς Αἴγυπτον ἐλθόντων ὀνομαστότατοι Πλάτων τε καὶ Εὔδοξος ὁ Κνίδιος.

(α) Λέγεται δ' ὅτι Ὀστάνης ὁ Μῆδος, τῶν κατ' Αἴγυπτον ναῶν ἐπὶ Περσῶν τρόπον τινὰ ὡς Ἀρχιερεὺς ἐφορεύων, ἐτέλεσε τὸν Δημόκριτον τὰ παρ' Αἰγυπτίοις ἱερὰ ἐν τῷ ναῷ τῷ ἐν Μέμφιδι καὶ ἅμα τούτῳ Ἰουδαίαν τινὰ σοφὴν Μαρίαν καλουμένην καὶ τὸν Αἰγύπτιον Παμμένην.

Ὅτι μὲν οὗτοι οἱ ἐπὶ σοφίᾳ διαπρέψαντες ἄνδρες τὰς τῶν ἐλλογιμωτάτων ἐν Αἰγύπτῳ ἱερατικῶν ὁμηγύρεων ἑστίας ἐπεσκέπτοντο οὐχ ἵνα αὐτοὺς διδάσκοιεν, ἀλλ' ἵνα ὑπ' ἐκείνων διδάσκοιντο, παντί που δῆλον· ἀλλ' οὐχὶ καὶ τοὐναντίον ἡμῖν παραδέδοται ὅτι καὶ Αἰγύπτιοι ἱεροφάνται εἰς Ἑλλάδα ἀφικνοῦντο ἵνα παρ' Ἑλλήνων φιλοσοφίαν διδάσκοιντο. Ἀλλ' οὐδ' αὖ εὐλόγως ἄν τις ἰσχυρίσαιτο ὅτι πολυχρόνιος ὁμιλία τοιούτων μαθητῶν, οἷοι ἦσαν Θαλῆς, Πυθαγόρας, Δημόκριτος, Πλάτων, Εὔδοξος καὶ ἄλλοι οὐδεμίαν ῥοπὴν τὸ παράπαν ἔσχον πρὸς τὸ μεταβαλεῖν τι καὶ μεθαρμόσαι τῶν δογμάτων τῶν Αἰγυπτίων Ἱεροφαντῶν. Εἰ γάρ τι τοιοῦτο μέχρι τοῦ νῦν μηδὲν κατὰ μέρος ἐδείχθη, ἀλλὰ μηδενὶ ὅτῳ μὴ καταφανὲς ἂν γένοιτο ὅτι ἐν πολλοῖς ἄλλοις πράγμασι μεταβολὴ οὐχ ἡ τυχοῦσα ἐπῆλθε καὶ δὴ καὶ ἐν τῇ τέχνῃ ἀπὸ τῶν Ψαμμητίχων καθ' ἅπασαν τὴν Αἴγυπτον, ἣν μάλιςʼ ἄν τις τῇ νῦν δὴ τῶν Αἰγυπτίων ἐπιμιξίᾳ πρὸς ἄλλα ἔθνη ἀποδοίη.

Καὶ λόγον ἂν ἔχοιμεν ταύτην μάλιστα τὴν ἐν ἐπιστήμαις καὶ τέχναις πρότερόν ποτε Ἕλλησί τε καὶ Αἰγυπτίοις γενομένην ἐπικοινωνίαν πρὸς ἀλλήλους αἰτιάσασθαι ὅτι ἐν βραχυτάτῳ χρόνῳ ἀπὸ τῆς τῶν Ἑλλήνων ἐν Αἰγύπτῳ ἀρχῆς, ἐπ' αὐτῶν ἤδη τῶν πρώτων Πτολεμαίων, Ἕλληνές τε καὶ Αἰγύπτιοι διανοητικῶς ἀλλήλοις συνηρμόσθησαν καὶ ἡ Ἀλεξάνδρεια τῶν Ἑλληνίδων μουσῶν ἑστία κυριωτάτη κατέστη.

Οὕτως οὖν τῶν σοφῶν γνώμης ἐχόντων περὶ τῶν τοιούτων, οὐκ ἂν πάνυ εὐχερὲς εἴη τὴν ἑαυτοῦ γνώμην θαῤῥούντως ἀποφήνασθαι.

Ἔστι μέντοι (ὡς ἤδη ὑπηνιξάμην) καὶ γένος τρίτον σοφῶν τῶν περὶ τὴν Ἀσιατικὴν ἀρχαιολογίαν καὶ γλωσσολογίαν σπουδαζόντων, ὧν τὰ πάγκαλα συγγράμματα, μάλιστα δὲ τὰ ἔναγχος ἐκδοθέντα ἄλλα τε πλείστου λόγου ἄξια μετ' ἐπιστημοσύνης ἐμβριθοῦς, πραγμάτων πείρᾳ ἐχομένης, καὶ μετριότητος ἀξιαγάστου ἠκριβωμένα περιλαμβάνει, καὶ περὶ ἐπιμιξίας τῶν ἐθνῶν πρὸς ἄλληλα οὐκ ὀλίγα. Εὑρήσεις δ' αὖθις καὶ ἐν τούτοις τὸν σοφὸν Λέψιον πάνυ εὐδοκιμοῦντα.



Ἀνάγκη τοίνυν τὸν ἱστοριογράφον τῆς φιλοσοφίας πάντα ταῦτα εἰκότι λόγῳ ἀλλήλοις συναρμόσαντα, πολλὰς ἄλλας ἐπικουρίας εἰς τὸ ἔργον παραλαβεῖν, οἷον τὴν τῶν ἐπιστημῶν ἱστορίαν καὶ μάλιστα τῶν φυσικῶν καὶ μαθηματικῶν (α), τὴν κοινωνικὴν καὶ πολιτικὴν τῶν

---

(α) Ὁ σοφὸς Σελλέριος παραινεῖ τὸν ἱστορίαν τῆς παρ' Ἕλλησι φιλοσοφίας συγγράφοντα μὴ περὶ πάντων ἐν αὐτῇ διαλαμβάνειν, ὅσα καὶ οἱ πάλαι Ἕλληνες τῇ φιλοσοφίᾳ ἀπεδίδοσαν (καὶ ταῦτα λέγων οὐ διακρίνει τοὺς ἐξ ἐπαγγέλματος φιλοσόφους Ἡροδότου τε καὶ Περικλέους ἢ Στράβωνος καὶ τῶν τοιούτων !), ἀλλὰ τοσαῦτα παραλαμβάνειν, ὅσα περ αὐτῷ γε δοκεῖ τῇ φιλοσοφίᾳ προσήκειν. Ἥκιστα ταῦτα προσιέμεθα δι' ἄλλους μέν τινας λόγους, περὶ ὧν ἐν οἰκειοτέρῳ τόπῳ, ἀλλὰ καὶ διὰ τοὺς ἐφεξῆς· πρῶτον μὲν γὰρ ἡ οὕτω δὴ συγγεγραμμένη οὐκ ἂν ἦν αὐτό γε τοῦτο ἱστορία τῆς παρ' Ἕλλησι φιλοσοφίας, ἐπιστήμη τις αὐτὴ καθ' αὑτὴν οὖσα, ἀλλὰ προοιμιώδης μόνον εἰσαγωγὴ εἴς τι τῶν νεωτέρων σύστημα τῆς θεωρητικῆς ἢ πρώτης λεγομένης φιλοσοφίας. Δεύτερον δὲ καὶ ἡ νῦν δὴ λεγομένη φιλοσοφία, εἴπερ ἐν βιβλίοις κεχώρισται, οὐ κατ' οὐσίαν κεχώρισται, ἀλλὰ πλήθει τε μόνον καὶ μεγέθει. Εἰ γὰρ μὴ τὴν γραμματικήν, φέρ' εἰπεῖν, καὶ ῥητορικὴν καὶ συγκριτικὴν ἐθνογραφίαν καὶ πᾶσαν ἄλλην τέχνην ἢ ἐπιστήμην, ὡς αὐτὴν καθ' αὑτήν, ἐν τῇ φιλοσοφίᾳ περιλαμβάνομεν, τὴν περὶ γλώσσης ὅμως θεω-

φιλοσοφούντων ἐθνῶν κατάστασιν καὶ ὡς οἱ τόποι φύσεώς τε καὶ θέσεως εἶχον, ἐν οἷς γε τὰ ἔθνη δίαιταν ἔχοντα ἐφιλοσόφουν καὶ εἴπως καὶ τίσι τῶν ἄλλων ἐθνῶν ἐκοινώνουν καὶ ὡς εἶχον πρὸς ἐκεῖνα καὶ ἄλλα πάμπολλα, ὅσα ἀναφορὰν ἔχει εἰς τοιάνδε ἢ τοιάνδε τῆς τῶν ἀνθρώπων διανοίας ἔγερσιν. (α) Ἐντεῦθεν ἄρα δῆλον,

---

ρίαν καὶ τὴν αἰσθητικὴν τοῦ καλοῦ καὶ ἣν πεῖραν τοῦ καθόλου ἀνθρώπου ἐκ τῆς ἐθνογραφίας πορίζόμεθα, πάντως περιλαμβάνομεν· καὶ ἑνί γε λόγῳ πῶς ἂν ἐνδέχοιτο τὰς πρώτας τῶν ὄντων ἀρχὰς ἐλλόγως πορίζεσθαι παντάπασιν ἀγνοοῦντας, ὅθεν αὐτὰς προσήκει παραλαμβάνειν; Τί δὲ περὶ ἀστρονομίας καὶ ἄλλων ἐπιστημῶν ἄγχιστα τῆς κοσμολογίας ἐχομένων; Ἡ ἱστορία μιᾶς ἑκάστης τούτων τῶν ἐπιστημῶν διδάσκει ἡμᾶς ἐναργῶς πάνυ ὅσον ἡ τοιαύτη ἢ τοιαύτη περὶ τῶν τοιούτων γνώμη εἰς ἐπίδοσιν ἢ κώλυσιν τῆς φιλοσοφίας συντελεῖ. Ἐν δὲ λέγω θαῤῥούντως τόδε· ὅς ἂν τὰ περὶ τὴν ἀστρονομίαν ὅλως τῆς ἱστορίας τῆς φιλοσοφίας ἀπολείψῃ, οὗτος ἐπιλέλησται ὅσων ἡμῖν ἡ ἱστορία τῆς ἀστρονομίας παραδίδωσιν. ὁ πανθεϊσμὸς τοῦ Ἰορδάνου Βρούνου (Giordano Bruno) ἦν ὁ πρῶτος καρπὸς τοῦ ἀστρονομικοῦ συστήματος Νικολάου τοῦ Κοπερνίκου.

(β) Ἀλλὰ καὶ ταῦτα λέγοντες οὐ κατὰ πάντα τὴν τοῦ σοφοῦ Σελλερίου γνώμην δεχόμεθα λέγοντος ὅτι καθ' ὅσον ἐξοχώτερος ἀνήρ τις ἐπί τινι γέγονε καὶ πλείονα τοῖς ἀνθρώποις ὑπούργησε κατὰ τοσοῦτον καὶ ὁ ἴδιος χαρακτὴρ αὐτοῦ ἀφανίζεται· ἐπεὶ πᾶν ὅ,τι διεπράξατο πᾶσιν ἐνυπολανθάνον τρόπον τινὰ καὶ κοινὸν ὑπῆρχεν, ὅπερ πάντως ἔδει γενέσθαι. Τοῦτό γε δή, ὅπερ μᾶλλον τοῖς περὶ τὸν Ἕγελον προσιδιάζει, καί τοι μεγαλοπρεπῆ καὶ τοῦ ἀληθοῦς ἐγγυτάτω οὖσαν ἔννοιαν ἔχον, οὐ κατὰ πάντα ἀποδεχόμεθα, κράτος οὐκ ὀλίγον τῇ τοῦ ἰδίᾳ ἀνθρώπου βουλήσει καὶ ἐπινοίᾳ προσνέμοντες· οὐ γὰρ ἁπλοῦς



ἡλίκη ἡ ὠφέλεια ἐκ ταύτης τῆς ἐπιστήμης ἡμῖν προσγίγνεται. Ἐκ γὰρ τῶν ἐν αὐτῇ περιεχομένων ἀφορμὴν ἑκάστοτε λαμβάνοντες, ἓν δ' ἕκαστον αὐτῶν καθολικώτερον ἐξετάζοντες, τὴν ἀνθρωπικὴν φύσιν κατὰ τὰ κυριώτατα ἐπιγιγνώσκομεν. Τοῦτο δὲ τὸ πλεονέκτημα οὐ μόνον τῇ παρ' ἑκάστῳ τῶν πάλαι ἐθνῶν ἱστορίᾳ τῆς φιλοσοφίας πρόσεστιν, ἀλλὰ καὶ τῇ νέᾳ κοινὸν ἐπίσης ὑπάρχει, εἰ καὶ οἱ Ἱστοριογράφοι διά τε τὸ μέγεθος καὶ τὴν πληθὺν τῶν ἄλλων μαθήσεων, τὴν θεωρητικὴν φιλοσοφίαν καθ' ἑαυτὴν ὡς γ' ἐπὶ τὸ πολὺ πραγματεύονται. Οὐδεὶς γὰρ ἂν ὀρθῶς φιλοσοφήσειε τῶν γε τοιούτων μαθήσεων ἄμοιρος ὤν, ἐξ ὧν ἡ φιλοσοφία ὁρμωμένη, τὰ καθόλου πορίζεται. Οὐ γὰρ τὸ φιλοσοφεῖν μεταρσιολογίαις τισὶ χαίρειν καὶ γαυριᾶν ἐστιν, ἀλλ' ἐκ τῶν καθ' ἕκαστον, ὅσον περ αὐτῷ προσήκει, ὁρμώμενον τὰ καθόλου πορίζεσθαι καὶ ταῦτα ἐπιστημονικῶς εἰς καθολικώτερον συνάπτοντα, τὸ μάλιστα καθόλου ἤτοι τὸ ἀληθές, τὸ ἀγαθόν, τὸ ἥ γε δέον εἶναι ὂν Ἕν, ὅσα γε τἀνθρώπεια ἀεὶ ἐπιζητεῖν. Ἐκ δὲ δὴ τούτων δῆλον ὅτι ὁ τοιούτων γνώσεων ἄμοιρος, μάτην ἐπιχειρεῖ καὶ τὴν ἱστορίαν τῆς φιλοσοφίας κατὰ πάντ' ἐπ' ἀκριβὲς συνιέναι.(α).

---

ἑρμηνεῖς καὶ τελεστὰς τοῦ ἁπλῶς ἢ ἐναντίως ὑπάρχοντος τοὺς δαιμονίους ἄνδρας ἡμεῖς γε εἶναι ὑπολαμβάνομεν, ἀλλὰ τὸν ἰδίᾳ χαρακτῆρα αὐτῶν καθόλου γιγνόμενον, ἱστορικὴν ἀνάγκην ὕστερον καθίστασθαι. Ὥστε πλεῖστον ὅσον ἡμῖν ἐνδιαφέρει εἰδέναι καὶ οἷος ὁ χαρακτὴρ ἦν ἑνὸς ἑκάστου τῶν ἐν φιλοσοφίᾳ ἀναλαμψάντων ἀνδρῶν.

(α) Ἔτι δὲ καὶ τόδε σκεπτέον ὅτι ὁ νοῦς ὁ ἀνθρώπινος φιλεῖ μὲν ἀεὶ εὑρίσκειν ἅττα, ἀλλ' ὅταν τὰ ὑπ' ἄλλων ἤδη εὑρη-

Περὶ δὲ τῆς ὅλης φιλοσοφίας εὐλόγως ἄν τις εἴποι δύο περιόδους αὐτὴν μέχρι τοῦ δεῦρο διανύσαι. Τὸ μὲν οὖν πρῶτον, οἵα δὴ καὶ ἡ ἀνθρώπου ψυχὴ πέφυκε, συμπεφυρμένη πως ἦν μετὰ τῆς θρησκείας· εἶτα δὲ (ἵνα τὴν παρ' Ἕλλησιν ὀνομάσω) ἀπὸ τῶν κατὰ τὴν Ἰωνίαν φυσιολόγων χωρισθεῖσα, κατὰ νόμον ἀεὶ χωρὶς οὖσα ἐπὶ τὰ πρόσω προέβη, ἕως οὗ τρόπον τινὰ καμοῦσα καὶ ἐξαντληθεῖσα, πάλιν αὖθις εἰς ἓν μετά τινος θρησκευτικῆς συναισθήσεως, οὐκέτι νῦν ὡς τὸ πρὶν γνησίας οὔσης, ἀλλ' ὡς ἔπος εἰπεῖν ἐπιτετηδευμένης, συναφθεῖσα, θεουργικήν τινα καὶ μυστικὴν πραγματείαν ἀπετέλεσεν. Εἶτα δὲ καὶ ἄλλον τινὰ θρησκευτικὸν χαρακτῆρα κατὰ τὴν Εὐρώπην μάλιστα λαβοῦσα, διὰ λεπτολογίαν δὲ χαύνη ἄλλως τε καὶ μυστικὴ αὖθις καταστᾶσα, διὰ τοῦ ζόφου τῶν μέσων αἰώνων, ὡς ἐν ἁλουργεῖ ἀμφίῳ ἀπομεριμνηρίζουσα καὶ βαυκαλιζομένη, μέχρι τῆς τῶν ἐπιστημῶν ἀναλάμψεως περιεγένετο, ὁπότε πάντων μάλιστα Βάκων ὁ Βερουλάμιος τὸ Μοιρόπλεκτον ἔλυτρον, ἐν ᾧ γε ἀμφειλιγμένη ἦν, τῷ ξίφει τῆς Κριτικῆς δια-

θέντα, ταῦτα εὑρίσκῃ, ἀτυχεῖ πάνυ ἔοικεν ἐξαντλουμένῳ περὶ ταῦτα, ἅπερ ὤφειλεν ἤδη παιδείᾳ καλῇ καὶ εὐμεθόδῳ πρότερον ἱ σ τ ο ρ ι κ ῶ ς μαθεῖν. Οὕτω δὴ οὖν τὰ εὑρημένα ἤδη ἱστορίᾳ γιγνώσκων, ἀκμὴν δὲ καὶ σθένος ἴδιον ἔχων, εὑρίσκει καὶ τὰ οὔπω εὑρημένα. πᾶς οὖν βουλόμενος λυσιτελῶς φιλοσοφῆσαι, ὀφείλει πρότερον ἐπ' ἀκριβὲς τὴν τῆς φιλοσοφίας ἱστορίαν μελετῆσαι, ἵνα μὴ τὰ πολλάκις καὶ πολλαχῶς εὑρημένα εὑρίσκων, εὑρετικὸς δ' εἶναι δοκῶν, γέλωτα τοῖς ἄλλοις ὀφλισκάνῃ ὡς προσέληνος καυχηματίας. ταῦτα εἰρήσθω μοι τῇ τῶν Ἑλλήνων νεολαίᾳ.



ταμών, πάλιν αὖθις ὡς νεογνὸν εἰς φῶς ἐξήνεγκεν, οὐχ ὥς περ τὸ πρῶτον ἐπὶ Θάλητος τοῦ Μιλησίου νῦν ἔχουσαν, ἀλλὰ τοῦ πρόσθεν βίου ἀνάμνησιν διασώζουσαν. Οὕτως οὖν ἡ φιλοσοφία πάλιν ἀπὸ τῶν πρώτων ἀρξαμένη, πάσας σχεδὸν τὰς φάσεις καὶ ὡς ἔπος εἰπεῖν ἡλικίας διῆλθεν, ἃς καὶ ἐν τῇ πρώτῃ περιόδῳ, μείζονα δῆλον ὅτι πεῖραν νῦν ἔχουσα τῆς πρώην· ἐπὶ δὲ τὰ πρόσω ἀεὶ ἰοῦσα, ἐκ δευτέρου αὖθις ναρκωθεῖσα, θεουργικῇ νυκτὶ περιληφθεῖσα, χρόνον τινὰ καθευδούσῃ ἔοικε. Νῦν δὲ ῥοδοδάκτυλος ἠὼς τρίτης ζωῆς τούτῳ τῷ ἀθανάτῳ ἐν θνητοῖς ὄντι ἐπιφαίνεται, ὅπερ ἀναγεννώμενον, ἀεὶ μεῖζον κράτος καὶ ῥώμην προσλαμβάνει. Ἀναγεννᾷ δ' αὐτὴν αὐτή τε ἡ ἀπορία καὶ ἡ τῷ ἀνθρώπῳ ἐνδογενὴς καὶ ἄληκτος τοῦ ἀληθοῦς ἀναζήτησις. Ὁ γὰρ ἀπορῶν, εἰ μή τις σοφιστής ἐστι (σμηνουργεῖται δὲ τὸ γένος τοῦτο οὐκ ἐν τούτοις, ἀλλ' ἐν τοῖσι ἱερωτέροισι πρήγμασι), οὐ διά τινα δυσμένειαν ἢ ἐθελοκακίαν ἀπορεῖ, ἀλλὰ πεῖραν ἀμφιλαφῆ καὶ ἐναργῆ τῆς τῶν ὄντων φύσεως αὐτὸς λαμβάνων, τοὺς περὶ τὰ μετάρσια τῶν ἄλλων λόγους, ὡς οὐκ ἀποχρῶντας, εἰλικρινῶς ἀνασκευάζει. Τοῦτο τὸ γένος τῶν ἀπορούντων φυσιολόγων τε καὶ ἀρχαιολόγων ἢ ἱστορικῶν, εἰ καὶ ἔνιοι αὐτῶν ἐπὶ τῇ τῶν ἱεροπρεπῶν ὑπερφροσύνῃ χολούμενοι, ὑπερβολαῖς ἔστιν ὅτε χρῶνται, ἀναγγέλλουσιν ἡμῖν λιγέως μάλα τὸ ἑωθινὸν τῆς τρίτης ἀναγεννήσεως τῆς φιλοσοφίας. Ἀλλὰ τὸ ἔργον οὐχ ὡς ἄν τις εὔξαιτο ταχέως προβαίνει διὰ τὴν τῶν ἀντιπάλων ἱεροπρέπειαν, οἳ δὴ τοὺς περὶ τὴν ὕλην τε καὶ τὰ ἀνθρώποις βεβιωμένα ἐνασχολουμένους ὡς ὑλογενεῖς καὶ θνητοψύχους ἀπὸ τῆς ἐν Ὀλύμπῳ λευκῆς αἴγλης ὑπερορῶντες, κεραυνοφόρους ἐκτινάσσουσι

χρησμούς, ἀτασθάλους τινὰς καὶ ἀθέους καὶ τῶν ἀνθρώπων διαφθορεῖς τοὺς ἀποροῦντας ἀνακηρύσσοντες. Ἀλλὰ θαυμαστὸν εἰ μὴ μέχρι τοῦδε οἱ ἱεροπρεπεῖς φιλόσοφοι ἐπείσθησαν, τοσοῦτον χρόνον φιλοσοφοῦντες, ὅτι οὐδένα οὐδαμοῦ οὐδέποτε ἄνθρωπον ἄθεον ἀκτὶς ἡλίου ἐφώτισεν. Αὐτοὶ δὲ φιλάνθρωποι καὶ εὐσεβεῖς ὡς ἀληθῶς ἔσονται, εἰ πάντας τοὺς λόγους τῶν ἐπιστημονικῶς ἀπορούντων ἕνα πρὸς ἕνα φιλίως πάνυ μετ' αὐτῶν συνδυάζοντες καὶ ἀνασκεπτόμενοι, εἰς νέαν αὔξησιν τῆς φιλοσοφίας τὸ ἐπιβάλλον μέρος συντελέσουσιν (α).

(α) Ἀλλ' ἀντὶ τούτου ἀνέγνωμεν πολλάκις φράσεις, αἵτινες ἦθος ὀργίλον καὶ πάνυ ἀτέραμνον ἐλέγχουσι, φιλοσοφοῦντι δ' ἀνδρὶ ἥκιστα ἁρμόζον. — Ἀλλὰ καὶ αὐτὸς ὁ σοφὸς καὶ κόσμιος Λότζιος ἐν τῇ ἀξιολογωτάτῃ αὐτοῦ ψυχολογίᾳ, ὑ π ο θ έ σ ε ι ς μέν τινας ποιούμενος, σ κ ε π τ ι κ ῶ ς δὲ ἢ ἀ ρ ν η τ ι κ ῶ ς προσδεύων καὶ τοὺς ἧσσον ἰ σ χ υ ρ ο ὺ ς τῶν ἀντιπάλων λόγους παραλαμβάνων, εὐχερέστερόν πως αὐτοὺς καταμάχεται. — Ἀλλὰ τούτους μόνον τοὺς λόγους οἱ φυσιοδίφαι προφέρονται καὶ κατὰ ταύτην τὴν σχέσιν πάντες, καθ' ἥν γε ὁ Λότζιος αὐτοὺς διεξέρχεται; — Ἐχρῆν ἆρά γε ὑπὲρ τῆς ψυχολογίας ἢ φιλοσοφίας, ὡς ἑτέρας τινὸς οὔσης, ἀπολογηθῆναι, μόνους τοὺς λόγους παραλαβόντα, οἷς περ οἱ καθαπτόμενοι αὐτῆς χρῶνται, ἢ πολλῷ μᾶλλον τὰ ἐκ πάσης τῆς περὶ τὴν φύσιν θεωρίας παντοίως συναχθέντα καὶ παντοίως εἰρημένα συγκεφαλαιωσάμενον ἐπιχειρῆται ὅσον οἷόν τε μετὰ τῆς προκειμένης πραγματείας συμβιβάσαι; Οὐ γὰρ ἂν ἔχοιμεν τὸν λόγον νοῆσαι, ᾧπερ ὁ σοφὸς οὗτος ἀνὴρ πεισθεὶς, οὕτως ἀπελογήθη, εἰ καὶ ἐγκρατέστατος τῶν τοιούτων ὢν τυγχάνει, εἴπερ τις καὶ ἄλλος. — Ἄλλοι δέ τινες αὐτοὶ μὲν τῶν περὶ τὴν φύσιν ἥκιστα φροντίζοντες τοὺς λόγους μέν τοι τῶν φυσικῶν ἀναβάλλονται ἐπανορθῶσαι, τέχνῃ τῇ λογικῇ πρὸς τοὔργον χρώμενοι. ἀλλ' ἀμνημονοῦσι μέχρις οἴκτου ὅτι πρώτιστος νόμος τῆς λογικῆς ὅδε ἐστίν· ὃς ἂν μὴ ἀκριβῶς πάνυ τὰς μείζονας καὶ ἐλάσσονας προτάσεις ἐπίστηται, ἡμαρτημένως πάνυ συλλογισθήσεται. —

Ἀλλ' ὅταν οἱ ἰδεολόγοι τοὺς περὶ τὴν φύσιν σπουδάζοντας ἀξιῶσι πρὸς τὰ ἑαυτοῖς δοκοῦντα, ὡς πρὸς φαεινὸν ἥλιον ἀναβλέπειν καὶ εἰς αὐτὰ πᾶσαν τὴν ἐμπειρίαν αὐτῶν προςανάγειν, ἴστωσαν ὅτι οὐδὲν ἄλλο αὐτοὺς κελεύουσιν ἢ τῆς ἑαυτῶν ἐπιστήμης ὀλιγωρήσαντας, τῶν μαθηματικῶν ἄγχιστα ἐχομένης καὶ τῆς ἀναγκαιοτάτης μεθόδου, δι' ἧς μόνης ἐπὶ τὰ πρόσω χωροῦσι, δόγματα παραλαβεῖν ἀναπόδεικτα, ἅπερ ὡς ἑτερογενῆ ἐξάπαντος τὰς ἐμπειρικὰς ἐπιστήμας παραβλάπτει. ἀλλ' ὁ φυσιοδίφης, εἴπερ τι ἄλλο, ὀφείλει καὶ τοῦτο φυλάσσεσθαι, μηδὲ ἓν ἔξωθεν παραλαμβάνειν, ὃ ἡ πεῖρα μήπω ἐκύρωσεν, ὥστε μὴ ἐπιμεμφέσθωσαν ἰσχυρογνωμοσύνην ἢ ἐθελοκακίαν τοῖς ἐπαινετῶς πάνυ τὴν ἰδίαν ὁδὸν βαδίζουσιν.



ἔριδες δὲ καὶ λογομαχίαι, μίση τε καὶ διαβολαὶ οὐχ ἔστι φῶς ἀλλὰ γνόφος τὴν ἀλήθειαν ἐπικρύπτων.

Τῇ ψιλῶς δογματικῇ φιλοσοφίᾳ οἱ νῦν δὴ γνησίως φιλοσοφοῦντες εἶπον ἤδη τὸν ἐπιτάφιον. (α) Τὸ φλό-

(α) Ὁ σοφὸς Ῥοίθιος παγκάλως λέγει ὧδε· (ἐν τῷ Α. Τ. σ. 16.) « καθόσον ἡ πεῖρα αὔξεται, κατὰ τοσοῦτον καὶ ἡ ψιλῶς θεωρητικὴ γνῶσις μειοῦται.» Ταύτην ἡμεῖς τὴν θεωρητικὴν γνῶσιν ἄνευ πείρας τινὸς προηγηθείσης ἀποκαλοῦμεν ὁρμὴν ἢ πτέρωμα τῆς ἐν ἡμῖν αὐτοῖς ὑπαρχούσης συναισθήσεως· ἀλλά γε τὸ πτέρωμα τοῦτο σπανιώτατα Πλατωνικὸν ἀποβαίνει, ὡς δ' ἐπὶ τὸ πλεῖστον Ἰκάρειον. Ἀληθὲς μὲν οὖν ὅτι ἡ πεῖρα καὶ πάνυ ἀμφιλαφὴς καταστᾶσα, οὐδέποτε μέντοι οἵα τε ἔσται τὸ ὅλον ἀποπληρῶσαι, ὃ δὴ ἀναντιῤῥήτως, εἰ καὶ μὴ κατὰ πάντα

γιον, ἡ σμίλη, ὁ ὑέλινος φακός, αἱ συντετριμμέναι πλάκες, οἱ ἀλλόκοτοι καὶ δυσξύμβλητοι γρῖφοι, αἱ γεωγραφικαὶ ἀνακαλύψεις, ἡ συγκριτικὴ γραμματική, μυθολο-

---

ἐφικτόν, μᾶλλον τοῦ ἐποπτικοῦ Νοῦ ἔργον ὑπάρχει. Ἀλλὰ γὰρ ἐπειδὴ ἡ πεῖρα, ὅσα γε τἀνθρώπεια, τὸ ἀληθὲς καὶ ἐξ ἀναλογίας βέβαιον παρέχει, τὸ ἄλλως πιθανὸν χαίρειν ἐῶσα (καὶ γὰρ καὶ τὸ μὴ ὁρατὸν ἤτοι τὸ νοητὸν κατὰ τὸ ὁρατὸν νοοῦμεν· οὐ γὰρ τὸ ὂν κατά γε τὸ ὁρατὸν εἶναι χωλαίνει, ὥς τινές φασι· τὸ δ' ὁρατὸν ἐναργείᾳ πλεονάζον ἐστὶ τοῦ μὴ ὁρατοῦ, ὡς ἀμφοτέρων μετέχον, νοητόν τε ἅμα ὂν καὶ ὁρατόν· ἐναργέστερον δὲ ὂν δῆλον ὅτι ἐγγυτέρω ἡμῶν τὸ πρῶτον ὑπάρχει ἢ τὸ νοητόν. γίγνεται δ' εἶτα τὸ νοητὸν ἐναργέστερον τοῦ ὁρατοῦ, ἐπειδὰν διά τινος περαιτέρω λειτουργίας τῶν κατὰ μέρος ἀπαλασσόμενον, καθολικώτερον καὶ δὴ καὶ ἁπλούστερον γένηται· φύσει γὰρ τὸ ἁπλοῦν ἐναργέστερον τοῦ συνθέτου. Ἀλλὰ λέγομεν αὖθις τὰ καθ' ἕκαστον νοητὰ ἀμυδρότερα τῶν καθ' ἕκαστον ὁρατῶν ὑπάρχει, ὡς δηλοῖ καὶ ἡ πρώτη τῆς γλώσσης ἀρχή τε καὶ γένεσις· ὁ δὲ δὴ Λότζιος τοὐναντίον λέγων τῷ Πλάτωνι κατὰ πόδας ἀκολουθεῖ.) δῆλον ὅτι προὐργιαίτατόν ἐστι καὶ παντὶ φιλοσοφικῷ συστήματι τρόπον τινὰ μακροβιότητα παρέχον, εἰ τὴν ὑπάρχουσαν πεῖραν πάντοθεν συνάγοντες, εἰς τὸ φιλοσοφεῖν παραλαμβάνομεν. Τοῦτον δὲ τὸν τρόπον καὶ αἱ λοιπαὶ ἀναλογίαι, αἷς ὁ νοῦς εἰς ὅσον οἷόν τε συμπλήρωσιν τοῦ ὅλου προσχρήσεται, μείζονος πιθανότητος μεθέξουσι καὶ τῆς ἀληθείας οὐ πόρρω πάνυ ἴσως ἔσονται. Ἀλλὰ γὰρ φαίη τις ἂν τῶν νεωτέρων πολιτῶν τὸ ὀρθῶς φιλοσοφεῖν σύ γε ὅλως ἀνέφικτον τοῖς θνητοῖς ἀνέφηνας, εἴπερ πάσας μὲν τὰς ἐμπειρικὰς ἐπιστήμας ὡς ἐπικουρίαν δέον παραλαβεῖν, μίαν δὲ ἑκάστην αὐτῶν ἴσμεν πάντες πάντα τὸν βίον τοῦ ἀνθρώπου εἰς ἐξακρίβωσιν ἀπαιτοῦσαν. κελεύσαιμ' ἂν αὐτῷ εὖ μάλα θαῤῥεῖν. Οὐ γὰρ ἀναγκαῖον κατὰ λεπτὸν πάντα ὁμοίως μετέρχεσθαι,



γία καὶ ἐθνογραφία, πολλὰς μεγαλοπρεπεῖς καὶ ἐν αἰθέρι φαεινῇ φαντασιοδμήτους θεωρίας ὡς πομφόλυγας διέλυσαν. Τὴν σήμερον ὁ νοῦς ζητεῖ πρότερον ἀλήθειαν

---

ἀλλὰ τὰ κεφαλαιωδέστερα αὐτῶν δεόντως. Ἡ δὲ βαθύσοφος Γερμανία ἄφθονα συγγράμματα καὶ πάγκαλα καὶ τερπνότατα παρέχει σοι δι' ὧν εἰς τὸ ποθούμενον προσαναβήσῃ τέλος.

Ἄλλος δέ τις ἴσως ἐρεῖ, ἄπειρος ἄν τις εἴη ὁ τῇ πείρᾳ βεβαιοτάτην ἀλήθειαν ἀποδιδούς· καὶ γὰρ ἵνα του πεῖραν λάβῃς εἴτε ὡς κινουμένου εἴτε ὡς γιγνομένου εἴτε πάσχοντος εἴτε φθειρομένου καὶ τῶν τοιούτων, οὐκ ἀνάγκη πᾶσα τὰς πρώτας καὶ ἀληθεστάτας αἰτίας αὐτῶν εἰδέναι, ἀλλ' ὡς ἐπὶ τὸ πλεῖστον νομικοί τινες τύποι ἢ συνδυασμοὶ ἱκανοί εἰσι τά γε τοιαῦτα διασαφηνίζειν. ὥστε αὐτὴν τὴν ἀλήθειαν ἥκιστα διὰ τῆς πείρας λαμβάνεις. Ἐῤῥέθη μὲν ταῦτα, ἀλλ' οὐκ ὀρθῶς ἐῤῥέθη. πρῶτον μὲν γὰρ οὐ χωλήν τινα πεῖραν ἡμεῖς γε νοοῦμεν, τὰ ἐγγὺς μόνον καὶ τὰ πρὸ τῶν ὀφθαλμῶν στέργουσαν, ἀλλὰ τὴν εἰς τὰ πρῶτα αἴτια ἐκ τῶν ἐνόντων ἀναφέρουσαν. Δεύτερον δὲ ὅταν ὁ νοῦς πρὸς τῇ πείρᾳ ὢν λέγῃ, τοδὶ τὸ αἴτιον δεικνύει μέν μοι τό γε νῦν συμβαῖνον, ἀλλ' οὐκ αὐτό ἐστι τὸ αἴτιον τὸ ἀληθές, τοῦτό, φαμεν, τί δηλοῖ; ἆρά γε ὅτι ὁ νοῦς ἄλλοθέν ποθεν τὴν ἀλήθειαν προγιγνώσκων, οὐχ εὑρίσκει αὐτὴν ἐν τῷ παρόντι πράγματι;— Πλάνη φιλοσοφική! ἐν αὐτῇ γὰρ τῇ πείρᾳ πάλιν καὶ δι' αὐτῆς τῆς πείρας καὶ κατὰ τὸν συνειρμὸν τῶν ἐν τῇ πείρᾳ προκυπτόντων λέγει ὅτι οὐχ ἡ ἀληθὴς αἰτία ἡ τοιαύτη ἢ τοιαύτη τοῦ προκειμένου πράγματός ἐστιν. — Ἄλλος δ' ἐμπεσών, ὁρᾷς, φησίν, ὅτι τὸ τοιοῦτον ἔργον τῆς φιλοσοφίας ἐστὶ καὶ οὐ τῶν ἐμπειρικῶν ἐπιστημῶν; τῇ γὰρ διανοίᾳ ὁδηγούμενος ἀναζητεῖς τὴν πεῖραν· διάνοια δὲ τὸ ὄργανον τῆς φιλοσοφίας· φιλοσοφία ἄρα ὁδηγὸς τῶν ἐμπειρικῶν ἐπιστημῶν καὶ ἄλλα τοιαῦτα λέγων, ἅπερ φωνασκίαι καλοῦνται. Ἀλλὰ τίς εἶπέ σοι ὅτι πεῖραν λέγοντες ἀποβάλλομεν τὸν νοῦν; Τοῦτο

βεβαίαν κατὰ πάντα τὰ μέρη ἀκράδαντον ἵνα τὸ ὅλον
ἀπαρτίσῃ. Καὶ τὸ μάλιστα καθόλου πρὸς ὃ ὁ ἄνθρωπος
φύσιν ἔχει ὁρμᾶσθαι, οὐκέτι ἐκπλήσσει καὶ ἐκθαμβοῖ
αὐτὸν ὡς πολυτελὲς ἔργον ἄνθρωπον ἰδιώτην. Τεθραμ-
μένος δὲ ἤδη ἐν τοῖς τοιούτοις, σκοπεῖ αὐτὸ πάντοθεν
ὑπ' αὐγάς, εἴπερ τοῦ ἀληθοῦς μετέχει, ὥσπερ καὶ ὁ τῶν
καλῶν ἔργων κριτικὸς οὐ πρὸς τὸ εὐανθὲς τῶν χρωμά-
των, οὐδὲ πρὸς τὴν τοῦ ἐλέφαντος ἢ τοῦ χρυσοῦ ἢ τῶν
τιμαλφῶν λίθων αἴγλην πτοεῖται, ἀλλ' αὐτὸ τὸ ἔργον
ἀνενδότως ἐξετάζει, εἴπερ τοῦ ἀληθοῦς μεταλαγχάνει·
ἄνευ γὰρ τοῦ ἀληθοῦς καὶ πᾶσα τέχνη κούφη καὶ ψυχρὰ
ἀποβαίνει. Σήμερον πᾶσα ἐπιστήμη ἱστορία πως κατέ-
στη αὐτῆς γε ταύτης τῆς ἐπιστήμης, κατ' αὐτοὺς τοὺς
περὶ τὸν Ἔγελον νοουμένη· ἡ θεολογία ὡς ἐ π ι ς ή μ η,
ἱστορία τῶν θρησκευμάτων· ἡ ἀστρονομία, ἱστορία τῆς
ἀστρονομίας· ἡ ψυχολογία, ἱστορία τῆς ψυχολογίας· ἡ
λογική, ἱστορία τῆς λογικῆς· καὶ ὅλη δὲ ἡ φιλοσοφία
ἱστορία τῆς φιλοσοφίας τὰ νῦν καθέστηκεν. (α) Ἄπειρός

μόνον ζητοῦμεν, μὴ ἐὰν ἀχαλίνωτον τὸν νοῦν ἀφίστασθαι ἀπὸ τοῦ ζητουμένου καὶ εἰς ἀλλοτρίαν χώραν εἰσπηδᾶν καὶ τὰ ἐν αὐτῇ κείμενα ὡς ἴδια ἔργα ἐκλαμβάνειν, βρενθυόμενον μάλα καὶ γαυριῶντα· τοῦτ' ἔστι τῷ νῷ ἀποδίδομεν ὅ,τι αὐτὸς διὰ τῆς ἑαυτοῦ ἐνεργείας εὑρίσκει καὶ κατ' ἀναλογίαν συμπληροῖ, οὐχὶ δὲ καὶ ὅσα οὐδ' ὁπωςτιοῦν αὐτῷ προςήκει, οὐχὶ ὅσα ἀφάτῳ τινὶ συναισθήσει προςήκει.

(α) Ἔπιθι τὸ πάγκαλον σύγγραμμα περὶ Ἀβεββόου καὶ Ἀβεββοϊσμοῦ τοῦ σοφοῦ Ρενᾶνος (προοίμ. σ. ϛ, ζ'.). — Ἐλλόγως δ' ἂν τις εἴποι περὶ τοῦ σοφοῦ Ροιθίου (Τ. Α. σ. 68 κ.φ.ξ.) ὡς οὐ κατὰ σμικρὸν οἴεται τὸν ἄνθρωπον τὴν ἀλήθειαν ἐπιγιγνώσκειν, ἀλλ' ἐξαίφνης καὶ τρόπον τινὰ ὁρμῇ μιᾷ εὐεπήβολον



τις μάλα εἴποι ἂν ὅτι οἱ νῦν φιλοσοφοῦντες ἄρα ἐκλε-
κτικοὶ πάντες γεγόνασιν. λελήθοι γὰρ ἂν αὐτὸν ὅτι οἱ
μὲν ἐκλεκτικοὶ τὴν φιλοσοφίαν ὡς συντετελεσμένην ἤδη
ὑπὸ τῶν πεφιλοσοφηκότων ὁμοῦ λαμβανομένων ἐκλαμ-
βάνουσι· πᾶσάν τε τὴν ἀλήθειαν, οἷον ἑκασταχοῦ διε-
σπαρμένην κεῖσθαι. ὥστε ἔργον τοῦ φιλοσοφοῦντος εἴη
ἂν κατ' αὐτούς, οἷόν περ καὶ τῶν χρυσὸν καὶ πολυτί-
μους λίθους ἐν ἐρειπίοις ἀναζητούντων, ἑκασταχόθεν
ὅ,τι χρήσιμον καὶ τιμαλφὲς αὐτοῖς δοκοίη παραλαμβά-
νειν, τὸ δὲ λοιπὸν ὡς σποδὸν ἢ ἐν σποδῷ καταλιμπά-
νειν. ὁ ἐκλεκτικῶς ἄρα φιλοσοφῶν μαρασμὸν ἐλέγχει
καὶ παρακμὴν φανεράν· ἀδυνατῶν γὰρ αὐτὸς τροφὴν
ἑαυτῷ παρασκευάσαι, ἥδεται τοῖς ἀλλοτρίοις, παντάπα-
σιν ὀκνηρὸς ὤν· μᾶλλον δὲ εἴποι τις ἂν ὅτι τέθνηκεν

αὐτῆς γίγνεσθαι. Τοῦτο μὲν δὴ ὁ Ροίθιος οὐκ ἀναφανδὸν ἀνεβάλετο εἰπεῖν, ἀλλ' εἴ τις ἂν τὰ ὑπ' αὐτοῦ λεχθέντα εἰς ἓν συνάψειεν, ἀποδώσει πάντως αὐτῷ τὴν τοιαύτην γνώμην. ἵνα δὲ κάλλιον ὑποδηλώσωμεν ὅ,τι νοοῦμεν, λέγομεν ὅτι εἴπερ οἱ πρόσθεν φιλοσοφήσαντες ὀρθῶς τῆς φιλοσοφίας τὸν ὁρισμὸν ἀπέδοντο, καθ' ἥν γε πεῖραν καὶ μάθησιν τότ' εἶχον, τόδε πάντως συμβήσεται· ἕκαστος τῶν ὕστερον ὁρισμῶν περιλήψεται ἐν ἑαυτῷ τὸν πρόσθεν καὶ ὁ ἔσχατος πάντας ἅμα τοὺς πρότερον· ὥστε εἴπέρ τις τὸν ἔσχατον ἀναλύσειε, σχολῇ γε τῷ σοφῷ ἀνδρὶ ὁμολογήσει, λέγοντι ὡς οὐδὲν ὅμοιον τῇ νῦν δὴ φιλοσοφίᾳ καλουμένῃ ἐν τῇ πρότερον εὑρήσει. πολλῷ δ' ἂν μᾶλλον ἡμεῖς γε φαίημεν ὅτι τὰ ἐν τῷ ἐσχάτῳ περιλαμβανόμενα δίκην σπερμάτων ἐν τοῖς πρότερον ἐνυπολανθάνοντα εὑρήσει. Πρὸς ταῦτα ἄρα φανῶς ἀντιβαίνει, ὅσα καὶ αὐτὸς ὁ Ροίθιος ἐν τοῖς ἔμπροσθεν εἴρηκε (σ. 17 καὶ 21). πρβλ. Ἱσ. τῆς Φιλ. ὑπὸ Ἐγέλου Τ. Α. σ. 44, 51.

ἤδη· ζωὴ γάρ ἐστι τὸ προοδεύειν ἀεί· πρόοδος δ' ἀΐδιος οὐκ ἐν πεπερασμένῳ τινὶ ἐνδέχεται, ἀλλ' ἐν ἀτελευτήτῳ· ὃς γὰρ ἂν πρὸς τὰ ὀπίσω στραφεὶς τὸ παρελθὸν μόνον θεᾶται, εἴ τις ἂν ἀνὴρ μεγάλαυχος εἴη, εἴτις φιλόσοφος, στήλη ἁλὸς γίγνεται, ὡς ὁ ἐκλεκτικός. ἀλλὰ καὶ ὃς ἂν τὰ πάντα φροῦδα καὶ μάταια νοῶν τε καὶ συναισθανόμενος, τὴν ψυχὴν ὁσημέραι παχνῶται, εἰ μὴ αὐτόχειρ ἐν φιλοσοφίᾳ γίγνεται, ἀλλὰ μάτην γοῦν διατελεῖ μεμψιμοιρῶν τε καὶ ἀπελπιστῶν· τοῦτον αὖ ἡ Νέμεσις εἰς λίθον ψυχρὸν τέλος μετέβαλεν. Τοιοῦτός ἐστιν ὁ Σκεπτικός. Διὰ δειλίαν δέ τινα ὁ ἐκλεκτικὸς πᾶν σύστημα φεύγων, λανθάνει ἑαυτὸν συστήματι τῷ ἀσυναρτήτῳ τυφλῶς πως ἑπόμενος. Τὸ ἄκρον δ' ἐναντίον λεκτέον περὶ τοῦ νῦν φιλοσοφοῦντος· ὁ γὰρ νῦν φιλοσοφῶν ἀνὴρ ἐνεργείας πλέως ἐστὶ καὶ ἀκμαῖος, συμπληρῶσιν ἢ ἀνανεόχμωσιν τοῦ ὑπάρχοντος ἐπιζητῶν, ἄτρυτος ἐν πόνοις καὶ ἀκάματος, θείῳ ζήλῳ Ἀληθείας διακαιόμενος. Ἀφωμοίωσε δέ τις τῶν πάνυ σοφῶν ἐν Γερμανίᾳ τὸν παρόντα αἰῶνα πρὸς τὸν τῶν Ἀλεξανδρέων, εἰπὼν ὅτι ὥσπερ οἱ Ἀλεξανδρεῖς ζητητικοὶ μὲν σφόδρα τῶν πάλαι διεγένοντο, αὐτοὶ δὲ ὀλίγα παράγοντες, οὕτω καὶ οἱ νῦν τὰ πάλαι κείμενα ζητοῦντες. Εἰ καὶ τὸν ἄνδρα ὡς ἐπιστημονέστατον εἰς ἄκρον σεβόμεθα, θαρροῦντως αὐτῷ λέγομεν ὅτι οἱ ἔξοχοι ἐξόχοις ἀπάταις ἔστιν ὅτε περιπίπτουσι· τὸ ἄκρον ἐναντίον τῆς γνώμης τοῦ σοφοῦ ἀνδρὸς ῥητέον· ὁ γὰρ νῦν αἰὼν ἐκ διαμέτρου ἀντίκειται τῷ Ἀλεξανδρινῷ, καί τοι κατὰ τὸ φαινόμενον αὐτῷ ὁμοιάζων· ὁ γὰρ Ἀλεξανδρεὺς ἀδυναμίᾳ τοῦ καινὰ παράγειν ἔστεργε μετὰ πόθου τοῖς παλαιοῖς, τροφήν τε ἐξ ἐκείνων ἀναζητῶν καὶ ζωήν. ἐζήτει δὲ κατ' εἶδος τὰ



πάντα, σχεδόν τι πρὸς οὐδὲν ἄλλο ἀποβλέπων ἢ πρὸς τὸ μανθάνειν τὰ καθ' ἕκαστον, ὡς εἶχε· μέγιστον δ' αὐτῷ τῶν πόνων καὶ μόχθων γέρας ἦν ἡ ὅσον οἷόν τε ἐγγυτέρα μίμησις τῶν πάλαι καὶ οὐχ οἷοί τ' ἐγένοντο, ὥσπερ οἱ νῦν, νοῆσαι ὅπως ὁ τῆς Εἱμαρμένης μέγας τροχὸς ἀεὶ ἐπὶ τὰ πρόσω κυλίεται, ἀλλ' αὐτοί πως ἐμποδὼν γενόμενοι παλιντροπῆσαι αὐτὸν ἐπειράθησαν. ὁ δὲ νῦν ἄνθρωπος ἀναζητεῖ τὰ καθ' ἕκαστον ἵνα τὸ ὅλον συμπληρώσῃ· ὅσον δ' ἀνθρωπικῇ διανοίᾳ ἐφικτὸν ἑκασταχόθεν τὸ καθόλου παραλαμβάνων, ἐπιχειρεῖ νῦν ἐναρμόνιον τὸ μάλιστα καθόλου ἀναδεῖξαι· ὥστ' οὐκ ἂν ἔχοιμεν ἡμεῖς γε ὁμολογῆσαι οὐδ' εἴ τινες τῶν φιλοσοφούντων μεμψιμοιροῦσιν ὅτι τὰ ἑαυτῶν οὐ παρὰ τῇ νῦν τῶν ἀνθρώπων γενεᾷ εὐδοκιμοῦσιν, ὡς φιλοσοφίας πάμπαν ἀφεστηκότων, οὐδ' εἴ τινες τῶν ποιητῶν ἢ ἄλλων καλλιτεχνῶν αὐτά γε ταῦτα τοῖς συγχρόνοις ἐπιμέμφονται. πεποίθαμεν γὰρ ὅτι οὐδέποτ' ἐν τῷ πρόσθεν οἱ ἄνθρωποι τοσοῦτον ἐφιλοσόφησαν, ὅσον περ τὰ νῦν· πεποίθαμεν ὅτι οὐδέποτε οἱ ἄνθρωποι οὕτως ἔμπειροι καὶ ἐπιστήμονες τῶν καλῶν ἦσαν, ὅσον περ τὰ νῦν. Ἀλλ' ὅταν τινὲς τῶν φιλοσοφούντων παντάπασι τῶν παρόντων ὀλιγωροῦντες, ἐνζήλως πάνυ πολεμοῦντες, τῶν πρόσθεν δογμάτων λιπαρώτερόν πως ἀντέχωνται· ἔνιοι δὲ τῶν ποιητῶν ὡς διὰ μαγικῆς τινος ῥάβδου ἀνεγείρωσιν ἡμῖν Ὀλυμπίους θεοὺς καὶ μαρμαρίνους ἀνδριάντας, περιάπτοντες αὐτοῖς τὰ νῦν δὴ ἐθιζόμενα· ζωγράφοι δέ τινες ζωγραφῶσιν ἡμῖν τὴν Θεοτόκον μετὰ τῶν ἀγγέλων ὡς εὐσταλῆ καὶ ἐξαυγῆ κυρίαν μύρου ἥδιστον ἀποπνέουσαν καὶ ὑπὸ χρυσοπαρύφων περιπολουμένην οὐδὲν θαυμαστόν, ὡς ἐγῷμαι, εἴπερ οἱ νῦν θνητοὶ ὅλως

ψυχροὶ πρὸς τὰ τοιαῦτα δείκνυνται. ὁ τλήμων ἄνθρωπος, φύσιν ἔχων ἀεὶ ἑαυτοῦ τε καὶ τῶν ὁμοίων ἐφίεσθαι· ψυχροὺς δ' ἀνδριάντας ἐναγκαλίζεται ὁ Διογένης πρὸς ἐπίδειξιν. ὁ τλήμων ἄνθρωπος, πῦρ ἐν ἑαυτῷ ἔχων, πῦρ ζητεῖ καὶ φῶς ἀεί. πῦρ ἔλασσον πυρὶ μείζονι τρέφεταί τε καὶ ἁγνίζεται· πῦρ καὶ φῶς ἐστιν ἡ ἴυγξ, δι' ἧς ἀφεύκτως ὁ ἄνθρωπος ἐπᾴδεται· τούτων δὲ στερούμενοι, τί αἰτιῶνται τοὺς ἄλλους; Ἐξ αὐτῆς δὲ ταύτης τῆς ψυχρότητος, ἣν πρὸς τὸ δεῖνα ἢ δεῖνα φιλοσόφημα οἱ νῦν ἄνθρωποι δεικνύουσι, φανερὸν ὅτι εἴπερ ποτε καὶ νῦν φιλοσοφοῦσιν. Ἡ γὰρ τοιαύτη ψυχρότης οὐκ ἐξ ἀναλγησίας τινὸς καὶ ἀμαθίας τῶν γε νῦν ἀνθρώπων προέρχεται, ἀλλὰ πολλῷ μᾶλλον ἐκ γνώσεως καὶ ἐμπειρίας, ἥτις τὸν ἐν ἔμφρονι καὶ καθεστηκυίᾳ ἡλικίᾳ ἄνδρα ἀπτόητον καὶ ἀνέκπληκτον πρὸς ῥήματα μεγαλοπρεπῆ ἀποκαθίστησιν. ἥκιστα τοίνυν μεμπτέον τοὺς νῦν δὴ θνητοὺς ὡς ἀφιλοσόφους ὄντας, διότι ἕνα πρὸς ἕνα τοὺς λόγους παντὸς θεωρήματος ἀπαιτοῦσι· μηδὲ διαβλητέον αὐτοὺς ὡς ὑλογενεῖς τινας καὶ τῶν θείων ἀμελεῖς, διότι τὰ ἐν θρησκείᾳ πρεσβευόμενα καὶ ἐνδίκως ὑμνούμενα ἐν φιλοσοφίᾳ οὔπω προσίενται, ὡς τῆς φιλοσοφικῆς ἀληθείας ἔτι ἀπολειπόμενα, ἔνια δ' αὐτῶν καὶ τὸν πάντα αἰῶνα ἀπολειφθησόμενα.

Καιρὸς ἤδη ἀκριβῶς νοῆσαι ὅτι πᾶν ἄλλο ἡ θρησκεία ἐστὶ τῆς φιλοσοφίας, εἰ καὶ κατὰ τὴν ἔκφανσιν ἀλλήλαις πλησιάζουσιν («Θρησκεῖαι τῶν πάλαι ἐθνῶν [Συμβολικὴ Κρευζερίου]» ὑπὸ Γιγνιώτου. Τ. Α. Μέρ. 6ον σ. 523 κ.φ.ξ. παράβαλε τὴν θεωρίαν τοῦ σοφοῦ Γοιρρεσίου πρὸς ὅπερ ἡμεῖς ἐν τῷ πρόσω τοῦ λόγου τείνομεν.) (α). Καὶ

(α) Εἰ καὶ ἡ φιλοσοφία συχνόν τε χρόνον τῇ θρησκείᾳ οἷον ἐμπεπορπημένη ἀρχῆθεν ἦν καὶ ὕστερον αὐτῆς τῇ διανοίᾳ ἐκλυθεῖσα καὶ αὐτὴ καθ' αὑτὴν προελθοῦσα συχνάκις αὐτῇ εἰς ταὐτὸν αὖθις συνεκεράσθη, οὐ μέντοι ταὐτὸν κατ' οὐσίαν ἑκατέραν ἑκατέρᾳ ἡμεῖς γε εἶναι ἡγούμεθα, οὐδ' ἂν λυσιτελὲς εἴη ἀλλήλαις αὐτὰς οὕτω συμμιγνύναι. Διακριτέον γὰρ ἐναργῶς τὸ γενόμενον τοῦ δέοντος γενέσθαι. ὅτι μὲν οὖν ἡ φιλοσοφία, εἰ καὶ μὴ πάντοτε, ἀλλὰ συχνάκις τῇ θρησκείᾳ συνημμένη ὑπῆρξε, φανερόν· ὅθεν καὶ ὁ τὰ κατὰ καιροὺς φιλοσοφήματα ἐπεξιών, ὀφείλει πάντως καὶ τῶν θρησκευτικῶν δογμάτων εἰς ἐπίσκεψιν ἔρχεσθαι· ἀλλὰ φανερὸν ἐπίσης ἡμῖν δοκεῖ ὅτι ἡ θρησκεία καὶ φιλοσοφία κατὰ τὴν ἐξωτερικὴν μόνον φάσιν ἀλλήλαις πως συνέρχονται, κατ' οὐσίαν μέντοι οὐδ' ὁπωστιοῦν. Ὅσοι γὰρ συνάφειάν τινα δέχονται τῆς θρησκείας καὶ φιλοσοφίας πρὸς ἀλλήλας ἤτοι ἐξωτερικήν τινα λέγουσιν, ἤγουν κατὰ τὴν ἔκφανσιν, ὅπερ οὐδεὶς ἀρνεῖται· ἢ ἱστορικήν, τὸ γενόμενον ἀφηγούμενοι· ἔνιοι δ' αὐτῶν καὶ ὡς τὸ δέον γενέσθαι ἐκλαμβάνοντες.



εἰ μὴ ἦσαν καὶ ἄνδρες δαιμόνιοι τὴν θρησκείαν καὶ φιλοσοφίαν ὡς ταὐτὸν ἄμφω εἰς ἓν συμμίξαντες, ἐκινδύνευεν ἄν τις εἰπεῖν ὅτι ὅσοι τοῦτο ποιοῦσιν οὔπω ἐς

Οἱ δὲ περὶ τὸν Ἕγελον οὐ μόνον τὴν θρησκείαν τῇ φιλοσοφίᾳ ταὐτίζουσιν, ἀλλὰ καὶ τὴν ἱστορίαν τῇ φιλοσοφίᾳ. Ταῦτα δὲ δαιμονίως πάνυ ἐν δαιμονίοις λόγοις, κάλλεσιν ἀρρήτοις πεπυκασμένοις διεξέρχονται, οἵτινες τοῖς ἀναγιγνώσκουσιν, εἴπέρ τι καὶ ἄλλο, πλείστην ὅσην ὠφέλειαν καὶ θυμηδίαν παρέχουσιν (Κούνων Φισχέριος, δαιμόνιος ἀνήρ, ἐν τῇ ἱστορίᾳ τῆς νεωτέρας φιλοσοφίας. Τόμ. Λψ ). Ἀλλὰ γὰρ τολμητέον ὑπαινίξασθαι ἐπὶ τοῦ παρόντος τάδε.

Ὥσπερ ὁ φιλοσοφῶν ἄνθρωπος ἀπὸ τῶν κατὰ μέρος ἐννοιῶν ὁρμώμενος, τὸ καθόλου ἀεὶ ἐπιζητεῖ· οὕτω καὶ ὁ δρῶν, ἀπὸ τῆς τῶν καθ' ἕκαστον πράξεως ὁρμώμενος, εἴς τι ἀνθρωπικὸν

δέον τὴν τοῦ ἀνθρώπου φύσιν διέγνωσαν, ἀλλὰ τρόπον τινὰ ἥσσονες ἑαυτῶν κατά γε τοῦτο φαινόμενοι, οὕτω φιλοσοφοῦσιν· οὕτω δὲ φιλοσοφοῦντες, ἄληκτα πάθη,

---

καθόλου ἀεὶ τείνει, ὑπό τε τῆς διανοίας ἤδη καὶ τῆς συναισθήσεως συμπεπληρωμένον. Ἀλλὰ καὶ τοῦτο τὸ καθόλου πειρώμενος ἐπιτελέσαι, ἀεὶ ἀπολείπεται, μυρίων ἄλλων ἐμποδίων αὐτῷ περὶ τὴν ἐκτέλεσιν γιγνομένων. Τὸ μὲν οὖν φιλοσοφεῖν ἐνέργειά τις φαίνεται κατά γε τοῦτο ἐλευθέρα· ἀλλ' οὐκ ἐξ ἴσου ἐλεύθερόν ἐστι καὶ τὸ δρᾶν. — Καὶ ὡς ἐν ἄλλῳ γε λόγῳ δηλῶσαι· ἡ φιλοσοφία ἐστὶ τάσις ἀτελεύτητος πρὸς αὐτὴν τὴν κατ' ἐξοχὴν ἀλήθειαν· ἡ δ' ἱστορία τάσις πρὸς ἐκτέλεσιν ἐκείνης μόνης τῆς ἀληθείας, ἥν περ ἡ φιλοσοφία ἤδη ἐναργῶς ἀνεῦρε καὶ ἡ συναίσθησις συνεπλήρωσεν· ἀλλ' οὔτε ἡ φιλοσοφία τῆς ὅλης ἀληθείας εὑρετική ἐστιν, οὔτ' αὖ ἡ ἱστορία τῆς ὅλης ἀληθείας, ἥν περ ἡ φιλοσοφία παρέσχεν καὶ ἡ συναίσθησις ἐκύρωσεν ἐκτελεστική. Φιλοσοφίας μὲν οὖν γενναῖόν τι βάθος ἐχούσης τεκμήριον τόδε· ὅταν τὴν ἀτέλειαν αὐτῆς συναισθανώμεθα μέν, ἀλλ' ἥκιστα νοῶμεν· τὸ γὰρ ὅσον οἷόν τε τελέως φιλοσοφεῖν, ὅσον οἷόν τε τελέως νοεῖν ἐστιν· τῆς γε μὴν ἱστορίας τὴν ἀτέλειαν οὐ μόνον συναισθανόμεθα, ἀλλὰ καὶ ἀεὶ νοοῦμεν. Συμπληρωτικὴ τοίνυν τῆς μὲν φιλοσοφίας ἡ θρησκεία, τῆς δὲ ἱστορίας ἥ τε φιλοσοφία καὶ ἡ θρησκεία. Ἀλλ' οὔτε ἡ φιλοσοφία ταὐτὸν τῇ θρησκείᾳ ἐστίν, οὔτ' αὖ ἡ ἱστορία ταὐτὸν τῇ φιλοσοφίᾳ. Ἀλλὰ φιλοσοφίας μὲν καὶ ἱστορίας κοινὸν ἡ Ἀνάγκη· ἡ δὲ θρησκεία κρεῖσσον καὶ τῆς Ἀνάγκης. Ἀνάγκη μὲν γὰρ ἐκ τοῦ (ἀνθρωπικοῦ) Νοῦ προάγεται· θρησκεία δὲ ἐξ ὑψηλῆς τινος καὶ ἀθεράτου καὶ τῷ Νῷ ἀλήπτου συναισθήσεως. Πρεσβυτάτη τοίνυν πασῶν ἡ θρησκεία, τῆς δὲ ἱστορίας ἡ φιλοσοφία.

Ἱστορίαν δὲ λέγοντες ἐνταῦθα οὐ τὴν ἐν χρόνῳ κ α τ ὰ ν ό μ ο ν ἀλληλουχίαν τῶν καθόλου τεθέντων νοοῦμεν ἤγουν τὴν



μίση τε καὶ ἔχθρας τῷ ἀνθρωπίνῳ γένει ἑκόντες ἢ ἄκοντες παρασκευάζουσιν, ἀμφότερα διαβάλλοντες καὶ ἐν φιλοσοφίᾳ οὐδὲν πλέον ποιοῦντες. Τὴν γὰρ τῆς ψυχῆς ἀθανασίαν, ἕνα Θεὸν πανάγαθον καὶ ἑνί γε λόγῳ, ὅσα ἐν τῷ ἱερῷ Εὐαγγελίῳ περιλαμβάνεται, πάντες πιστεύομεν· ἀλλὰ τὴν πίστιν ταύτην οὔ τις δύναμις διαλεκτικὴ ἡμῖν ἐνέτηξεν, ἀλλ' ἀθέσφατος, λόγου δὲ οἱουδήποτε κρείσσων τις συναίσθησις, θείῳ τινὶ φωτὶ ἐλλαμφθεῖσα, αὐτό γε δὴ τοῦτο κατά τινα θείαν ἀποκάλυψιν παντὶ ἀνθρώπῳ ἡ πίστις ἐνειργάσθη, οὐχὶ τοιάνδε ἢ τοιάνδε, ἀλλὰ κατά τινα τῇ ἡμετέρᾳ διανοίᾳ ὅλως ἄληπτον οὖσαν. Οἱ προφῆται καὶ ἱεροὶ ἄνδρες καὶ τῆς θρησκείας ἀρχηγοὶ οὔτε τῇ Παρμενίδου καὶ Ζήνωνος διαλεκτικῇ ἐχρήσαντο οὔτε τῇ Πλάτωνος, ἀλλὰ πνεῦμα ἱερὸν διὰ τῶν λόγων τοῖς ἀνθρώποις ἐνεφύση-

---

ἱστορίαν τῆς φιλοσοφίας, ἥ γε δὴ αὐτὴ τῇ φιλοσοφίᾳ ταὐτόν ἐστιν, προείπομεν, ἀλλὰ τὴν ἐν χρόνῳ κ α τ ὰ ν ό μ ο ν ἀλληλουχίαν τῶν πεπραγμένων. Ὁ γὰρ ἄνθρωπος, ὡς ὂν φιλοσοφικόν, εὑρίσκει τι τῇ διανοίᾳ, ὅπερ ἐπιχειρῶν ἐπιτελέσαι, μυρίοις που ἐντυγχάνει κωλύμασιν. ὥστε ὁ φιλοσοφῶν πολλῷ πλείονα ἐν νῷ ἔχει τῶν ἐν ἀνθρώποις τελουμένων· καὶ τοῦτο τὸν πάντα αἰῶνα συμβήσεται. περὶ δὲ τῆς αἰτίας αὐτοῦ οὐ καιρὸς ἐν τῷ παρόντι. οὐδ' αὖ τὴν φιλοσοφίαν τῆς ἱστορίας αὐτῇ τῇ φιλοσοφίᾳ ἓν καὶ ταὐτὸν ἡμεῖς γε λέγομεν. καὶ γὰρ ἐκ τῆς ἱστορίας τῶν ἤδη τετελεσμένων αὐτὴν πορίζεσθαι ὀφείλομεν, ἀλλ' οὐ τὰ ἄλλως τῇ διανοίᾳ εὑρημένα εἰς αὐτὴν βίᾳ πως ἐπεισάγειν. Δοκεῖ δ' ἡμῖν ἡ διάκρισις αὕτη λυσιτελεστάτη εἰς γαλήνην τε καὶ ἠρεμίαν ψυχῆς ὑπάρχειν. Καὶ γὰρ τοὺς τὰ τοιαῦτα συγχέοντας ὁρῶμεν ἢ καθ' ὑπερβολὴν τὸ ἀνθρώπειον ἀποθεοῦντας ἢ καθ' ὑπερβολὴν αὐτὸ μεμφομένους.

σαν, τὴν ἐν τῇ ψυχῇ συναίσθησιν μάλιστα κινήσαντες, τὴν δὲ διάνοιαν, καθ' ὅσον ἐν τῇ ἑαυτῆς ἐκφάνσει ἡ συναίσθησις ἐκείνη συνέρχεται. Ἀλλὰ τὴν τῆς ψυχῆς ἀθανασίαν, τὸν Θεὸν καὶ πάνθ' ὁπόσα ὁ φιλόσοφος εἰλικρινεῖ τῇ διανοίᾳ ἤτοι τῇ διαλεκτικῇ, αὐτῇ τῇ φιλοσοφίᾳ καθ' ἑαυτὴν τῆς θρησκείας πάμπαν κεχωρισμένῃ διδάσκει, οὐ πιστεύομεν· τὸν Θεόν, ὃν καὶ ἄριστος φιλόσοφος ἡμᾶς διδάσκει, θαυμάζομεν μὲν καὶ σεβόμεθα, πλὴν οὔπω πιστεύομεν· καὶ ὡς ἐν ἄλλῳ λόγῳ εἰπεῖν, ὁ Θεὸς τοῦ φιλοσόφου οὔπω τὴν ἡμετέραν ψυχὴν ἀποπληροῖ. Καὶ εἴπερ ὁ φιλοσοφῶν ὀρθῶς φιλοσοφεῖ, οὐδ' ὁπωστιοῦν ἐπὶ τῇ ἡμετέρᾳ δυσπιστίᾳ ἀγανακτήσει. Τὸν Θεὸν τοῦ φιλοσόφου οὐ πιστεύομεν τίνος ἕνεκεν; ὅτι ἔργον διανοίας ἀνθρώπου ἐστὶν, ὅπερ οὐδ' ὁ πᾶς αἰὼν συντελέσει. ὁ Θεὸς ζῇ οὐχὶ δι' ἐμέ, ὦ φιλόσοφε, ἀλλ' ὁ Θεὸς ζῇ ἐν ἐμοί. Εἰ δ' ἐθελήσεις τοῦτο τὸ ἐν ἐμοὶ ζῶν τῷ λόγῳ ἑρμηνεῦσαι, πολλὰ μὲν καλὰ καὶ σεμνὰ ἐρεῖς, ἀλλ' εὖ ἴσθι ὅτι πάντες οἱ λόγοι σου οὐκ ἐξισωθήσονται τῇ ἐν ἐμοὶ συναισθήσει.

Μεγαλώνυμός τις φιλόσοφος τὸν ἐν ἀνθρώπῳ νοῦν ταὐτὸν εἶναι τῷ καθόλου νῷ εἰπών, τὰ πάντα δὲ νοῦν εἶναι, ἑαυτὸν ἀναζητοῦντα, τόν τε καθόλου καὶ τὸν ἐν ἑκάστῳ ἀνθρώπῳ νοῦν αὐτὸν τὸν Θεὸν εἶναι ἀπεφήνατο, ὃς τὰ πάντα εἰδέναι δύναται· οὐδὲν ὅ,τι μὴ καταληπτὸν ἂν εἴη τῷ τε καθόλου Νῷ καὶ τῷ ἀνθρωπικῷ· ὁ ἀνθρωπικὸς νοῦς παντοδύναμός ἐστι τὰ πάντα δυνάμενος νοῆσαι.

Ἔστι καὶ σιγᾶς ἀκίνδυνον γέρας·

ὅμως δ' οὖν τολμητέον εἰρῆσθαι ταῦτα· οὐ γὰρ περὶ σμικροῦ τινος πρόκειται, ἀλλὰ περὶ τοῦ «γνῶθι σαυτόν.»



— Ὅταν τις τῶν καλῶν τι ὁρᾷ, κόρην, φέρ' εἰπεῖν, καλήν τε καὶ χαρίεσσαν, ἀλλόκοτά τινα συμβαίνει αὐτῷ πάσχειν· ἡ ἀπὸ τοῦ προσώπου χάρις, ὡς αἰθὴρ αἰγλήεις κυματίσας, ἔθηξε τὴν ψυχὴν τοῦ θεωμένου, ἥτις θορυβηθεῖσα καὶ ἐκκαυθεῖσα, διὰ τῶν ὀμμάτων αὐτοῦ ἐξέλαμψε· ταύτην δὲ τὴν κύμανσιν καὶ ὡς ἔπος εἰπεῖν ἀνταύγειαν γαλήνη μετ' ἀναμνήσεώς Τινος διαδέχεται, ὡς ἐν παρελθόντι χρόνῳ οἰκείου ποτὲ αὐτῷ γεγονότος, ὅπερ κατὰ τὸ πλεῖστον αὐτὸς ἐν ἑαυτῷ ἀρύεται· καὶ ἐκ τούτου γλυκυθυμία τις ἄφατος καὶ διάχυσις καὶ πόθος φλογερὸς ἐν τῇ ψυχῇ ἐντήκεται, ὃν ἔρωτα οἱ ἄνθρωποι καλοῦσιν. Ἐπειδὰν δὲ τὸ πάθος τοῦτο τροφὴν ἐν τῇ ψυχῇ ἀμβροσίαν λαβὸν ἐπιῤῥωσθῇ, θαυμαστότερά τινα τῶν πρόσθεν ἀπεργάζεται· ὁ τοῦ καλοῦ γὰρ ἐρῶν οὐκέτι ὡς τὸ πρῶτον θαῤῥούντως ὁρᾷ, ἴτης τις ὢν καὶ ἀνερυθρίαστος, ἀλλ' ἄρχεταί πως τὸ ἐρώμενον εὐλαβεῖσθαι· ὅταν γὰρ αὐτὸ αὖθις προσιὸν ἴδῃ, θρόησίν τινα καὶ ταραχὴν ἐν τῇ ψυχῇ αἰσθάνεται καὶ ἱδρῶτα ψυχρὸν κατὰ τὸ σῶμα, αὐτό γε τοῦτο σφοδρῷ ἔρωτι τὰς φρένας πτοεῖται. καὶ πολλῷ μᾶλλον βούλοιτ' ἂν ἀπὸ παραβύστου τινὸς λανθάνων, ὁρᾶν τὸ ἔχον τὸ κάλλος καὶ αὐτῷ τὸν πάντα αἰῶνα ἐντρυφᾶν τε καὶ διαγεῖσθαι· καὶ ἡ ψυχὴ ἀνησυχεῖ καὶ ὡς ἔπος εἰπεῖν θρηνεῖ· βασιλεύεται ἀλλ' οὐ βασιλεύει, ὥσπερ ὁ νοῦς ὅταν νοῇ τι.(α)

(α) Ecce deus fortior me; veniens dominabitur mihi. Apparuit jam Beatitudo nostra. — ὁ θεῖος ποιητὴς Δάντης περὶ τῆς Μακαρίας αὐτοῦ ἐρωμένης καὶ τόδε ἔλεγεν· « Ella non pareva figliuola d'uom mortale, ma di Dio» κατὰ τὸ Ὁμηρικόν·

οὐδὲ ἐῴκει
ἀνδρός γε θνητοῦ παῖς ἔμμεναι, ἀλλὰ θεοῖο.

(vita nuova di Dante Alighieri I, Cap. A.)

Ἀλλὰ χαίρειν ἐάσαντες τοῦτο τὸ παράδειγμα, λάβωμεν ἕτερον ἀμιγές τε καὶ θεῖον ὅλως. Αὐτὸ τὸ Καλὸν τὸν πάντα κόσμον περιπολοῦν τε καὶ θάλπον, ψυχῇ ἁγνῇ καὶ ἀτεχνῶς θείᾳ ἀμφελιχθὲν, ὡς οὐρανία αἴγλη ἐν χρώμασιν ὑπὸ χειρὶ αὐτῷ ἀντηυγάσθη, εἶδος ἀκήρατον τῆς Θεοτόκου λαβόν· ὅταν τις τὸ θεῖον κάλλος τῆς Θεοτόκου τοῦ Ῥαφαὴλ ὁρᾷ, αἰσθάνεται ἔνδον τὴν ψυχὴν ὑπὸ πυρὸς τηκομένην καὶ διαχεομένην αὐτῷ ὅλην, ὥς πέρ τινι συγγενεῖ ἑαυτῷ ὄντι· καὶ τὸ κάλλος τοῦτο αὐτὸ μὲν καθ' αὑτὸ δι' ἁγνότητα μακάριον ὄν, ἀλλὰ πενθίμως πως τὸ ἀνθρώπειον ἐπιβλέπον, ἀτελεύτητόν ἐςι καὶ ἄπειρον, εἰς ἀπλέτου ὠκεανὸν φωτὸς καὶ μακαριότητος ἡμᾶς ἀνάγον, ὡςπεροῦν καὶ ἡ γλυκερὰ τοῦ Μοζάρτου φωνὴ εἰς τὰ ἀπέραντα κύματα τῆς θεσπεσίας τοῦ Σύμπαντος ἁρμονίας ῥοίβδῳ ἱερῷ ἀναβιβάζει. Ἀλλ' ἡ τλήμων ψυχὴ πτεροφυήσασα καὶ εἰς ἱκανὸν ὕψος ἀναπτομένη, ἀπολείπεται τέλος, καὶ ἀπολειπομένη πενθεῖ τε καὶ ἀνησυχεῖ.

Ὅταν τὰς αἰθρίας κορυφὰς ὑψηλοῦ ὄρους ἀναβὰς, τὸ ὄμμα μου εἰς τὸν χρυσόγλαυκον κόλπον τῆς μητρὸς φύσεως βυθίζω, ὅλος τῷ κάλλει τούτῳ διαχέομαι ἀμαρυγὴ δ' ἀστέρος εἰς ἀμαρυγὴν ἀστέρος ἀνάγουσα, δεικνύει μοι τὴν ὁδὸν τὴν εἰς τὸ ἄπειρον ἀφανιζομένην. ἄπειρον ἀγαθότητα, ἄπειρον δικαιοσύνην ἐν ἀπείρῳ κάλλει καὶ ὁ Μιχαὴλ Ἄγγελος κατ' ἐξοχὴν ἐκφαίνει· τ ὸ κ α λ ὸ ν ὡ ς ὑ ψ η λ ό ν· τοῦτο τὸ ἄπειρον καλὸν, τὸ ἀγαθὸν τὸ ἄπειρον τοῦτ' ἐστὶ τ ὸ θ ε ῖ ο ν. Ἡ δὲ ψυχὴ τοῦ ἀνθρώπου ἀκατασχέτως εἰς αὐτὸ καὶ ἀεὶ μετὰ μυστηριώδους τινὸς ἀναμνήσεως, ὡς εἴς τι συγγενὲς φερομένη, τὴν θείαν γένεσιν ἑαυτῆς μαρτυρεῖ καὶ τὴν ἀ-



θανασίαν· ἀπολειπομένη ὅμως αὐτοῦ πένθος τι αἰσθάνεται· αὕτη ἡ σφοδρὰ τῆς ψυχῆς ἔφεσις, ἡ ἐς πάντα τὸν αἰῶνα ἀπόλειψις καὶ ἡ συνείδησις τῆς ἑαυτῆς σμικρότητος ἀπεργάζεται ἐν αὐτῇ κύμανσιν, ἀνησυχίαν, πόθον ἄσβεστον, ὃν εἴ τις ἂν φόβον Θεοῦ ἀποκαλέσειεν, ὀρθῶς ἂν ἀποκαλέσειεν. ὁ γὰρ φόβος τοῦ Θεοῦ σχολῇ γε τῇ τοῦ ἀνθρώπου ψυχῇ ὡς ἀπό τινος διὰ παντοδυναμίαν φοβεροῦ ὄντος ἐμφύεται, ἀλλ' ὁ φόβος ὁ πρὸς τὸν Θεὸν ὑπερβολὴ ἀγάπης ἐστὶν, ὑπερβολὴ στοργῆς, ὑπερβολὴ θαυμασμοῦ πρὸς Ὃν ἐρασμιώτατον, πανάγαθον, παντέλειον. — Ἐρωτῶμεν δὴ οὖν τὸν φιλοσοφοῦντα νῦν· τὴν ἐρασμίαν κόρην ἰδὼν ἢ τὴν Θεοτόκον τοῦ Ῥαφαὴλ ἢ τὴν δευτέραν παρουσίαν τοῦ Μιχαὴλ Ἀγγέλου ἢ τὴν θείαν τοῦ θείου Μοζάρτου μελῳδίαν ἀκούσας, ἔπαθον ἆρά γε, ὅσα ἐν τῇ ψυχῇ μου ἔπαθον, τῇ διανοίᾳ, διαλεκτικῇ τινι τέχνῃ, συλλογισμοῖς πεισθείς; Ἢ ἔχοις ἂν με λόγῳ διδάξαι πάντα τὰ ἐν τῇ ψυχῇ μου συμβαίνοντα;— Πάντως δή που, φαίη ἂν ὁ οὕτω φιλοσοφῶν. Ὁ γὰρ Νοῦς ὁ καθόλου τὸν πάντα αἰῶνα τείνει εἰς τὸ νοῆσαι ἑαυτὸν, ἑαυτοῦ δ' ἀπολειπόμενος πάσχει πάνθ' ὅσα σὺ ἐν τῇ ψυχῇ σου πέπονθας. — Ἀτὰρ τουτό γε δός μοι πρὸς τὸ παρὸν, ὅτι ὁ Νοῦς ἀεὶ ἑαυτοῦ ἀπολείπεται. Ταύτην δὲ τὴν ἀπόλειψιν καὶ πάντα τὰ ἐξ αὐτῆς συμβαίνοντα οὐκ ἔγωγε τῷ Νῷ ἀποδίδωμι. Ἐπεὶ λέγω τι Νοῦν, καθ' ὅσον νοεῖ. ὅταν δέ τι ὁ νοῦς νοῇ τρόπον τινὰ πάντοθεν περιλαμβάνει καὶ βασιλεύει ἐπικρατέστερος τοῦ νοουμένου γιγνόμενος· οὗ δ' ἂν ἀπολείπηται, τουτό γε δῆλον ὅτι οὐ νοεῖ, ἀλλ' ἔγωγε λέγω συναισθάνεται· τὸ θεῖον ἄρα ὁ ἄνθρωπος συναισθάνεται, ἀλλ' οὐ νοεῖ. Τὴν μὲν οὖν φιλοσοφίαν τῷ

νῷ ἀποδίδωμι, τῇ δὲ συναισθήσει (α) τὴν Θρησκείαν, ἣ δὴ ἀπὸ τοῦ ἀπείρου ὁρμωμένη εἰς τὸ ἄπειρον αὖθις τείνει. Αὕτη γάρ ἐστιν ἡ ἄσβεστος λαμπάς, ἣν ὁ ἄνθρωπος

---

(α) Τὸ ἐν ἀνθρώπῳ θειότατον οὐχ ὁ νοῦς ἐστιν, ἀλλ' ἡ ἐνδοφυὴς τῇ ψυχῇ συναίσθησις, ἥπερ ὁ γενναῖος καὶ θεῖος Πλάτων ἑκὼν ἀέκων συνείχετο, καίπερ τὸ πᾶν τῇ διανοίᾳ καὶ τῷ λόγῳ ἀπονέμων. Ἡ δὲ φιλοσοφία αὐτὴ καθ' αὑτὴν ὡς ἐκ τῆς διανοίας καὶ τοῦ λόγου ὁρμωμένη καὶ ἐν αὐτῷ μένουσα, ἐν μὲν τοῖς ἐφικτοῖς, ἤτοι τοῖς νοητοῖς τὴν πᾶσαν ἰσχὺν καὶ βεβαιότητα παρέχεται. ἐν δὲ τοῖς οὐκ ἐφικτοῖς, οἷον δὴ τοῦ πιθανοῦ πέραν μηδέποτε προβαίνουσα, οὐ τελέως ἡμῶν τὴν ψυχὴν ἀποπληροῖ (Φαίδων), ὥςπερ ἡ Θρησκεία, ἥ τις ἐκ τῆς ἐσωτερικῆς συναισθήσεως ἐκπορευομένη, θάλπει ἡμᾶς καὶ ψυχαγωγεῖ καὶ πεποίθησιν τὴν ἐνδόμυχον ἡμῖν ἐμποιεῖ· τήν τε εὐδαιμονίαν τοῦ ἀνθρώπου σχολῇ γε ἡ διάνοια καὶ εἰς ἄκρον ἠσκημένη παρασκευάζει, ὡς ὁ θεῖος Πλάτων ἑαυτόν πως παρανοῶν κατ' ἔθος λέγει, ἀλλὰ τὴν εὐδαιμονίαν καὶ μακαριότητα ἐνεργάζεται ἡμῖν ἡ τῆς διανοίας ἱερωτέρα συναίσθησις, ἡ τῆς ψυχῆς γαλήνη, θυμηδία, διάχυσις μετὰ πένθους τινὸς ἀναμεμιγμένη. Συμπάθεια, εὐσπλαγχνία, ἀγάπη, φιλία, ἔρως, ἔφεσις τοῦ καλοῦ, ὑψηλοῦ, ἀγαθοῦ, ὁ φόβος ὁ πρὸς τὸν Θεὸν καὶ συνελόντι εἰπεῖν, πάνθ' ὅσα τὴν τοῦ ἀνθρώπου γλυκερὰν εὐδαιμονίαν καὶ μακαριότητα ἀποτελεῖ, οὐκ ἐκ τῆς ἠσκημένης διανοίας πορίζόμεθα, ἀλλ' ἐκ τοῦ ἤθους, τῆς ἐσωτερικῆς συναισθήσεως. Συναίσθησιν δὲ λέγοντες, οὔ τι πάθος λυρικὸν νοοῦμεν τὴν ψυχὴν ἀποχαυνοῦν, ἀλλὰ τὸ ὕψιστον πτέρωμα ψυχῆς ἐνεργούσης καὶ τῶν κρατίστων ποθούσης, ἥτις τῇ διανοίᾳ ἤτοι τῇ ὑγιεῖ φιλοσοφίᾳ ἐλλαμφθεῖσα, χαλινοῖ τρόπον τινὰ ἑαυτὴν καὶ οὐ θεουργικῶς τῷ ἀνεφίκτῳ ἐπιβάλλει, τὴν ἔκστασιν γεραίρουσα.

Εἰ δέ τινι δόξω ἄτοπα ὅλως λέγειν τὸν νοῦν τῇ συναισθήσει τρόπον τινὰ ὑποβιβάζων, καὶ ταῦτα, φαίη ἄν, πάντων εἰδότων



παρὰ τοῦ παναγάθου Πατρός, ἅμα γενόμενος, ἔλαβε. Ταύτῃ δὲ τῇ θείᾳ λαμπάδι τὸ προςφιλὲς τεκνίον φωταγωγεῖ ἑαυτό, διὰ τοῦ ζόφου τοῦ σκοσμικοῦ λαβυρίνθου·

---

ὅτι ἡ συναίσθησις αὐτῷ δὴ τῷ νῷ προλήψεων καὶ πλάνης ἀπαλλαγεῖσα, ἁγνὴ οὕτω καὶ θεία ἡμῖν ἐμφαίνεται· ἐρῶ αὐτῷ, ὡς οὐκ ἂν ἔχοιμι ἄρα καὶ αὐτὸς ἐν νῷ λαβεῖν, δι' ἣν ποτε αἰτίαν τὸ καθαῖρον καὶ ἁγνίζον ἤγουν τὸν ἄλλοθέν ποθεν περὶ τὴν ὑψηλὴν συναίσθησιν πεπυκνωμένον γνόφον διαλύον θειότερόν ἐστιν αὐτῆς γε τῆς συναισθήσεως κατ' οὐσίαν· οὐδὲ μίαν γὰρ πειθὼ ὁ λόγος οὗτος ἐμοὶ ἐνεργάζεται· καὶ γὰρ καὶ ὁ νοῦς τιμιώτερόν τι πάντως τῆς αἰσθήσεως ὁμολογούμενος, οὐχ ἧσσον ὑπὸ τῆς αἰσθήσεως ἐγειρόμενός πως ἐνεργεῖ ἀεί. εἰ μὴ γὰρ αἴσθησις ἦν, ἀργὸς ἂν καὶ ἀδρανὴς ἔμεινεν. (*) Διὰ τοῦτο ἄρα δίκαιοι ἂν εἴημεν τὴν αἴσθησιν τιμιωτέραν τοῦ νοῦ προςαγορεύειν; Ἀλλὰ ῥητέον αὖθις ὅτι ᾧπερ ἂν μέτρῳ συναισθήσεως μεταλαγχάνῃ οἱ ὄντως ἄνθρωποι τὸν ἄνθρωπον τιμῶσιν, οὐχὶ δὲ τῇ ἠσκημένῃ διανοίᾳ. Καὶ ὅσοι δὲ τῷ νῷ μάλιστα χαίρουσι,

---

(*) Ἔνιοι δὲ καὶ πολλοί γε πρότερόν τε πρὸς ταῦτ' ἀντεῖπον καὶ νῦν ἔτι ἀντιλέγουσιν, ἰδίαν τινὰ ἐνέργειαν καὶ ὡς ἔπος εἰπεῖν αὐτάρκη τῷ νῷ ἀποδιδόντες χωρίς τινος ἐπικουρίας ἢ ἀφορμῆς ἀπὸ τῶν ἔξωθεν αἰσθήσεων, ἀφ' ἑαυτῆς δὲ ὁρμωμένην. καὶ ταῦτα τὰ ἔκπαλαι πολλαχῇ τε καὶ παγκάλως εἰρημένα ἐν ῥαθυμίᾳ νῦν δὴ αὖθις φύροντες οὕτω τὴν ψυχὴν εὐφραίνονται, ὡς οὐδὲν χρῆμα. ὑπὲρ φιλοσοφίας γὰρ οἴονται καὶ ἄλλων ἱερῶν πραγμάτων τὰ κράτιστ' ἀπολογεῖσθαι. Ἐλπίζομεν μέντοι ἐν τῷ ἡμετέρῳ λόγῳ τῷ πρὸς τὴν ἑλληνικὴν νεολαίαν ὡς διὰ βραχυτάτων ἀποδείξειν, ὅσον ἀκροσφαλής τε ἅμα καὶ γελοία ἡ πλάνη αὐτῶν πέφυκεν. ἀλλ' εἴπερ τι ἄλλο καὶ τάδε εἰς τὸ ὑγιῶς φιλοσοφεῖν προοιμιαστέον· πρῶτον μὲν γὰρ ὅτι ὁ νοῦς οὐδέποτε οὐδαμῶς οὐδ' ὁτιοῦν οἷός τέ ἐστι δρᾷν μὴ κινηθείς πως πρότερον ὑπὸ μιᾶς ἢ πλειόνων ἅμα αἰσθήσεων· εἶτα δὲ πᾶν ὅ,τι νοεῖ καὶ δημιουργῶν ἔοικε, κ α τ' ἀ ν α λ ο γ ί α ν τοῦδε τοῦ ὁρατοῦ πάντως νοεῖ τε καὶ δημιουργεῖ. — ἀλλὰ μενέτω τις τὸν λόγον, λέγω, οὗπερ ἄρτι ἐμνήσθημεν.

διερχόμενον καὶ εὑρίσκει τὴν ἑλικτὴν ἀτραπόν, ἡ πρὸς τὸν φιλόστοργον πατέρα αὖθις ἀνάγει. οὕτως ὁ ἠθικὸς κόσμος φωτίζεταί τε καὶ καλλύνεται. — ὁ Θεὸς ζῇ οὐχὶ δ' ἐμὲ, ὦ φιλόσοφε, ἀλλ' ὁ Θεὸς ζῇ ἐν ἐμοί. οὐ ταὐτὸν ἄρα ἡ φιλοσοφία τῇ θρησκείᾳ ὑπάρχει. Ἀλλ' εἰ μὲν τὴν φιλοσοφίαν τῷ νῷ ἀποδίδομεν, νοῦν δὲ λέγοντες νοοῦμέν Τι, καθ' ὅσον περ νοεῖ, ἐντονώτερον ἐροῦμεν ὅτι πᾶν ἄρα ἄλλο τί ἐστιν ἡ φιλοσοφία καὶ πᾶν ἄλλο ἡ θρησκεία. Χωριστέον τοίνυν κατ' οὐσίαν τὴν θρησκείαν, ὡς ἕτερόν τι ὄν, τῆς φιλοσοφίας· οὕτω γὰρ ἑκάτερον τὴν οἰκείαν ὁδὸν εἰς ὄφελος τῆς ἀνθρωπότητος βαδιεῖ.

Ὥστε ἀποτείνοντες νῦν τὸν λόγον πρὸς τὸ ἕτερον γένος τῶν φιλοσοφούντων, λέγομεν ὅτι εἴ τινες ἀπορίαι περὶ ψυχῆς, ἀθανασίας, Θεοῦ καὶ τῶν τοιούτων ἐν φιλοσοφίᾳ ἀναφύονται· οὐδ' ὁπωςτιοῦν δίκαιοι ἂν εἴησαν τοὺς ἀποροῦντας σχετλίους τινὰς καὶ τῶν θείων ἀμελεῖς ὑπολαμβάνειν· ἐπεὶ ἡ τοῦ φιλοσόφου διάνοια οὔπω τελέαν καὶ ἀκράδαντον πίστιν τῇ τοῦ ἀνθρώπου ψυχῇ ἐνστάζει, ἀλλὰ μόνη ἡ θρησκεία.

Ὁ θεῖος Πλάτων ἐν Φαίδωνι (σ. 85, Γ.) ὧδέ πως λέγοντα τὸν Σιμμίαν εἰσάγει· «Καὶ ἐγώ τέ σοι ἐρῶ ὃ ἀπορῶ, καὶ αὖ ὅδε, ᾗ οὐκ ἀποδέχεται τὰ εἰρημένα. Ἐμοὶ

---

λανθάνουσιν ἑαυτοὺς τῷ μέτρῳ τῆς συναισθήσεως τὰ πάντα μάλιστα κρίνοντες, καὶ ἀρχιτεκτονικὸν καὶ ἀγαλματοποιὸν καὶ ζωγράφον καὶ μουσικὸν καὶ ποιητὴν καὶ πάντα ἄνδρα καλόν τε κἀγαθόν. Τῷ μέτρῳ τῆς συναισθήσεως τὸν ἄνθρωπον μακαρίζομεν πάντες· ταύτῃ γὰρ εὐδαίμονες γιγνόμεθα, τὸν νοῦν ἐπίκουρον λαμβάνοντες.



γὰρ δοκεῖ, ὦ Σώκρατες, περὶ τῶν τοιούτων ἴσως ὥς περ καὶ σοί, τὸ μὲν σαφὲς εἰδέναι ἐν τῷ νῦν βίῳ ἢ ἀδύνατον εἶναι ἢ παγχάλεπόν τι, τὸ μέν τοι αὖ τὰ λεγόμενα περὶ αὐτῶν μὴ οὐχὶ παντὶ τρόπῳ ἐλέγχειν καὶ μὴ προαφίστασθαι, πρὶν ἂν πανταχῇ σκοπῶν ἀπείπῃ τις, πάνυ μαλθακοῦ εἶναι ἀνδρός· δεῖν γὰρ περὶ αὐτὰ ἕν γέ τι τούτων διαπράξασθαι, ἢ μαθεῖν ὅπῃ ἔχει ἢ εὑρεῖν, ἤ, εἰ ταῦτα ἀδύνατον, τὸν γοῦν βέλτιστον τῶν ἀνθρωπίνων λόγων λαβόντα καὶ δυςεξελεγκτότατον, ἐπὶ τούτου ὀχούμενον, ὥςπερ ἐπὶ σχεδίας κινδυνεύοντα διαπλεῦσαι τὸν βίον, εἰ μή τις δύναιτο ἀσφαλέστερον καὶ ἀκινδυνότερον ἐπὶ βεβαιοτέρου ὀχήματος ἢ λόγου θείου τινὸς διαπορευθῆναι.»

Καὶ ὁ ἱερώτατος τῶν ποιητῶν ὁ Δάντης (α) ἐν τῇ Θείᾳ κωμῳδίᾳ τὴν μὲν ἀπὸ τῆς φιλοσοφίας ἐγγιγνομένην ἡμῖν μάθησιν πρὸς τὸ ἀμυδρὸν καὶ ἀτελὲς τῆς σελήνης φέγγος ἀφομοιοῖ, ὅπερ δύναται μὲν ἡμᾶς τῶν ἐν γνόφῳ ἀμαθίας εἰκῇ φυρομένων κρείσ-

---

(α) Βρανδίσιος ὁ σοφὸς ἐν τῇ ἀξιολογωτάτῃ ἱστορίᾳ τῆς παρ' Ἕλλησί τε καὶ Ῥωμαίοις φιλοσοφίας (Τ. Α. σ. 10.) ὧδέ πως ἀποφαίνεται λέγων, ὅτι ὃς ἂν μὴ ἀκριβῶς πάνυ τὰ φιλοσοφικὰ δόγματα μελετήσῃ, ἅπερ ἐν τοῖς ἀθανάτοις τοῦ Δάντου ᾄσμασι συνυφασμένα ὑπάρχει, σχολῇ γ' ἔχοι ἂν τὴν τῆς σχολαστικῆς φιλοσοφίας φύσιν τῇ διανοίᾳ ἐς δέον λαβεῖν. προςθείημεν δ' ἂν ἡμεῖς γε καὶ τόδε, ὡς οὐδὲ τὸν χαρακτῆρα τῆς ὅλης τῶν νεωτέρων φιλοσοφίας, οὐδ' αὐτῆς τῆς κατ' ἐξοχὴν Γερμανικῆς ἀκριβῶς ἄν τις νοήσειε, τὰ τοῦ δαιμονίου ποιητοῦ ἀγνοῶν. καὶ γὰρ καὶ τὸ κατ' ἐναντίωσιν ἀπό τινος ἄλλου προελθὸν γνοίη ἄν τις ὡς ἀληθῶς, ἐπειδὰν καὶ τὴν ἐκείνου φύσιν, ἐξ οὗ περ προῆλθε δεόντως ἐννοήσῃ.

σονας ποιῆσαι, ὥςπερ τοὺς ἥρωας καὶ τοὺς σοφοὺς τοὺς πάλαι, ἀλλ' οὐ τελέως ἡμῶν τὴν ψυχὴν ἀποπληροῖ, τῆς ὑψίστης Ἀληθείας ἀεὶ σφόδρ' ἐφιεμένην. τῷ γὰρ τῆς σελήνης φέγγει ἤτοι τῇ φιλοσοφίᾳ οὐχ οἷοί τέ ἐσμεν εἰς ἀληθῆ τοῦ ἀληθοῦς Θεοῦ θέαν προςαναβῆναι· ἡ γὰρ σελήνη φέγγος μέν τι νυκτὸς ἀμυδρὸν διαχέουσά ἐστιν, οὐ μέντοι καὶ σέλας λαμπρὸν λευκῆς ἡμέρας. καὶ τὸ λυκόφως δ' αὐτῆς οὐδ' ἴκταρ πρὸς τὴν ῥοδόχρουν ἠῶ τοῦ ἀϊδίου βίου βάλλει (α). Τὴν δὲ τελείαν καὶ ἄμεσον τοῦ Ἀληθοῦς γνῶσιν ἤτοι τὴν ἄνωθεν ταῖς ἁγναῖς τῶν ψυχῶν γιγνομένην ἐπίπνοιαν, ὅσαι τὴν ἀπλανῆ ἐτράποντο ἄνοδον τὴν εἰς τὸν Πατέρα τῶν φώτων ἀνάγουσαν, ἀφομοιοῖ πρὸς τὸν ἕτερον τοῦ οὐρανοῦ ὀφθαλμὸν τὸν τέλειον ἤτοι τὸν αἰγλήεντα ἥλιον. Οὗτος ὁ Ἥλιος ἀγγέλων τε καὶ δικαίων, ἡ φωτοβόλος τῆς Ἀληθείας πηγὴ αὐτὸς ὁ Πάνσοφος Θεός ἐστιν ὁ τῇ ἀνθρωπικῇ ψυ-

---

(α) Ἐπιθι Purgatorio, canto VII, 43 κ.φ.ξ. Ἔτι δὲ canto III, 34.

Matto è chi spera, che nostra ragione
  possa trascorrer la 'nfinita via,
  che tiene una Sustanzia in tre Persone.
State contenti, umana gente, al quia;
  chè se potuto aveste veder tutto,
  Mestier non era partorir Maria;
E disiar vedeste senza frutto
  Tai, che sarebbe lor disio quetato,
  Ch'eternalmente è dato lor per lutto:
I' dico d'Aristotile, e di Plato,
  E di molti altri; — e qui chinò la fronte;
  E più non disse; e rimase turbato.



χῇ τὴν θρησκευτικὴν συναίσθησιν ἐμφυσήσας. Ὁ τῆς Ἀληθείας Ἥλιος τοῖς μὲν θνητοῖς τοῖς ἐνθάδε βιοῦσιν ἀνατέλλει τε ἐναλλὰξ καὶ δύεται, ἀλλὰ τοῖς ἐν οὐρανῷ ἀγαλλομένοις ἀνέκλειπτον σέλας παρέχει. Λάμψις δέ τις ἀπὸ τῆς θείας Ἀληθείας οἵα τέ ἐστι τὸν ἐν ἡμῖν ψευδῆ καὶ ἄτοπον φόβον ἀμωςγέπως κατευνάζειν· καὶ παντάπασι δὲ ὁ φόβος οὗτος ἐξαλείφεται, ὅταν ἡ ψυχὴ ἡμῶν ὅλη φόβου Θεοῦ ἀνάπλεως τυγχάνῃ, ὥςπερ ἡ τῆς Μακαρίας παρθένου τῆς ἐν Χριστῷ ἐρωμένης τοῦ θειοτάτου τῶν ποιητῶν (α). αὕτη ἡ διαστολὴ τῆς θρησκείας ἀπὸ τῆς φιλοσοφίας ἀθέςφατον βάθος Ἀληθείας ἔχει. Ἡ δὲ γνῶσις καὶ ὡς ἔπος εἰπεῖν ἡ τοῦ καθόλου Ἀληθοῦς μέθεξις διὰ τῆς φιλοσοφίας καὶ τῆς θρησκείας τῷ σωματικῶς τε ἅμα καὶ ψυχικῶς ὑγιεῖ, τῷ ἀμερίμνῳ καὶ εὐτυχεῖ ἀνθρώπῳ προξενεῖται, καὶ τὴν ὅλην δὲ εὐδαιμονίαν καὶ μακαριότητα αὐτοῦ ἀποτελεῖ, ἧς περ φύσει ὀρέγεται. Ὅρα συμπόσιον Δάντου κεφ. αον, κ. φ. ξ. —

Οὕτω μὲν οὖν Πλάτων τε καὶ Δάντης οἱ δαιμονιώτατοι τῶν θνητῶν ἁπάντων ἀποφαίνονται.

Ἀλλ' ὁ νοῦς οὐδὲ ἑαυτόν ποτε τελέως ἀποπληροῖ, τοῖς γ' ἑαυτοῦ νόμοις χρώμενος, καὶ γὰρ ἂν παντὶ φιλοσόφῳ

---

(α) Ὅσον ὁ χριστιανικὸς οὗτος ἔρως τοῦ Πλατωνικοῦ διαφέρει! Παρὰ Πλάτωνι γὰρ ὁ ἔρως, καίπερ θεῖος ὤν, οὐκ εἰς τελέαν μακαριότητα τελευτᾷ. Ὅσην δὲ ῥοπὴν ὁ ἔρως οὗτος τοῦ Δάντου ἐπὶ τῆς συναισθήσεως καὶ φαντασίας τῶν ὕστερον ζωγράφων ἤσκησεν! ἐκ τοιαύτης ὑψηλῆς συναισθήσεως ἀθάνατα ζωγραφικῆς μνημεῖα εἰς φῶς προῆλθε. Παραπλήσιον δ' ἔρωτα καὶ ὁ Μιχαὴλ Ἄγγελος ᾖσέ τε καὶ ἐζωγράφησε καὶ συχνοὶ ἄλλοι τῶν ἐνδόξων Ἰταλῶν.

ἔχοι τις ἂν καὶ περὶ τῶν κρατίστων τὸν πάντα χρόνον ἀντιλέγειν. Φέρε γάρ· ὁ φιλοσοφῶν ἄνθρωπος οὐδαμόθεν ἄλλοθέν ἔχει ἂν τὴν τοῦ Δημιουργοῦ ἰδέαν, φέρ' εἰπεῖν πορισθῆναι ἢ ἐξ αὐτοῦ τοῦ δημιουργήματος καθολικώτατα νοουμένου. Τούτου δὲ τριχῇ ἐκφαινομένου, τριχῇ καὶ τὸ θεῖον ὁ ἄνθρωπος σχεδόν τι ἀνέκαθεν ἐλάτρευσε· καὶ γὰρ τὸ δημιούργημα ἀντὶ τοῦ θείου ἐξέλαβεν. Πρῶτον μὲν τὸν γλαυκὸν τοῦτον καὶ μεθ' ἡμέραν φωτὶ ἀπλέτῳ διαχεόμενον θόλον, νυκτὸς δ' ἀστέρων ἀμαρυγαῖς μυρίων μυριαχοῦ σιγῇ αὐγαζόμενον καὶ τὸν ἄνθρωπον εἰς θαυμασμὸν καὶ ἔκπληξιν μυστηριώδη, ἀθέσφατον κινοῦντα· αὕτη ἐστὶν ἡ τοῦ οὐρανοῦ καὶ τῶν ἀστέρων, ὡς θείων ὄντων, λατρεία, ἐξ ἧς γε ὑστέρῳ χρόνῳ λυθεῖσα ἐπιστήμη καλλίστη ἐγένετο ἡ ἀστρονομία. Εἶτα δὲ νεφελῶν σκιὰς δονουμένων παντοίας, θυέλλας τε καὶ ὄμβρους σὺν ἀστραπαῖς τε καὶ βρονταῖς καὶ ὅσα ἄλλα θαυμάσια ἐν τῷ περιέχοντι συντελεῖται, τὸν ἐν ἀέρι ὑδρόγειον, ἡλιολαμπῆ πλανήτην ἐλάτρευσε, παντοῖα ζῴων καὶ ζωϊκῶν ὄντων εἴδη πανταχοῦ ἐναλλὰξ κατὰ τὴν καλλίχορον τῶν ἀγλαῶν καὶ σεμνῶν ὡρῶν ἐναλλαγὴν προφαίνοντα, γαλήνην, θυμηδίαν ἢ ταραχήν τε καὶ φόβον τῇ κυμαινούσῃ τοῦ ἀνθρώπου ψυχῇ ἐνεργαζόμενα. Αὕτη δ' ἐστὶν ἡ χθονίων θεῶν λατρεία (α). ἀμφοτέραις δὲ κοινὸν ὄνομα κοσμικὴ λατρεία. Τρίτον δὲ ὁ ἄνθρωπος ἐν κοινωνίαις ἤδη ἀμωσγέπως κατηρτισμέναις συναρμοσθεὶς καὶ τὸ κράτος τῆς ἀνθρωπικῆς ψυχῆς καὶ τῶν ἐξ αὐτῆς ἔργων θαυμάσας, τὰ μὲν ἀνθρώπεια ὡς θεῖα ἐξύμνησε, τοῖς δ' ἐν τῇ φύσει γιγνομένοις φύσει πως

---

(α) Ὁ πανάγαθος Δημιουργὸς εὐθὺς ἐξ ἀρχῆς θεῖον πνεῦμα τῷ ἀνθρώπῳ ἐνεφύσησεν, ἀρχὴν ζωῆς ἀνθρωπικῆς, ἤγουν ἠθικῆς τε καὶ θρησκευτικῆς, καθ' ἥν γε μάλιστα τῶν λοιπῶν ζῴων διαγιγνώσκεται. Τοῦτο τὸ θεῖον πνεῦμα, τὴν ἀρχὴν τῆς θρησκείας, ἥτις τὴν ἀνθρώπῳ ἰδιάζουσαν φύσιν ἀποτελεῖ, οὐ παρὰ τοῦ δημιουργήματος, τῆς φύσεως ἔλαβεν, ὥς τινές φασιν, ἀλλὰ παρ' αὐτοῦ τοῦ Δημιουργοῦ. Τοῦτο τὸ ἐνδοφυὲς πνεῦμα ἡρμήνευσε μόνον διὰ τῶν ἐν τῇ φύσει γιγνομένων. Ἀλλ' ἐν ὅσῳ χρόνῳ ὁ ἄνθρωπος τοῖς περὶ τὴν γῆν γιγνομένοις φυσικαῖς ἀνάγκαις, οἷον προσπεπορπημένος ἦν, παντοίως ἐπηρεαζόμενος, κύμανσιν καὶ θρόησιν καὶ μέριμναν καὶ λύπην καὶ ἡδονὴν ᾐσθάνετο· καὶ τὸ ἐν αὐτῷ θεῖον πνεῦμα λανθάνον τρόπον τινὰ καθηῦδεν· οὐ μέντοι ἐπὶ πολὺν χρόνον· Ἐπεὶ γὰρ τάχιστα τὰ τοιαῦτα πάθη ἀμωσγέπως σιγάσας, πόρον ἐξευρών, εἰς τὸν αἴθριον οὐρανὸν ἅμα τῇ πρώτῃ γαλήνῃ καὶ ἠρεμίᾳ ἀνέβλεψε, τὸ ἐν αὐτῷ θεῖον πῦρ ἐξαφθὲν ἀνέφλεξε τὴν ψυχὴν αὐτοῦ καὶ τρόπον τινὰ ἔτηξεν ὅλην. Καὶ ἡ ψυχὴ διεχύθη αὐτίκα τῷ φωτὶ τῷ ὁρατῷ καὶ ἀπλέτῳ. Πρὸς γὰρ τὸ φῶς ὁ ἄνθρωπος ἀκατασχέτως φέρεται, ὥσπερ ἡ χρυσαλλίς, ἣν ψυχὴν οἱ πάλαι ἐκάλουν. Διὸ καὶ τὰ Ἰνδοευρωπαϊκὰ φῦλα τὴν τοῦ φωτὸς αἴγλην Θεὸν πρῶτον ὕμνησαν, ὥς που καὶ τὸ ὄνομα Θεὸς ἐμφαίνει, τὸ λαμπρόν, αἰγλῆεν, φωτεινὸν σημαῖνον. Οὕτως οὖν ὁ ἄνθρωπος, τοῦ ἐν αὐτῷ πνεύματος ἔξοδον καὶ διάχυσιν λαβόντος, πάντῃ ἄλλως νῦν προσέβλεψε πρὸς τὰ ἐν τῇ γῇ γιγνόμενα καὶ οὐχ ὡς τὸ πρῶτον, ἡνίκ' ἀνάγκῃ φυσικῇ ἐμπεπεδημένος αὐτοῖς ὑπῆρχεν. Τὸ γὰρ ἐν αὐτῷ πνεῦμα τὸ θεῖον διάχυσιν καὶ ῥοῦν εὐχερῆ ἤδη δι' ἐθισμόν τινα ἔλαβεν. Καὶ τὰ ἐν τῇ γῇ ἤδη γιγνόμενα πρὸς τὰ ἐν οὐρανῷ συνδυάσας εἴτε ὡς ὁμογενῆ καὶ φίλια, εἴτε ὡς ἑτερογενῆ καὶ πολέμια, ὡς θεοὺς εὐεργέτας ἢ ὀλετῆρας ἐλάτρευσεν. Διὰ τοῦτο ἡμεῖς τὴν τῶν ἐν οὐρανῷ φαινομένων λατρείαν τῆς τῶν ἐπὶ γῆς γιγνομένων προετάξαμεν.

ἀνθρωπικώτερον εἶδος περιῆψε, τρόπον τινὰ ἑαυτὸν ἀποθεώσας. Αὕτη λατρεία τῶν ἱστορικῶν λεγομένων Θεῶν. Ἤδη δὲ ὁ ἀνθρώπινος νοῦς τῆς ὑψηλῆς συναισθήσεως ἐκλυόμενος καὶ ὁσημέραι κρείσσων ἑαυτοῦ γιγνόμενος, τοῦ δὲ εἰδέναι φύσει ὀρεγόμενος, ἐν μιᾷ ἑκάστῃ τῶν προειρημένων φάσεων τοῦ ὄντος ἐναντιότητας ἤρξατο ἐνορᾶν· πρώτην μὲν τὴν ὀργανικὴν, ἄῤῥενος, θήλεος· σθένους, ἀσθενείας. Ταύτῃ δὲ συνῆψε τὴν ἠθικὴν, ἀγαθοῦ, κακοῦ· μακαριότητος, ἀθλιότητος. Τρίτην δὲ τὴν μεταφυσικὴν λεγομένην, ἐξ ἧς γε ὡρμήθη κυρίως τε καὶ καθόλου φιλοσοφεῖν, οὐσίας, γενέσεως· ψυχῆς, σώματος· Νοῦ, φύσεως· εἴδους, ὕλης. ἐπὶ δὲ τούτων πασῶν τὴν καθόλου ἐναντιότητα· τοῦ Ἑνὸς πρὸς τὰ πολλά· τοῦ Ἀπείρου πρὸς τὸ πέρας ἔχον.

Ἡ δ' οὖν φιλοσοφία, τὸ λεγόμενον διὰ πυρὸς καὶ ὕδατος διελθοῦσα, ἓν τὸ Ὂν ἅπαν εἰποῦσα, ὀρθῶς εἶπε·

---

Ὅσα μὲν ὁ Κρεϋζέριος περὶ τῆς ἐν Ἕλλησιν (Πελασγοῖς) ἀρχῆς τῆς θρησκείας λέγει, τὸν Ἡρόδοτον καὶ Παυσανίαν ἐπιμαρτυρόμενος, οὐ πολλήν τινα δύναμιν ἔχει τανῦν (ὡς καὶ ἀλλαχοῦ ἤδη ὑπηνιξάμεθα), ὁπότε ἡ περὶ τὰ τοιαῦτα ἐπιστήμη καθολικωτέρα πως κατέστη. Ἀλλὰ τὸ σύγγραμμα τοῦ Κρεϋζερίου, μάλιστα δὲ ἡ γαλλικὴ μετάφρασις αὐτοῦ μετὰ τῶν ἀξιολογωτάτων σημειώσεων τοῦ σοφοῦ Γιγνιώτου θησαυρὸς ἀνεξάντλητος γνώσεων ὑπάρχει. Religions de l'antiquité, par J. D. Guigniaut. Ἔκδ. τόμου Α. Μέρος α' σ. 1 κ φ.ξ. — Μέρος β'. σ. 523 κ φ.ξ. — Ἔτι δὲ Μεϊνερσίου « Ἱστορίαν τῶν Θρησκευμάτων.» Τ. Α. βιβλίου β'ον, τμῆμα α'. — Ἐν πολλοῖς ἀρέσκει ἡμῖν πάνυ τὸ τοῦ Στουρίου. Τὸ δὲ τοῦ Βενιαμὶν Κωνσταντίου οὐκ ὀλίγον παραβλάπτει ὁ ὑπερβολικὸς ἅμα καὶ ἄκαιρος κατὰ τῶν ἱερέων ζῆλος.



τοῦτο δ' ἐστὶ τὸ δημιούργημα· ἐκ τούτου δ' ὡς ὅλου ὀφείλει νῦν ἡ φιλοσοφία τὴν ὡς ἔγγιστ' ἀληθῆ ἰδέαν τοῦ Δημιουργοῦ ὁρίσασθαι (α). πάντα ἄρα τὰ ἐν τῷ δημιουργήματι ὀφείλει πρότερον ἐν νῷ ὡς ὅλον τι συλλαβεῖν καὶ ἐκ τούτου τὸν Δημιουργὸν εἰκάσαι, ἄλλως γὰρ ἀμήχανον κατ' αὐτοῦ τἀληθὲς εἰπεῖν. Τηλικοῦτον δ' ἐπιχείρημα οὐκ ἂν εὐλόγως παντὶ ἀνδρὶ ἀνήνυστον εἶναι δόξειεν ;— Καὶ διὰ πολλούς γε λόγους, ὧν ῥητέον μοι ἐνταῦθα ἔμβραχυ τοὺς ἐφεξῆς.

Πρῶτον μὲν οὖν νοεῖν τι λέγομεν, ὅταν ὁλοσχερῶς αὐτὸ τῷ νῷ πάντοθεν περιλαμβάνωμεν, πᾶσάν τε τὴν οὐσίαν αὐτοῦ καὶ πάντας τοὺς νόμους, καθ' οὕςπερ ἐγένετο,

---

(α) Ἔςι τι γένος ἀνθρώπων πᾶν τὸ ὑπάρχον μηδὲν ἄλλο εἶναι οἰομένων ἢ ὡς ἔπος εἰπεῖν τυχαίαν συγκύθευσιν καὶ ἀνάμιξιν οὐσιῶν ἐνύλων τὸ πλῆθος ἀναρίθμων· καὶ τῇ δόξῃ ταύτῃ οὐκ ἐν ὑποθέσεως μέρει χρῶνται, ἀλλὰ μάλα στέργοντες ἐμμένουσι· τούτους δὴ μακρὰ χαίρειν ἡμεῖς γε κελεύομεν· ἐπεὶ οἵ γε τοιοῦτοι οὐδ' ὁπωςτιοῦν φιλοσοφεῖν ἐθέλουσι· φιλοσοφεῖν γάρ ἐςιν ἐσωτερικόν τινα καὶ ἀναγκαῖον συνειρμὸν τῶν ὄντων πρὸς ἄλληλα ἐπιζητεῖν. Ἔστι δὲ καὶ ἄλλο γένος ἀνθρώπων πᾶν τὸ κατ' ἀνθυπόστασιν ὑπάρχον καὶ τὸ σῶμα τὸ ἑαυτῶν, ὅπερ ὁρῶσι καὶ ψηλαφῶσι, μηδὲν ἄλλο εἶναι ἀποφαινομένων ἢ φάντασμά τι ψιλὸν ὑπὸ τῆς ἑκάστου νοητικῆς δυνάμεως ἀναπλασσόμενον, αὐτὸ καθ' αὑτὸ μηδεμιᾶς ἀληθείας μεταλαγχάνον· ἀλλὰ καὶ τούτους χαίρειν ἐῶμεν· ἐπεὶ καὶ οὗτοι οὐκ ἐθέλουσιν ὡς ἀληθῶς φιλοσοφεῖν· πᾶς γὰρ ἄνθρωπος φιλοσοφῶν ἔκ τινος ἐσωτερικῆς ἀνάγκης ὁρμᾶται τοῦ εἰδέναι, ὡς αὐτὸς ἔχει πρὸς τὸν κατ' ἀνθυπόστασιν κόσμον. Ἀμφοτέρας δὲ ταύτας τὰς δόξας εἰκότως ἄν τις τὰς δύο ἐσχάτας ὑπερβολὰς ἀποκαλέσειε τῶν Ὑλοσοφιστῶν καὶ τῶν Ἰδεολόγων.

συντηρεῖται, δρᾷ τε καὶ πάσχει. Ἀλλὰ τοῦ μὲν ὄντος καθόλου ἀπείρου ὄντος, τῆς δ' ἡμετέρας πείρας, ὅσα γε τἀνθρώπεια, τὸν πάντα αἰῶνα πέρας ἐχούσης καὶ ὅριον, πῶς ἂν ὁ προπετὴς τοῦ νοῦ πήγασος καὶ οἷον δή τι πτέρωμα λαβών, νέκταρί τε καὶ ἀμβροσίᾳ τραφείς, ἔχοι ἂν ἐλπίσαι εἰς τὸν ὑπερουράνιον προσαναβῆναι χῶρον καὶ ἀπὸ τῆς ὑπερκοσμίου ἀψῖδος, ὡς σκοπιᾶς θεσπεσίας, τὰ πάντα ἰδεῖν τε καὶ κατανοῆσαι; Ἐν γὰρ τούτῳ τῷ παντὶ ἀῤῥήκτοις δεσμοῖς καὶ αὐτὸς πεπεδημένος ὑπάρχει. Ἔτι δὲ ὁ νοῦς ὁ ἀνθρώπειος ὁ ἐν τῷ παντὶ συνειργμένος καὶ ὅταν ἐνεργῇ, δῆλον ὅτι κατ' ἀντίδρασίν τινα ἐνεργεῖ· ὅταν γὰρ ὁ νοῦς νοῇ, οὐδὲν ἄλλο ποιεῖ ἢ τὸ ἀνθυφεστὼς ἑαυτῷ ὁμοῖον ἀπεργάζεται καὶ οὕτω νοεῖ· κατὰ δὲ δύναμιν καὶ φύσιν τὴν ἑαυτοῦ, τοῦ αἰτιατοῦ τὸ αἴτιον ἀναζητῶν, ἐξικνεῖται μὲν εἴς τι αἴτιον ἀεὶ καθολικώτερον, ἀλλὰ τὸ ἔσχατον τῶν πάντων αἴτιον, ἐφ' ᾧ γε πολλάκις μεγαλαυχεῖ ὅτι ἀνεῦρεν, οὐχ ἑαυτοῦ ἔργον ἐστὶν, ἀλλὰ τῆς ὑψίστης συναισθήσεως, ἥτις ἱερὰ μὲν ἄλλως καὶ τῆς ἀληθείας μέτοχος, ἀλλὰ τῇ διανοίᾳ ἐς ἀεὶ ἄληπτος ὑπάρχει. ὥστε ἀνευρίσκει μὲν καθολικώτερόν τι ὂν ἀεὶ καὶ τοῦτο καθ' ὁμοίωσιν ἑαυτοῦ· ἀλλὰ τοῦτό γε τοῦ παντὸς δεῖ αὐτὸ καθ' αὑτὸ τὸ ἄπειρον εἶναι· αὐτός τε γὰρ ἐν τῷ ἀπείρῳ ὑπάρχει, ὡς ἄρτι ἐλέχθη, καὶ πᾶν ὅ,τι νοεῖ καθ' ὁμοίωσιν ἑαυτοῦ νοεῖ. Ἐκ ταύτης οὖν τῆς τοῦ νοῦ ἀτελείας ἀτελῶς καὶ τὸ Θεῖον ἀνευρίσκεται. — Τίνι γὰρ τρόπῳ ἔχοιμεν ἂν φιλοσοφικῶς ἀνευρεῖν τὸ Θεῖον, ἐκ τῆς θεωρίας τοῦ σύμπαντος τοῦδε ὁρμώμενοι; Πῶς ὁ πᾶς οὗτος κόσμος ἀρχὴν τὸ πρῶτον λαβών, οὕτως ἔχει, οἷου γε νῦν δὴ καὶ ἡμεῖς πεῖραν λαμβάνομεν; Ἐὰν γὰρ κατὰ νόμον τοῦ χρήζοντος καὶ πληροῦντος εἴπωμεν, μέγα μέν τι ἴσως ἐροῦμεν, ἀλλὰ πολύ γε τὴν ἡμετέραν διάνοιαν ὑπερβαῖνον. ἄληπτον γὰρ κατὰ τὸ κύριον· δυοῖν οὖν θάτερον ἡμῖν απολείπεται, σαφήνειάν τινα ἔχον· ἤτοι τὸ Θεῖον ὡς Δημιουργὸν νοῆσαι ἐκτὸς τοῦ δημιουργήματος τὸ εἶναι ἔχον ἢ Δημιουργόν τε καὶ δημιούργημα ἄμφω Ἕν. — Ἀλλ' ἐὰν τὸ πρῶτον εἴπωμεν, διχάσομεν ἐξ ἀνάγκης τὸ Ὄν, τῷ φιλοσοφικῷ λεγομένῳ δυασμῷ περιπεσόντες (α). Συμβήσεται ἄρα ἡμῖν εἰπεῖν τὸ Θεῖον ἐξ ἀνάγκης πεπερασμένον· οἰχήσεται ἄρα τὸ προσὸν τοῦτο, ὅπερ ἡμεῖς γε τῷ Θείῳ ἀποδίδομεν, τὸ Ἄπειρον· — Καὶ τὸ παντοδύναμον δ' ὡσαύτως, εἴπερ ἄλλου τινὸς πρός τι φανήσεται δεόμενον· — Ἀλλὰ καὶ τὸ Αὐτοτελὲς καὶ ὅσα ἄλλα τοιαῦτα. Ἐὰν δὲ τὸν Δημιουργὸν καὶ τὸ δημιούργημα ἓν Ὂν εἴπωμεν, τῆς ὑπαρχούσης προλήψεως ἀπαλλασσόμενοι, καθ' ἥν περ τὸ ὁρατὸν, ὡς ὁρατὸν, ἐναντίον τοῦ ἀοράτου λογίζεται, φεύγοντες οὕτω τὴν Σκύλλαν εἰς Χάρυβδιν δεινὴν περιπίπτομεν, ἤτοι εἰς Πανθεϊσμὸν τοιόνδε ἢ τοιόνδε. Ῥητέον δέ μοι ὀλίγα τινὰ περὶ ἑκατέρας τῶν ὑποθέσεων τούτων.

Εἰ μὲν γὰρ τὸ Σύμπαν τόδε ὡς δημιούργημα ἀνθρωπίνως γε νοοῦμεν· πᾶν δὲ δημιούργημα ὑπὸ Δημιουργοῦ τινος ἐγένετο· «παντὶ γὰρ ἀδύνατον χωρὶς αἰτίου γένεσιν σχεῖν·» καὶ οὕτω τὸν μὲν κόσμον γεννητὸν, τὸν δὲ γεννήσαντα Ὄν τι ὑπέρτατον, ἀγέννητον λέγομεν· οὐκ ἐξαρκεῖ. Τίνι γὰρ τρόπῳ ἔχοιμεν ἂν εἰπεῖν τὸν Δη-



(α) Ἔχοι μέντ' ἂν τις λόγον τινὰ καὶ ἴσως οὐκ ἀνίσχυρον ὑποβαλεῖν, ᾧ περ ἂν χρώμενος, τὸν διχασμὸν ἀποφεύγοι· ἀλλὰ τούτου πέρι οὐκ ἐν τῷ παρόντι σχολὴ ἡμῖν ὑπάρχει.

μιουργὸν τὸ Σύμπαν τόδε καὶ ἡμᾶς αὐτοὺς δημιουργῆσαι;

Πολλαχῶς τοῦτό γε ἐρρέθη. Πλάτων μὲν γὰρ ἔφη ὅτι ὁ Δημιουργὸς ἤτοι ὁ κατ' ἐξοχὴν Νοῦς ἐδημιούργησε τὸν κόσμον κατὰ τὸν νόμον τοῦ «βελτίστου.» Τοῦτο δ' ἂν εἴη εἰκότως τὸ ᾗγε δέον εἶναι τῶν ὄντων. «ἀγαθὸς (γὰρ) ἦν· ἀγαθῷ δὲ οὐδεὶς περὶ οὐδενὸς οὐδέποτε ἐγγίγνεται φθόνος· τούτου δὲ ἐκτὸς ὤν, πάντα ὅτι μάλιστα γενέσθαι ἐβουλήθη παραπλήσια ἑαυτῷ.» Ἐδημιούργησε δὲ τὸ οὐσιωδέστατον καὶ Ἑαυτῷ, Νῷ γε ὄντι, ὁ μ ο ι ο φ υ έ σ τ α τ ο ν τοῦ κόσμου, τὴν παγκόσμιον ψυχήν, (α) πρὸς τὰ τέλεια παραδείγματα βλέπων τοῦτ' ἔστι τ ὰ ς ἰ δ έ α ς. Ταύτας δὲ τὰς ἰδέας ὡς τὸ ὄντως ὂν καὶ ἀληθές, ὡσαύτως καὶ κατὰ ταὐτὰ ἀεὶ ἔχον ἀπεφήνατο. Τούτῳ δὲ τῷ ὡς ἀληθῶς γε ὄντι καὶ τὸ κινοῦν ἔφη πως προσεῖναι· ταῖς ἰδέαις ἄρα καὶ κίνησιν ἀπέδωκεν. Ἐπειδὴ δὲ πᾶσαι αἱ ἰδέαι εἰς μίαν τὴν κυριωτάτην καὶ τρόπον τινὰ πασῶν βασίλισσαν συγκορυφοῦνται ἤτοι τὸ «εἶδος εἰ-

(α) Τὸ πολυθρύλλητον ἐν τῷ Τιμαίῳ χωρίον, ἐν ᾧ γε λόγος γίγνεται περὶ τῆς μίξεως τῆς παγκοσμίου ψυχῆς, ἡρμήνευσεν ὁ Πρόκλος, ὅπως καὶ ὁ Πλούταρχος. Ἀμφότεροι δέ, ὥς γ' ἡμῖν δοκεῖ, ὀρθότατα ἡρμήνευσαν· οὐδὲν γὰρ ἄτοπον ἔχει ὑπολαβεῖν Πλάτωνα φάναι τὴν ψυχὴν ἔκ τε τῆς ἀμερίστου οὐσίας καὶ τῆς περὶ τὰ σώματα γιγνομένης μεριστῆς κ α ὶ τ ρ ί τ η ς ἄλλης οὐσίας, αὐτῆς γε τῆς ψυχῆς, συμμεμῖχθαι. ἀλλ' ἐνταῦθα οὔτε τόπος οὔτε χρόνος περὶ τούτου. Λέγομεν δ' εὐθὺς ὅτι ἀμφότεροι οἱ προμνησθέντες πολλῷ τοι ἐγγύτερον τῆς Πλατωνικῆς λ έ ξ ε ω ς κατά γε τοῦτο ἐγένοντο πάντων τῶν νεωτέρων, ἴσως ἀντίφασιν ἐνειδον.



δῶν», «τὸ ἀγαθόν», τοῦτο δ' ἂν εἴη τὸ ᾗγε δέον εἶναι τῶν ὄντων, ἤτοι τὸ ὄντως ὄν, τὸ Ἕν· διὰ τοῦτο ἴσως πολλοὶ τῶν σοφῶν ὑπέλαβον ὅτι ἡ ἰδέα τοῦ Ἀγαθοῦ καὶ κινήσεως εὐμοιροῦσα, ἱκανὴ ἄρα ἦν τὸν κόσμον πάντα παραγαγεῖν· Πλάτων ἄρα Θεὸν δημιουργὸν τοῦ Σύμπαντος τὴν τοῦ ἀγαθοῦ ἰδέαν εἶναι ἐδόξασε· διὸ τὸν ἐν τῷ Τιμαίῳ Δημιουργὸν ὡς ποιητικὴν εἰκόνα μᾶλλον ὑπέλαβον· ἴσως δὲ καὶ αὐτὸς ὁ Ἀριστοτέλης, ἅτε σιγῇ παρελθὼν τὰ περὶ τὴν Πλατωνικὴν θεολογίαν, ὥσπου ὁ σοφὸς Μαρτῖνος λέγει. Ὅμως δ' οὖν φαίημεν ἂν ἡμεῖς γε ὅτι ἡ τοῦ Δημιουργοῦ εἰκὼν ὡς πρὸς τὰ ἄρτι λεχθέντα οὐχ ἁπλῶς ποιητική ἐστιν, ἀλλ' ἴσως ἔχει καί τινα λόγον. Τοῦ γὰρ ἀγαθοῦ ἡ ἰδέα, εἰ καὶ πλεισταχοῦ τῶν διαλόγων τῇ τοῦ θείου ἰδέᾳ εἰς ταὐτὸν συνέρχεται, κατηγορηματικῶς μέντοι ἀεὶ λέγεται· οὐ γὰρ ἂν δεξαίμην ἔγωγε τὸν Πλάτωνα ταὐτὸν εἶναι τἀγαθὸν τῷ Δημιουργῷ εἰπεῖν μᾶλλον ἢ ὡς ἄν τις φαίη καὶ τὴν ὀρθότητα ταὐτὸν εἶναι τῷ νῷ ὄντως νοοῦντι· Εἰ γὰρ καὶ ἡ ὀρθότης πάντη ἀναπόσπαστος τοῦ καθαρῶς τε καὶ εἰλικρινῶς νοοῦντος νοῦ ὑπάρχει, ὥστε μηδ' ἂν οἷόν τ' εἶναι καθαρῶς νοοῦντα νοῦν νοεῖν ἄνευ ὀρθότητος, τήν γε μὴν ὀρθότητα ἀεὶ ὁ ἀνθρώπινος νοῦς ὡς ἄλλο τι ὄν, προσὸν αὐτοῦ τοῦ νοῦ νοεῖ. Διὸ οὐκ εἰκόνος ποιητικῆς χάριν ὁ Πλάτων τὴν τοῦ Δημιουργοῦ ἰδέαν ἐποίησεν, οὐδὲ μύθους τινὰς τῶν ὑπαρχόντων ἁπλῶς παραλαβών, ὥς τινές φασιν. Ἀλλ' ὥσπερ τὰς ἰδέας καθ' ἑαυτὰς λαμβανομένας τρόπον τινὰ ἕτερόν τι τοῦ Νοῦ εἶναι ἡγήσατο, οὕτω τὴν αὐτὴν φύσιν ἔχειν καὶ τὸ σύνολον αὐτῶν φάναι ὑποληπτέον. Ἀλλ' εἶεν· πῶς ἔχει τοίνυν ἡ τοῦ ἀγαθοῦ ἰδέα πρὸς τὸν Θεὸν τὸν δημιουρ-

γόν; Πᾶν τὸ ποιοῦν τῇ ἑαυτοῦ φύσει δῆλον ὅτι ποιεῖ, ὃ ἂν ποιῇ· Θεὸς τοίνυν τὸν κόσμον πάντα βέλτιστον, ἄριστον ποιήσας, τῇ ἑαυτοῦ φύσει τῇ ἀγαθότητι ἐποίησεν· ἔστιν ἄρα ἡ ἀγαθότης φύσις καὶ νόμος τοῦ Θεοῦ. Ὥστε ὁ Θεὸς ἀγαθὸς ὤν, πρὸς τὰ παραδείγματα ἤτοι πρὸς ἑαυτὸν, ἀγαθὸν ὄντα βλέπων, κατὰ τὸν ἑαυτοῦ νόμον τοῦ ἀγαθοῦ ἀγαθόν, «ἄριςον», «βέλτιςον» τὸν κόσμον ἐδημιούργησε. Συνάναρχοι ἄρα αἱ ἰδέαι αὐτῷ ἦσαν καὶ οὐ κατὰ τὴν σχέσιν τοῦ πρότερον καὶ ὕςερον (α). καὶ

---

(α) Ὅτι μὲν οὖν αἱ ἰδέαι οὐκ ἔννοιαι τοῦ Θεοῦ κατὰ Πλάτωνά εἰσιν, ὥςπερ Πλούταρχος καὶ Ἀλκῖνοος ὁ Πλατωνικὸς καὶ συχνοὶ τῶν πάλαι τε καὶ νῦν ὑπειλήφασιν, ἐν οἷς γε Μεϊνέρσιος, Τιδεμάννος, Σταλβάμιος καὶ ἄλλοι, φανερόν. Ὅτι δὲ καὶ οὐκ ἐκτός που τοῦ θείου ὑπάρχουσιν, ὥςπερ ὁ Μαρτῖνος ἡγεῖται, ἐπίσης φανερόν· αἱ γὰρ ἰδέαι καὶ ἡ εἰς ἥν γε πᾶσαι αἱ ἄλλαι κορυφοῦνται, τοῦ ἀγαθοῦ, ὡς τὸ ἤ γε δέον εἶναι τῶν ὄντων ἁπάντων, ἅμα δὲ ἁπλῆ, σύνθετος δ' οὐδ' ὁπωςτιοῦν, ὥςπερ Μαρτῖνος εὐλαβεῖται, νοουμένη, οὐδὲν ἄλλο ἐςὶν ἢ αὐτή π ω ς ἡ φύσις καὶ οὐσία τοῦ Θεοῦ καὶ δὴ καὶ ὁ νόμος, ᾧ γε ἐνεργεῖ ἐνεργῶν [ἔπιθι Μαρτίνου Τίμαιον Πλάτ. Τ.Α. σ. 6—7. Τ. Β. σ. 50.—]. Πῶς γὰρ ἂν νοήσειεν ὁ Θεός; ἔροιτ' ἄν τις τοὺς σοφοὺς ἐκείνους ἄνδρας· — Δῆλον ὅτι ἄριστα καὶ βέλτιστα, ἤτοι ἧ χρεὼν ἦν. — Ἀλλὰ τίνι μάλιστα τρόπῳ ἤτοι νόμῳ οὕτω νοήσειεν ἄν; — Δῆλον ὅτι τῷ νόμῳ τοῦ βελτίστου. — Τί δ' ἐστιν ὁ νόμος ὁ τοῦ βελτίστου; ἄλλο τι ἢ αὐτὸ τὸ ἀγαθόν; — — Ἀλλὰ ποῦ ἐστι τοῦτο τἀγαθόν; φὴς τοι τὸν Θεὸν κατὰ Πλάτωνα τέλειον εἶναι καὶ παντοδύναμον καὶ ἐλεύθερον ὄν; — Πάντως. — Δῆλον ἄρα ὡς ἐν ἑαυτῷ γε τὸν τοῦ βελτίστου νόμον ἤτοι τἀγαθὸν, «αὔταρκες» ὄν, ἔχει. πέποιθα ὅτι οὕτως ὁ Πλάτων τὸ θεῖον ἐνόησε. Τἀγαθὸν ἄρα οὐχ ἁπλῶς π ρ ο ϊ ὸ ν



πρῶτον μὲν ὁ Δημιουργὸς τὴν παγκόσμιον ψυχὴν ἐδημιούργησε· τοῦτο δ' οὐδὲν μυστηριῶδες ἔχει, εἴτις ἂν τῇ διανοίᾳ λάβοι ὅτι οἱ πάλαι Ἕλληνες τήν τε ψυχὴν καὶ τὴν ὕστερον λεγομένην ζωϊκὴν δύναμιν, ὡς μίαν καὶ τὴν αὐτὴν οὖσαν ὑπελάμβανον, δι' ἧς ὥςπερ τὰ ἴδια ζῷα, οὕτω καὶ τὸ καθόλου ζῷον ἤτοι ὁ κόσμος ζῇ, ἀστέρες τε καὶ ἥλιος καὶ λοιποὶ πλανῆται καὶ γῆ καὶ πάντα τὰ ἐν τῇ γῇ. καὶ τὸ σύνολον ἄρα τῶν φυσικῶν ἢ φυσιολογικῶν δυνάμεων ψυχὴ παρὰ τοῖς πάλαι ἐλέγετο. Ἐν δὲ ταύτῃ τῇ ψυχῇ τὸν νοῦν ἐνοικεῖν ὁ Πλάτων ἔφη. Δόξειε μὲν οὖν ἄν τινι τὰ περὶ τὴν κορυφὴν τούτου τοῦ φιλοσοφικοῦ γίγαντος κρατερὰ καὶ εὖ συγπεπηγότα καὶ τρόπον τινὰ ἄσειστα ὑπάρχειν· Νοῦς κατ' ἐξοχὴν ἢ Δημιουργὸς ἄριστος τῇ ἑαυτοῦ ἀγαθότητι τὸν κόσμον ἄριστον ἐποίησεν· Νοῦς διὰ τῆς ψυχῆς διήκων τὸ Σύμπαν τόδε διακοσμεῖ· ὥστε μεταξὺ τοῦ Νοῦ καὶ τῶν γιγνομένων, τῶν ὁρατῶν ψυχὴ ἡ μεσολαβοῦσα. Λέγομεν δ' αὖθις ὅτι ψυχὴν ὁ Πλάτων παγκόσμιον λέγων, τοῦτό γε μάλιστα ἐν νῷ εἶχεν, ὅπερ ἄν τις καὶ τῶν νῦν νοήσειε σύνολον τῶν φυσικῶν καὶ μαθηματικῶν δυνάμεων καὶ νόμων εἰπών· καὶ πάντες σχεδὸν οἱ πάλαι ψυχὴν ζωῆς οὔπω διέστελλον (α). Εἰκότως οὖν ἄν τις ταύτην

---

τοῦ Θεοῦ ἐστιν, οὐδ' ἐκτὸς αὐτοῦ, ἀλλ' ὁ νόμος τοῦ εἶναι Θεῷ, αὐτή π ω ς αὕτη ἡ φύσις καὶ οὐσία τοῦ Θεοῦ. μηδ' ἀμνημονητέον ὅτι Πλάτων, ὥςπερ καὶ πάντες οἱ ἐθνικοὶ φύσει πως καὶ ἕξει εἰς πανθεϊσμὸν ἀποκλίνουσιν.

(α) Ἴδιον δὲ τῷ θείῳ Πλάτωνι ἐν τούτῳ τῷ δόγματι τόδε ἐστί· τὴν γὰρ τοῦ κόσμου ψυχὴν ἤτοι τὸ σύνολον τῶν κοσμικῶν δυνάμεων καὶ νόμων, δι' ὧν ἡ θεσπεσία τοῦ Σύμπαντος..

τὴν Πλατωνικὴν φιλοσοφίαν πρὸς εὐρυῤῥόαν ποταμὸν ἰδεῶν παραβάλλοι, ὃς ἀπὸ ὑψηλοῦ τινος καὶ αἰγλήεντος τόπου, ἐν ᾧ γε αἱ ἰδέαι πᾶσαι εἰς Μίαν συγκορυφοῦνται καταλειβόμενος, κατ' εὐθυωρίαν ῥεῖ, ἕως οὗ εἰς ψαμμώδεις χώρας ἥκων ἵσταται καὶ ἀτελὴς φαίνεται· πᾶσα γὰρ κίνησις πλὴν τῆς κυκλοτεροῦς, οἷον κωλύσει ἀεὶ ὑποκειμένη, ἀτελὴς ἀναφαίνεται. αἱ γὰρ ἰδέαι εἰς μυριάδας ἰδεῶν ἀποσχίζονται· καὶ τοῦτο μὲν ὡς ἀληθῶς ἀξιάγαστόν ἐστιν. Ἓν δὲ μόνον ὡς ἐν παρόδῳ εἰρήσθω μοι ἐνταῦθα, ὅσοι τὸν Πλάτωνα ὑπέλαβον ὅτι καὶ ἰδέας τοῦ κακοῦ καὶ αἰσχροῦ ὡς ὄντως οὔσας ἔθετο, οὐ πάνυ καλῶς, οἶμαι, τὰ τοῦ Πλάτωνος ἐνενόησαν, καίτοι ἄλλως

---

ἁρμονία τελεῖται, ὡς ἀναμάρτητον οὖσαν, τιμιωτέραν τε καὶ πρεσβυτέραν τῆς ἀνθρωπικῆς ψυχῆς εἶναι ἡγεῖτο· αὕτη γὰρ ἁμαρτήμασιν ὑπόκειται. ἐν γὰρ τῷ ἁμαρτάνειν ἀτέλειαν μόνον ὁ Πλάτων ἐνεώρα, οὐχὶ δὲ καὶ ἐλευθερίαν· ἡ δὲ ψυχὴ τοῦ ἀνθρώπου μακρᾷ περιελεύσει εἰς τὸν ἄνω τόπον γιγνομένη ἁγνίζεται. ἁγνότατος μὲν οὖν ὁ ἀνώτατος τόπος, ἡ σφαῖρα, ἐν ᾗ γε οἱ ἀπλανεῖς ἀστέρες ἀμαρύσσουσιν (εἴη δ' ἂν αὕτη καὶ παμπαλαία τις παράδοσις περὶ τῶν ἀστέρων ὡς θείων ὄντων λατρευομένων)· καθ' ὅσον δέ τις ἀπὸ τῆς τῶν ἀπλανῶν ἀστέρων σφαίρας διὰ τῆς τῶν πλανητῶν ἐπὶ τὴν γῆν καθίπταται, κατὰ τοσοῦτον καὶ ἀεὶ ἀτελεστέροις οὖσιν ἐντυγχάνει· τὸ γὰρ ἀνώτατον ἁγνότατον κατὰ Πλάτωνα, τὸ δὲ κατώτατον ἀτελέστατον. Ἴσως δὲ καὶ τὰ ἐν τῷ βυσσῷ τῶν θαλασσῶν ζῶντα, ὡς τὸν κατώτατον τόπον ἔχοντα καὶ ἀθρόῳ τῷ γεώδει βαρυνόμενα, ἀτελέστατα ὁ Πλάτων ὑπελάμβανεν, εἴπερ ἔξεστιν ἐκ τῶν εἰκόνων εἰκάσαι, αἷς ἑκασταχοῦ κέχρηται. Ἀλλὰ ταῦτα τὰ κατώτατα ζῷα περιελεύσει τῇ εἱμαρμένῃ εἰς τὸν ἀνώτατον τόπον αὖθις γιγνόμενα ἁγνίζεται, κἀντεῦθεν πάλιν εἰς τὸν κατώ-



σοφοὶ ὄντες· οὐδ' ὅσα παραδείγματα καὶ μάλιστα ἐκ τοῦ Παρμενίδου προφέρονται ἀποδείκνυσί τι τοιοῦτον· ᾤχετο γὰρ ἂν οὕτω πάντα τὰ τοῦ Πλάτωνος, ὡς καπνὸς ὑπ' ἀνέμου φερόμενος, εἰ καὶ τοῦ κακοῦ καὶ αἰσχροῦ ἰδέαν ὡς ὄντως οὖσαν ἐτίθετο. ἔτι δὲ τολμητέον μοι καὶ τόδε· ὅσοι οὕτως εὔτρωτον τὸ τῶν ἰδεῶν σύστημα ἡγοῦνται, ὥστ' ἂν οἷόν τ' εἶναι ἐκ τοῦ προχείρου αὐτὸ ὡς παίδειον ἄθυρμα ἢ πομφόλυγα διαλῦσαι, οὗτοι καίπερ σοφοὶ ἄλλως ὄντες παρεῖδον ὅτι ὁ σθεναρὸς τοῦ Πλάτωνος νοῦς δι' ὅλου τοῦ βίου αὐτοῦ τοῦτό γε μάλιστα ἐσπούδασε, τὴν ἰδεολογίαν καὶ ταύτῃ τῇ ἰδεολογίᾳ ἐς τὰ μάλιστα πέποιθεν (α). Τὰ μὲν οὖν ἡμῖν δοκοῦντα περὶ τούτου ἀλ-

---

τατον αὖθις ἐλθόντα φέρεται καὶ οὕτως ἐφεξῆς. Ψυχολογικῶς ἄρα ὁ ἀΐδιος τῶν ὄντων κύκλος τελειοῦται· οὐ μέντοι καὶ ἰδεολογικῶς· τῇ γὰρ κυκλοτερεῖ τῶν ἰδεῶν περιελεύσει ἐμποδὼν ἡ ὕλη, τὸ ὁρατὸν γενόμενον, ἐκώλυσεν.

(α) Εἰώθασι τοὺς φιλοσοφοῦντας, καθ' ἥν περ μέθοδον ἐν τῷ φιλοσοφεῖν κέχρηνται διχῇ διαιρεῖν εἴς τε τ ο ὺ ς ἀ ν α λ υ τ ι κ ο ὺ ς καὶ τ ο ὺ ς σ υ ν θ ε τ ι κ ο ύ ς· καὶ ἀναλυτικοὶ μέν εἰσιν, ὅσοι τὸ σύνθετον καὶ ὁρατὸν ἢ τὸ ἐν σχέσει τινὶ ὂν νοητὸν ὡς δεδομένον παραλαμβάνοντες, ἐπὶ τὸ ἁπλοῦν ὡς ζητούμενον διὰ τῆς ἀναλύσεως προβαίνουσιν· οὗτοί εἰσιν οἱ ἐμπειρικοὶ λεγόμενοι. Συνθετικοὶ δὲ τἀνάπαλιν, ὅσοι τὸ ἁπλοῦν ὡς δεδομένον παραλαμβάνοντες, ἐπὶ τὰ σύνθετα καὶ ὁρατὰ ἢ τὰ ἐν σχέσει τινὶ ὄντα νοητὰ διὰ συνθέσεως προβαίνουσιν· οὗτοί εἰσιν οἱ ἰδεολόγοι ἢ ἰδανικοὶ ἢ θεωρητικοὶ ἢ ὅπως ἄν τις χαίροι αὐτοὺς ἀποκαλῶν. Οὕτως οὖν πολλοὶ εἴποιεν ἂν τὸν Πλάτωνα συνθετικὸν φιλόσοφον εἶναι κατ' ἐξοχήν, οἷον δὴ ἀπὸ τῶν ἁπλουστάτων, τῶν ἰδεῶν ὡς τεθειμένων, ὁρμώμενον, εἰς τὰ κατὰ μέρος ἢ τὰ ἐν σχέσει τινὶ ὄντα νοητὰ ἐπικαταβαίνειν.

λοτε ἐροῦμεν· νῦν δ' ὡς ἐν παρόδῳ τάδε ῥητέον· ὁ Πλάτων λέγει τραπεζότητα, κυαθότητα, τριχότητα καὶ τὰ παραπλήσια· λάβωμεν ἓν τούτων τῶν πολλῶν ὡς παράδειγμα· κυαθότητα λέγων, νοεῖ πάντωςτὸ εἶδος, καθ'

---

Ἔνιοι δὲ καὶ Πλατωνικὸν λέγοντες, αἰθέριόν τι καὶ ἀνύπαρκτον νοεῖν τολμῶσι, ποιητικὴν μὲν χάριν ἄλλως ἔχον, ὑπόστασιν δ' οὐδεμίαν ἀληθῆ. Θαῤῥούντως μάλα ἡμεῖς γε λέγομεν πολλοὺς πάμπαν διαλαθεῖν ὅτι ὁ Πλάτων ἐπὶ τῶν κυριωτάτων συνθετικῶς προβαίνει, αὐτὸς ἤδη πρότερον πείρᾳ μὲν ἀμφιλαφεῖ, μελέτῃ δὲ πολυχρονίῳ ἀναλυτικῶς τὸ ἁπλοῦν ἤτοι τὰς τῶν ὄντων ἀρχὰς, τὰς ἰδέας ἀνευρών. πολλοὶ δὲ διὰ πολλῶν καὶ πάνυ λεπτῶν λόγων ἐπεχείρησαν ἡμῖν ἑρμηνεῦσαι τὴν μέθοδον, ἥτις ἐπαγωγὴ καλεῖται. Πρὸς τί πολλῶν χρῄζομεν λόγων; Αὐτὸς γὰρ ὁ Σωκράτης ἐν Φαίδωνι (σ. ρ'.) μάλα ἀφελῶς καὶ σαφῶς διὰ βραχέων ἡμῖν περὶ τῆς ἑαυτοῦ μεθόδου, τῆς ἐπαγωγῆς διηγεῖται. Ἡ ἐπαγωγὴ ἄρα οὐδὲν ἄλλο ἐστὶν ἢ ἡ εἰς ταὐτὸν σύνοδος ἀμφοτέρων τῶν μεθόδων, τῆς τε ἀναλυτικῆς καὶ τῆς συνθετικῆς. Ἤδη γὰρ πρότερον τῇ ἀναλυτικῇ μεθόδῳ ὁ Σωκράτης χρησάμενος, «ἐῤῥωμενέστατόν τινα λόγον» ἤτοι ΙΔΕΑΝ ἀνεῦρε· (πολλοὶ δέ φασιν ὅτι ἡ ἰδέα, τῇ καθόλου συνθετικῇ μεθόδῳ εὑρίσκεται! Τὸ ψεῦδος φανότατον· τὸ γὰρ κοινὸν ἐπὶ πολλῶν σύνθετον εἶναι ἡγοῦνται.) Κατὰ ταύτῃ τῇ ἰδέᾳ ὡς ἀρχῇ χρώμενος, τὰ προτιθέμενα ὑπάγει ἤγουν ἐν νῷ συνθετικῶς προβαίνει. Ταύτῃ τῇ ἐπαγωγῇ φανερώτατα καὶ ὁ Πλάτων ἐπὶ τῶν πλείστων κέχρηται. Ἡ ἐπαγωγή ἐστιν ἡ συνηθεστάτη μέθοδος πάντων σχεδὸν τῶν πάλαι φιλοσόφων ἤτοι ἡ ἀπὸ τοῦ συνθέτου καὶ ὁρατοῦ ἢ ἐν σχέσει τινὶ ὄντος νοητοῦ εἰς τὸ ἁπλοῦν καὶ αὐτὸ καθ' αὑτὸ ὂν ἄνοδος καὶ ἡ ἀπὸ τούτου εἰς τὸ ὁρατὸν ἢ ἐν σχέσει τινὶ ὂν νοητὸν κάθοδος. ἡ ἄνω ὁδὸς, ἡ κάτω ὁδός. Τοῦτό ἐστιν ἡ ἐπαγωγὴ, ὁρμωμένη ἀεὶ ἀπὸ τῆς κάτω ὁδοῦ. «Πλάτων δὲ τὴν διαιρετικὴν μέθοδον ἐξυμνῶν καὶ θριγκὸν αὐ-



ὃ ἐκφαίνεταί τι, ὡς τῆς ὁμωνύμου ἰδέας μεταλαγχάνον· ἀφαιροῦ τοίνυν τῇ διανοίᾳ τὴν κυαθότητα· μενεῖ τι ἆρα ἄλλο ὑπόλοιπον; — Πάντως δή που, κοιλότης ἢ κυρτότης ἄλλη ἄλλῃ προσηγορίᾳ ἀνήκουσα. — ἀφαιροῦ τοίνυν καὶ ταύτην· ἢ μενεῖ τι ἆρα ἄλλο ὑπόλοιπον καὶ νῦν; — πῶς γὰρ οὔ; — ξύλον ἴσως, αὐτό γε τοῦτο ὡς ξύλον. ἀλλ' ἀφαιροῦ καὶ τὴν ξυλότητα· μενεῖ τι ἆρα ἄλλο; — πάντως. — Χώρει τοίνυν ἀφαιρούμενος οὕτω τῇ διανοίᾳ ἓν ἕκαστον τούτων, ἄλλο τι ἢ ἐπί τι ταῖς αἰσθήσεσιν ἄληπτον ἥξεις; πάντως, ὥσπερ καὶ οἱ ἀτομολόγοι. Μῶν μέχρι τοῦ μηδενὸς ἆρά γε ὁ Πλάτων προβαίνει; οὐδ' ὁπωστιοῦν· εὖ γὰρ οἶδεν ὅτι ἐκ μηδε-

---

τὴν φιλοσοφίας λέγων, ταύτης δὲ θέμενος ἔργον εἶναι τὸ δύνασθαι τό τε ἓν πολλὰ ποιεῖν καὶ τὰ πολλὰ εἰς ἓν συνάγειν, ὅπερ ἂν εἴη ἴσον τῷ τὰ γένη δύνασθαι διαιρεῖν (;) εἰς εἴδη καὶ εἰς τὰ ὑπὸ ταῦτα καὶ πάλιν τὰ ἄτομα συντιθέναι τε (;) καὶ εἰς ἓν γένος ἀνάγειν τε καὶ συγκεφαλαιοῦσθαι, τὴν αὐτὴν ταύτην καὶ διαλεκτικὴν καλεῖ.» σχόλ. εἰς τὸ Α τῶν τοπικῶν. σ. 254 τῆς ἐκδ. τοῦ σοφοῦ Βρανδισίου. — Ὁ δὲ συλλογισμὸς κατὰ πάντα αὐτοῦ τὰ σχήματα ἑκατέρᾳ τῇ μεθόδῳ ἐνδέχεται γίγνεσθαι, τῇ τε συνθετικῇ καὶ ἀναλυτικῇ. συνθετικῇ μὲν μεθόδῳ ὁ συλλογισμὸς γίγνεται, ὡς ὅταν τις ἀπὸ ἁπλουστέρου μέν τινος ὁρμώμενος, οἷον ἀγαθόν ἐστι τὸ ἧγε δέον εἶναι ὄν, συνθετικῶς δὲ προβαίνων συμπεραίνηται, ἀγαθὸν ἄρα ἐστὶ τὸ φιλεῖν τε καὶ εὐεργετεῖν τὸν πλησίον· ἀναλυτικῇ δὲ μεθόδῳ γίγνεται ὁ συλλογισμὸς, ὅταν τις ἀπό τινων ἐν σχέσει τινὶ πρὸς ἄλληλα ὄντων νοητῶν ὁρμώμενος (ἐν γὰρ συλλογισμοῖς σύνθετον ἢ ὁρατὸν οὐκ ἐγχωρεῖ), οἷον· φύσει τοῦ εἰδέναι πάντες ἄνθρωποι ὀρεγόμεθα, κατ' ἀνάλυσιν δὲ προβαίνων, ἁπλούστερόν τι συμπεραίνηται, τὸ θεῖον ἄρα σοφόν.

νὸς οὐκ ἂν πάλιν τὸ ὂν τὸ ὁρατὸν (ὅπερ ὁ Πλάτων οὐκ ὂν λέγει, ὡς ἀεὶ Γιγνόμενον, κατὰ τἀναντία πρὸς τὸ ἀεὶ ὡσαύτως καὶ κατὰ ταὐτὰ ὂν (α)) συστήσειεν, ὡς οὐδ' ὁ ἀτομολόγος ὁ πάλαι τε καὶ νῦν εἰς τὸ μηδὲν τελευτᾷ. Τοῦτο δὴ τὸ ἔσχατον, εἰς ὃ ὁ θεῖος Πλάτων ἥκει, πολλοῖς ὀνόμασιν ἐπειράθη ὀνομάσαι δεξαμενήν, τόπον εἰπών (β). Ἀλλά τινες οὐ καλῶς δοκοῦσί μοι τὸν

(α) Ἔγελος δὲ ὂν καὶ οὐκ ὂν ταὐτὸν εἶναι ἄμφω λέγει, τὸ οὐκ ὂν ὡς ὂν ἐν σχέσει τινὶ πρὸς τὸ ὂν νοῶν, ἑκάτερον δὲ εἰς ἑκάτερον μεταβαῖνον καὶ ἐν ταύτῃ τῇ μεταβάσει ἀεὶ ὂν ἕν, τελειούμενον καὶ ἑαυτοῦ τρόπον τινὰ ἀεὶ ἀπολειπόμενον καὶ οὐδέποτε τοῦ εἱμαρμένου δίνου ἀποπαυόμενον.

(β) Τάδε σχεδὸν τὰ ὀνόματα· «Δεξαμενή», «τὸ πανδεχές», «τὸ ὑποκείμενον», «χώρα», «τόπος», «ἡ μήτηρ», «τὸ ἐκμαγεῖον», «τὸ ἐν ᾧ γίγνεται», «τὸ ἀόριστον», «δυὰς ἀόριστος», τὸ «φθορὰν οὐ προσδεχόμενον, ἕδραν δὲ παρέχον ὅσα ἔχει γένεσιν πᾶσιν, αὐτὸ δὲ μετ' ἀναισθησίας ἁπτὸν λογισμῷ τινι νόθῳ, μόγις πιστόν, πρὸς ὃ δὴ καὶ ὀνειροπολοῦμεν βλέποντες καί φαμεν ἀναγκαῖον εἶναί που τὸ ὂν ἅπαν ἔν τινι τόπῳ καὶ κατέχον χώραν τινά, τὸ δὲ μήτε ἐν γῇ, μήτε που κατ' οὐρανὸν οὐδὲν εἶναι». «Ὕλην» δὲ αὐτὸς μὲν ὁ Πλάτων οὐκ εἶπεν, ἀλλ' ὁ Ἀριστοτέλης ὡς «ἐκ τῶν ἀγράφων δογμάτων ὕλην ἀποκαλεῖ, καὶ ὁ Πλούταρχος ἐν τῷ περὶ γενέσεως τῆς ψυχῆς, ἔτι δὲ παρὰ Τιμαίῳ τῷ Λοκρῷ εὕρηται ὡσαύτως «ὕλα».

Ὁ Μαρτῖνος πάνυ σοφῶς τῷ Σταλλβαυμίῳ ἀντιλέγων, λέγει ὅτι ὁ τόπος οὗτος, τὸ ἐκμαγεῖον, οὔτε ἐν αὐτῷ τῷ Θεῷ ἐστι κατὰ Πλάτωνα, οὔτε δημιούργημα αὐτοῦ, ἀλλ' ἐκτὸς τοῦ Θεοῦ τὸ εἶναι ἔχει, συνάναρχος ὢν τῷ Θεῷ. (Τιμ. Τ. Α. σ. 18. Τ. Β. σ. 203 κεξ.—) Τοῦτο καὶ τὸ μάλιστα τρωτὸν τῆς Πλατωνικῆς φιλοσοφίας. Ἀλλὰ τὴν ἀντίῤῥησιν τοῦ σοφοῦ Μαρτίνου πρὸς αὐτὸν τὸν Πλάτωνα οὐ πάνυ τι προσιέμεθα. αὐτόθι. Τ. Α^ου σ. 18. ἐδάφ. β^ον.



τόπον τοῦτον τῷ κοινῶς λεγομένῳ τόπῳ συγχέαι· καὶ γὰρ ὁ τόπος οὗτος τοῦ Πλάτωνος οὐ τὸ ἐν ᾧ γε τὰ αἰσθητά ἐστιν, ὥσπερ ὁ σοφὸς Μαρτῖνος ὑπολαμβάνει. οὐδ' ὁπωστιοῦν· ἀλλ' ὁ τόπος οὗτός ἐστι τὸ ἐν ᾧ γε τὰ εἴδη τῶν αἰσθητῶν, ὅπερ πάντῃ διάφορόν ἐστι τοῦ κοινῶς λεγομένου τόπου (α). ἄλλοι δέ τινες οὐκ ἔχουσι συμβαλεῖν, ὅπως ποτὲ ὁ Πλάτων εἴρηκεν ὅτι οὗτος ὁ τόπος, ἡ δεξαμενὴ νόθῳ τινὶ λογισμῷ περιληπτή ἐστιν. ἀλλὰ κατά γε τὴν ἡμετέραν καὶ πάνυ σαφῶς εἴρηκεν· τοιόνδε τι γὰρ βούλεται εἰπεῖν, ὅτι ὁ τόπος οὗτος οὔτε τι νοητὸν ὅλως ἐστὶν ἤτοι ἰδέα ὥστε καθαρῷ καὶ εἰλικρινεῖ λογισμῷ αὐτὴν λαβεῖν, οὔτ' αὖ τῶν αἰσθητῶν τι ὥστε δόξῃ τε καὶ αἰσθήσει τινὶ ληφθῆναι· οὔτε ἰδέα ἐστίν, οὔτε ὅλως ὕλη, νόθῳ τινὶ ἄρα λογισμῷ ληπτή (ὅρα σημ. α). Ὅτι μὲν οὖν ἐκείνη ἡ τῶν εἰδῶν καὶ σχημάτων ὑπάλληλος συνέχεια διανοίας εὕρημα δαιμόνιόν τι βάθος ἐχούσης ἐστί, παντί που δῆλον· χιλιετηρίδας γὰρ ὁ Πλάτων κατά γε τοῦτο τοῦ Ἀριστοτέλους προέβη. (β).

(α) Ὁ τόπος οὗτος κατὰ Πλάτωνα οὐδὲν ἄλλο ἐστὶν ἢ τὸ κενὸν καὶ ἀφῃρημένον εἶναι τοῦ μὴ ὄντος τῶν αἰσθητῶν (ἐπεὶ τοῖς γ' αἰσθητοῖς κατὰ τοσοῦτον τὸ εἶναι ὑπάρχει, καθ' ὅσον τῆς ἰδέας μεταλαγχάνει). Ἀλλὰ τὸ ἁπλῶς εἶναι ὡς κενὸν καὶ ἀφῃρημένον φύσει ἄληπτον τῷ νῷ ἐστιν, πολλῷ δὲ μᾶλλον τὸ εἶναι τοῦ μὴ ὄντος. Ὥστε καλλιόνως ἂν εἶχεν, εἰ Πλάτων ἔλεγεν ὅλως ἄληπτον τῇ διανοίᾳ εἶναι τὸν τόπον ἐκεῖνον.

(β) Ὁ μὲν Ἔγελος πάσης τῆς θεωρίας τῆς ἐν τῷ Τιμαίῳ (ἣν οὐδὲ τοῦ Πλάτωνος ἔργον εἶναι λέγει, ὥσπερ μέχρι τινὸς καὶ ὁ Σχελλίγγιος) παντάπασιν ὀλιγωρεῖ καὶ σχεδόν τι ἐς τὸ μηδὲν ἀποῤῥίπτει. Ὁ δὲ Μαρτῖνος περὶ τὴν ἱστορίαν τῶν φυσικῶν

Ἀλλ' οὐχ ἧσσον ὁμολογητέον ὅτι οὗτος ὁ τόπος, τοῦτο τὸ ἔσχατον καὶ ἀόρατον ὅπερ ὑπολείπεται, τὸ ἐν ᾧ γε τὰ εἴδη ἐκμαγμάτων δίκην ἐναποτυποῦται, ὡς φραγμὸς ἀνυπέρβλητος προκύπτει τὴν εἰς ἑαυτὸ πορείαν τοῦ Ὄντος κωλύων. Ὁ τοῦ Ἡρακλείτου ἄρα ποταμὸς, ἰδεολογικὸς παρὰ τῷ θείῳ Πλάτωνι κατασὰς, εἰς δὲ τὸν φραγμὸν τοῦτον καταῤῥεύσας, ἵσταταί πως ἀδρανὴς καὶ τὰ τοῦ Παρμενιδείου Ὄντος παθήματα πάσχει· οἱ δ' ἀριθμοὶ οἱ Πυθαγορικοὶ διωχεύτευσαν τὸν ῥοῦν αὐτοῦ μέχρι τῆς δεξαμενῆς. Μένει τι ἄρα ὑπόλοιπον καίτοι πάνυ λεπτὸν, ὡς φραγμὸς κωλύων τὸν ποταμὸν τὸν Πλατωνικὸν ἀψόῤῥουν γενέσθαι. Εἰ μὲν οὖν ὁ Πλάτων τῆς ἰσχυούσης προλήψεως παντάπασιν ἀπαλλαγεὶς, καθ' ἥν περ τὸ ὁρατὸν ὡς τοῦ ἀοράτου τρόπον τινὰ ἐναντίον κατ' οὐσίαν ὂν νοεῖται, ἐκποδὼν τὸ κώλυμα ἐποιεῖτο, εἶχεν ἂν πάντως τὸν ῥοῦν τοῦ ποταμοῦ εἰς αὐτὸν τὸν ποταμὸν περιτρέψαι καὶ οὕτως ἂν ἐγγύτερον τοῦ τελείου ἥπτετο (α)· πᾶσα γὰρ ἄλλη κίνησις πλὴν τῆς κυκλοτεροῦς ἀτελής· καὶ τοῦτον τὸν τρόπον ὁ Ἡρακλείτειος ποταμὸς ἀψόῤῥους καὶ αἰώνιος ὠκεανὸς ἐγένετ' ἄν. Ἀλλὰ καὶ τούτου κατορθωθέντος, τοῦ παντὸς δέομεν ὑπολαβεῖν ὅτι αὐτό γε τοῦτο

---

καὶ μαθηματικῶν ἐπιστημῶν ἀσυγκρίτῳ τῷ λόγῳ σοφώτερος ὢν τοῦ Ἐγέλου, φησὶν ὅτι ἔνια τῶν περὶ φύσεως ἐν τῷ Τιμαίῳ ἀνελπίστους ἀναλογίας παρέχει πρὸς τὰς νῦν ὑπαρχούσας ἐπιστήμας τὰς φυσικάς.

(α) Ὁ Ἔγελος τὸν φραγμὸν ἐκεῖνον λύσας, κίνησιν κυκλοτερῆ οὐ ταῖς ἰδέαις ἢ τοῖς εἴδεσι παρέσχεν, ἀλλὰ τῇ Ἰδέᾳ καὶ ταῖς κατηγορίαις. Ἐπιθι δὲ καὶ τὸν ἡμέτερον λόγον πρὸς τὴν Ἑλλ. νεολαίαν.



τέλειον κατὰ πάντα ὤφθη ἂν τὸ φιλοσόφημα· ἐπεὶ οὐ μόνον πολλὰ ἄλλα τῶν Πλατωνικῶν ἀσυμβίβαστ' ἂν ἀλλήλοις ἔμεινεν, ἀλλὰ καὶ πολλὰ ἄλλα καινὰ ἀνεφύη ἂν κωλύματα πρὸς τελειότητα· ἀλλὰ γοῦν κατ' οὐσίαν ὤφθη ἂν τὸ σύστημα τοῦτο ἀϊδιότητός τινος μετέχον.

Νῦν δὲ πῶς ἔχει ἆρά γε ὁ φραγμὸς οὗτος ὁ νόθῳ λογισμῷ περιληπτὸς πρὸς αὐτὸ τὸ κατ' ἐξοχὴν Ὄν;— ἐδιχάσθη ἄρα τὸ Ὂν καὶ κατὰ Πλάτωνα, τούτῳ τῷ φραγμῷ προσκόψαν· ὁ δὲ διχασμὸς τοῦ Ὄντος ἤτοι ὁ ἐν φιλοσοφίᾳ δυασμὸς λεγόμενος ἀτελείας ἢ μᾶλλον εἰπεῖν ἀτελοῦς ἐπιτυχίας τεκμήριόν ἐστιν. Ἀλλὰ τῷ Πλάτωνι ὁ διχασμὸς κατὰ τὴν κάτω ὁδὸν ὡς ἔπος εἰπεῖν συμβέβηκεν, ἄλλοις δὲ συμβαίνει κατὰ τὴν ἄνω.

Καὶ τοῦτο δὲ περὶ Πλάτωνος λέγοντες ὅτι κατὰ τὴν ἄνω ὁδὸν διχασμὸς αὐτῷ οὐ συνέβη καὶ ὑπὲρ αὐτοῦ τρόπον τινὰ ἀπολογούμενοι ὅτι ὁ Θεὸς οὐχ ὡς ἁπλῶς ποιητικὴ εἰκὼν τῷ λόγῳ ἐπεισῆκται εἰς τὸν κόσμον, ὡς κυρίως ἀλλότριος ὢν αὐτοῦ, ἀλλ' ἐπιεικῶς τῷ δημιουργήματι ἤτοι τῷ κόσμῳ παντὶ συνηρμοσμένος φαίνεται, καὶ ταῦτα οὕτω λέγοντες, σχολῇ γε τοιοῦτόν τι βουλοίμεθ' ἂν ἰσχυρίσασθαι, οὕτως ἑνιαῖον καὶ τρόπον τινὰ συμπαγὲς τὸ φιλοσόφημα ὑπάρχειν, ὅπως αὐτὸ ὁ νοῦς καὶ ἡ συναίσθησις τοῦ νέου ἀνθρώπου βούλεται, ἀλλὰ τοσόνδε μόνον λέγομεν, ἀνωθέν ποθεν ἀρχόμενοι ὧδε. Σύμπαν γὰρ τὸ τῶν ἀνθρώπων γένος ἐκ μονοθείας τὸ πρῶτον φύσει πως ὡρμήθη, ἀλλὰ τὰ ἰνδοευρωπαϊκὰ μάλιστα ἔθνη ὡς ἐνδεδεμένον τὸ θεῖον ἐνεῖδον τῇ φύσει καὶ ταῖς παντοειδέσι δυνάμεσι καὶ λειτουργίαις αὐτῆς, καὶ τὸν ἀρχῆθεν ἑνιαῖον Θεὸν κατὰ σμικρὸν τῷ χρόνῳ εἰς πολλοὺς θεοὺς ἀπέσχισαν. Εἰσρυέντος οὖν τοῦ τῆς πολυθείας χει-

μάῤῥου καὶ τὴν φαντασίαν αὐτῶν ἐπικλύσαντος, ὁ πρῴην Θεὸς πέραν που ἐν ἀδρανείᾳ κατελείφθη μόγις σωθείς, παντὸς μὲν ἔργου πεπαυμένος, τὴν δ' ἑβδόμην ἡμέραν τὸν πάντα αἰῶνα ἐν μακαριότητι ἄγων. Ταὐτὸν δέ που καὶ τοῖς Ἕλλησι συνέβη, εἰ γάρ τις καὶ τὴν Ἑλλήνων μυθολογίαν ἐπισταμένως ἂν μετέλθῃ, εὑρήσει πάντως ἴχνη, ὡς προείρηται, μονοθείας τινὸς παλαιᾶς, ὡς ἰδέας ἀπηρχαιωμένης καὶ σχεδόν τι παντάπασιν ἀδρανούσης. Ὅ τι οὖν ἑνί γ' ἑκάςῳ τῶν πολυθεϊκῶν ἐθνῶν ἐν χρόνῳ μακρῷ κατ' ἀνάγκην πως συνέβη, αὐτὸ τοῦτο καὶ τῷ Πλάτωνι φιλοσοφοῦντι ἐν βραχυτάτῳ. τοῦτο τοίνυν πρὸς τοὺς σοφοὺς ἀντειπεῖν ἠθελήσαμεν ὅτι θαυμασίως μὲν ὁ Πλάτων ἤρξατο καὶ ὁ Δημιουργὸς κατὰ λόγον τε καὶ ἀνάγκην εἰς μέσον παρῆλθεν, ἀλλά, πολυθεϊκῆς ἕξεως ἰσχυσάσης, ἐκτὸς τῆς ἐνεργείας κατέστησε τὸν Δημιουργόν. Καὶ ἐν παντὶ συστήματι πολυθεϊκῷ ἡ μονοθεία εἴτε ὡς πρώτη τῆς συναισθήσεως ἔκφανσις ἤδη προϋπάρξασα εἴτε καὶ κατὰ σμικρὸν ὑπὸ τῶν φιλοσόφων τῷ χρόνῳ ἐπινοουμένη, κατ' ἀνάγκην ἰδανικὴ ἀποβαίνει, ἥνπερ Δεϊσμὸν (Deismum) οἱ σοφοὶ προσαγορεύουσιν. Ἔτι δὲ ἰδανικωτέρα καὶ παντάπασιν ἀδρανὴς κατέστη ἡ μονοθεία παρά τε τῷ Πλωτίνῳ καὶ παρὰ πᾶσι τοῖς ἄλλοις τοῖς νέοις Πλατωνικοῖς.

### Παρέκβασις.

Ἔοικεν ὁ Πλάτων, ὡς καὶ πρότερόν μοι εἴρηται, τὰ σώματα τὰ κοσμικά, οἷον δὴ τὰ προσήκονθ' αὐτοῖς ἀναμαρτήτως ἐπιτελοῦντα, θειοτέρας τινὸς τῆς κατ' ἄνθρωπον μοίρας εἶναι ἡγεῖσθαι· διὰ γὰρ τὸ ἁμαρτάνειν τοὺς ἀνθρώπους ἐκείνων ὑπεβίβασε· μονομερῶς γὰρ ὁ θεῖος



Πλάτων τὸ ἁμαρτάνειν παρείληφεν, ἀσθένειαν μόνον καὶ τοῦ λογιστικοῦ ἐπισκότησιν αὐτῷ ἐνιδών, οὐ μέντοι καὶ βούλησίν τιν' ἐλευθέραν περὶ τὸ ἀγαθὰ ἢ μὴ ἀγαθὰ ἑκάστοτε αἱρεῖσθαι. Ἀγαθὸν μὲν γὰρ ὁ Πλάτων τῆς φύσεως ἑκάστου τῶν ὄντων λέγων, οὐδὲν ἄλλο νοεῖ ἢ τὸ ἤ γε δέον εἶναι ἑκάστῳ τοῦθ' ὅπερ εἴληχεν εἶναι· κακὸν δ' αὖ τὴν τῆς οἰκείας οὐσίας τε καὶ φύσεως ἑκάστου ἄρσιν ἤτοι τὴν ἀπώλειαν αὐτοῦ, ὥς γε τοιούτου· καὶ μὴν καὶ ὁ ἁμαρτάνων ἄνθρωπος οὐδὲν ἄλλο τὸ παράπαν ποιεῖ ἢ τὴν ἑαυτοῦ γε φύσιν τὴν ἀνθρωπικὴν καταλύει, εἰς ἄλλου τινὸς φύσιν θηρίου τρεπόμενος. Ἐπεὶ οὖν ἕκαστον τῶν ὄντων φύσει τὴν ἑαυτοῦ φύσιν φιλεῖ, δῆλον ὅτι ἁμαρτάνον ἤτοι τὴν ἑαυτοῦ γε φύσιν καταλῦον, ἄκον ἁμαρτάνει· «κακὸς γὰρ ἑκὼν οὐδείς,» ἀλλ' ἄκων ἀμαθίᾳ τινὶ παραγόμενος (α)· ἁμαρτάνων δὲ δίκην δίδωσι τοῦ ἀδικήματος, ἑαυτὸν καταλύων καὶ ἐξουθενῶν. Οὕτω τοί-

---

(α) Ὁ δὲ σοφὸς Μαρτῖνος ἀντιτάσσει πρὸς τὸ τοῦ Πλάτωνος δόγμα τόδε· video meliora proboque; deteriora sequor. Ἀλλά, φαίη τις ἄν, ὁ ἔλεγχος καὶ ἡ τύψις τοῦ συνειδότος τῇ χείρονι πράξει ἐπερχόμενος, ὅταν ὁ ἄνθρωπος μὴ τελέως ἄνους καὶ ἄφρων (κατὰ Πλάτωνα) γένηται ὥςε μηκέτι ἔχειν ἀγαθὸν κακοῦ διαστέλλειν, ἐπανορθοῖ ἱκανῶς τὸ τοῦ Πλάτωνος δόγμα.

Εἰ καὶ ὁ Πλάτων ἐπὶ παντὸς τῷ λογιστικῷ ἤτοι τῷ λόγῳ τὸ πᾶν κῦρος ἀπονέμει, οὐ μέντοι ἔχοι τις ἂν εἰκότως εἰπεῖν ὅτι τὴν ἠθικὴν πᾶσαν τῆς διανοίας ἔργον εἶναι ὑπολαμβάνει· ἀλλὰ μόνον τῇ διανοίᾳ ἤτοι τῷ λόγῳ ὁ ἄνθρωπος ἐλλαμπόμενος, καλλιόνως τὴν ἑαυτοῦ φύσιν, ὡς φύσει τοῦ ἀγαθοῦ ἐφιεμένην διαγιγνώσκει· εἰ μὴ γὰρ ἕκαστον τῶν ὄντων τοῦ ἀγαθοῦ ἤτοι τοῦ ἤ γε δέον εἶναι ἠφίετο, ᾤχετο ἂν ἡ τοῦ σύμπαντος ἁρμονία.

νυν τῷ Σωκράτει ἕπεται εἰπόντι ὡς οὐ χαλεπαίνειν, οὐδὲ ὀργίζεσθαι προσήκει τῷ ἁμαρτάνοντι, ἀλλὰ οἰκτείρειν αὐτὸν μᾶλλον καὶ μεταδιδάσκειν. Ἐπεὶ δὴ οὖν ἡ ὀρθὴ παιδεία οὐκ ἐφ' ἑκάστῳ γε τῶν ἀνθρώπων ἐστὶν, ἀλλὰ καὶ ἄλλα ἔξωθεν αὐτῆς αἴτια πολλὰ γίγνεται, οἷον τὸ τῶν γονέων καὶ τῆς ἄλλης ἀγωγῆς τε καὶ τύχης, δῆλον ἄρα φησὶν ὁ σοφὸς Μαρτῖνος, ὅτι ἡ παρὰ Πλάτωνι ἠθικὴ εἱμαρμένης τινὸς καὶ τύχης ἔργον ἐστὶν, ἐλευθέρας δὲ βουλήσεως οὐδ' ὁπωσοῦν· ὁ ἁμαρτάνων ἄρα κατὰ Πλάτωνα, οἷον δὴ τοῦ ἁμαρτήματος ἀναίτιος ὢν πάσης τύψεως τοῦ συνειδότος ἀπηλλαγμένος ἔσεται. Φαίημεν δ' ἂν ἡμεῖς γε ὑπερβολῇ τὸν σοφὸν Μαρτῖνον ἐν τούτῳ κεχρῆσθαι. Πλάτων γὰρ ἐλευθερίαν ἑκάστου τῶν ὄντων τελέαν ἐν αὐτῇ τῇ φύσει, ἐν αὐτῷ γε τῷ νόμῳ τοῦ εἶναι ἑκάστῳ τίθεται· καὶ τοῦτο ὀρθῶς πάνυ τίθεται. Νόμος δὲ ὄντος παντὸς οὐδὲν ἄλλο ἐςὶν ἢ τἀγαθόν· Ἐλευθέραν δὲ βούλησιν τίθεται ἐξ ἀγαθῶν τἀγαθὰ ἤτοι τὸ Ὂν αἱρεῖσθαι· οὕτω γὰρ ἂν ἕκαςον τὸ εἶναι ἑαυτῷ διασώζοι· τὴν γὰρ τοῦ κακοῦ αἵρεσιν θανάτου αἵρεσιν φαίη ἂν ὁ Πλάτων εἶναι, μηδ' αἵρεσιν εἶναι ἐλευθέραν τὸ παράπαν, ἀλλὰ φθοράν τε καὶ ἄνοιαν· μηδὲν ἧσσον γε μὴν ὑπόλογον τῶν ἑαυτῷ πεπραγμένων ἕκαςον εἶναι, καθ' ὅσον περ τῆς λογικῆς αὐτοῦ φύσεως μηδ' ὁτιοῦν ἐξίςασθαι ὀφείλει, ἀλλὰ λόγων τε ἐφίεσθαι καὶ μαθήσεως, τοῦ σωματοειδοῦς ὅσον οἷόν θ' ἑκάςοτ' ἐπικρατοῦντα, ὅπερ εἰς ἀπαιδευσίαν τε καὶ ἁμαρτίαν πέφυκε παρέλκειν. Ἀλλ' ὁ σοφὸς Μαρτῖνός φησιν ὅτι πάντες ἄνθρωποι πράσσομεν ἔκ τινος αἰτίου κινούμενοι· ἔσχατον δ' αἴτιον τίθεται τὴν τοῦ ἀγαθοῦ ἔφεσιν· οὐχ ὥςπερ ὁ Πλάτων ὑπαινίσσεται τὴν εὐδαιμονίαν ἡμῶν αὐτῶν ἤτοι τὴν φιλαυτίαν. Ἀλλ' ἐρωτήσειεν ἄν τις εἰ-



κότως τὸν σοφὸν Μαρτῖνον δύο τινά· Αον Τίνι ποτὲ τρόπῳ ἔχοι ἂν ὁ ἄνθρωπος τοῦτό γε οὗ ἐφίεται, τἀγαθὸν τοῦ μὴ ἀγαθοῦ διαστέλλειν ἵνα αὐτὸ καὶ ἑκάστοθ' αἱρῆται; Βον Διὰ τίνα ἄρά γε αἰτίαν ὁ ἄνθρωπος τούτου γε τοῦ ἀγαθοῦ ἐφίεται; οὐκοῦν κἂν τούτοις ἰσχύει, τὸ ὅμοιον τῷ ὁμοίῳ νοεῖται καὶ φιλεῖται; κατὰ τί δὴ οὖν ἡ τοῦ σοφωτάτου ἀνδρὸς θεωρία τῆς τοῦ Πλάτωνος διαφέρει;—— Εἰ δέ τις καὶ πολλὰ ἄλλα αἴτια δέξαιτο, ἅπερ εἴτε ἐπὶ τῶν αἰσθήσεων ἡμῶν καὶ μάλιστα τῆς ἀκοῆς καὶ τῆς ὁράσεως ἐπιδρῶντα, εἴτε ἐπὶ τοῦ νοῦ, εἴτε ἐπὶ τῆς ἔνδον συναισθήσεως, τὴν ἡμῖν αὐτοῖς ἐνοῦσαν βούλησιν, καθ' ἥν γε τοῦ ἀγαθοῦ ἐφιέμεθα κινοῦσι, δῆλον ὅτι τὸ ἰσχυρότατον τούτων εἰς πρᾶξιν ἡμᾶς κινήσει. Ἀλλὰ τοῦτό γε οὐκ ἀφ' ἡμῶν αὐτῶν ὁρμᾶται, ἀλλ' ἀπὸ τοῦ κατ' ἀνάγκην τινὰ παραῤῥέοντος ῥοῦ τῶν πραγμάτων, ἐφ' ἡμᾶς ἐπιδρῶν. Τύχης ἄρα ἔργον καὶ οὕτω τὸ ἀγαθὰ πράσσειν φανήσεται. Τοιγαροῦν ἀσφαλέστατα εἴποι τις ἂν ὅτι ἐν τῷ νόμῳ ἑκάστου ἡ ἐλευθερία, ὅπως ὁ θεῖος Πλάτων ἀναντιῤῥήτως νοεῖ. Χρεὼν δὲ τὸν νόμον τοῦτον ἢ τὴν ἀνάγκην τριχῇ διαστέλλειν, ἀνάγκην φυσικὴν, ἀνάγκην διανοητικὴν, καὶ ἀνάγκην ἠθικὴν νοοῦντα· αὗται δὲ ἀναγκαῖαι ἐπίσης οὖσαι, οὐκ ἄλλη ἄλλην αἱρεῖ, ὥς τινες ἀπροσδοκήτως ὑπαινίσσονται, ἀλλ' ἀλλήλας συμπληροῦσιν, ἵν' ᾖ αὐτό γε τοῦτο τὸ ἦγε δέον εἶναι τοῦ ὄντος καθόλου· ἄνευ γὰρ ἀνάγκης, ἄνευ νόμου ἐλευθερία ἀδύνατος· καὶ γὰρ ὅταν μὲν τοὺς τῆς φύσεως νόμους ὄντας γιγνώσκω, τότε ἐλευθέρως τε δρῶ καὶ ἀσφαλῶς (α)· ὅταν δὲ τοὺς διανοητικοὺς καὶ ἠθικοὺς νό-

---

(α) Ὁ ἄνθρωπος τὸ πρῶτον ἀπειρίᾳ συνεχόμενος πολλῇ τῶν

μους ὄντας γιγνώσκω, τότε ἡσυχάζω καὶ ἄνευ δισταγμοῦ τινος πράσσω, ὄντως εὐδαίμων ὤν· εὐδαίμων δ' ὤν, οὐδὲν ἄλλο βούλομαι ἢ αὐτό γε τοῦτο, τὴν εὐδαιμονίαν· ὅταν δὲ οὐδενὸς ἄλλου, ὡ ς  ἀ λ η θ ῶ ς  γ ε  ἄ ν θ ρ ω π ο ς, ἐφίωμαι ἢ ὅπερ εἰμὶ, ἐλεύθερός εἰμι.

---

συνέχεια.

Συγκεφαλαιώσας τις τοίνυν πάντα τὰ πρόσθεν λεχθέντα, ἐνδίκως ἂν εἴποι ὅτι ὁ Θεῖος Πλάτων Δημιουργόν, ἰδέας (α), ψυχὴν παγκόσμιον, ψυχὰς κατὰ μέρος, Δεξαμενὴν θέμενος, οὐ πάνυ ἀλλήλοις κατ' ἀνάγκην συνήρμοσεν· ἓν ἄρα ἕκαστον τούτων οὐχ ὡς ἀναγκαῖον καὶ ἀπαραίτητον φαίνεται· καὶ δὴ καὶ ὁ Θεὸς ἄρα κατὰ τὸν Πλά-

---

τε φυσικῶν νόμων καὶ τῶν ἐξ αὐτῶν συμβαινόντων, εὐθυμότερός τε ἦν καὶ ἀφοβώτερος. Εἶτα δὲ πεῖραν ἀτελῆ τῶν περὶ τὴν φύσιν λαβὼν ἤτοι ὅτι βρόντημα, φέρ' εἰπεῖν, πληγὴν ἐπάγει καὶ ἡ ἀστραπὴ βροντὴν, τὸ δὲ κῦμα καταποντίζει καὶ τὸ πῦρ καίει, ἤρξατο καὶ τὰ ἄφοβα φοβεῖσθαι· χρόνῳ δ' ὕστερον πεῖραν ἐντελεστέραν τῶν περὶ τὴν φύσιν τῇ τῆς διανοίας ἀρωγῇ λαμβάνων, μετέβη κατὰ σμικρὸν ἀπὸ τοῦ φόβου καὶ τῆς δεισιδαιμονίας εἰς τὴν ἀφοβίαν καὶ ἀσφάλειαν.

(α) Ὅτι δὲ ἐν τῇ Πλατωνικῇ φιλοσοφίᾳ τὸ τῆς ἁγίας Τριάδος δόγμα ἐνυπολανθάνει, ὥσπερ οἱ φιλοσοφοῦντες Ἰουδαῖοι καί τινες τῶν σοφῶν Χριστιανῶν, ἐν οἷς γε καὶ ὁ Εὐσέβιος ὑπολαμβάνουσιν, οὐ πάνυ τι τοῦ ἀληθοῦς ἔχεται, ἱκανῶς, οἶμαι, ὁ σοφὸς Μαρτῖνος ἀπέδειξεν. [Τ. Α. σ. 46.—Τ. Β. σ. 50—63.—]. Ἡ δ' ἀντίῤῥησις εὐχερεστέρα τῷ σοφῷ Μαρτίνῳ καθίσταται, καθ' ὅσον τὰς ἰδέας (= τὸν Λόγον) ἐκτὸς τοῦ Θεοῦ κατὰ Πλάτωνα εἶναι ὑπολαμβάνει.



τωνα οὐδὲν ἄλλο ἢ ὑπόθεσίς τις καὶ πιθανολογία ἦν κατά τινα ἀναλογίαν τοῦ ἀνθρωπικοῦ Νοῦ τεθειμένη.

Ἐὰν δὲ τῆς ὑπαρχούσης προλήψεως ἀπαλλαγέντες, καθ' ἥν γε τὸ ὁρατὸν, ὡς ὁρατὸν, ἐναντίον τοῦ ἀοράτου λογίζεται, Δημιουργόν τε καὶ δημιούργημα ἓν Ὂν καὶ ταὐτὸν ἄμφω εἴπωμεν, ἀνάγκη πᾶσα Πανθεϊσμῷ ἡμᾶς περιπεσεῖν. Ἀλλ' ἀρχῆθέν τε καὶ νῦν οὐδέποτε ὁ Πανθεϊσμὸς οἷός τ' ἐγένετο τὴν τοῦ ζητοῦντος ψυχὴν ἀποπληρώσας, καθησυχάσαι. Τούτου δὲ εἴδη δύο μάλιστα ὁ Ἀνατολικὸς καὶ Εὐρωπαϊκός· ὁ μὲν οὖν Ἀνατολικὸς ὁ κυρίως καὶ κατ' ἐξοχὴν Πανθεϊσμός ἐστι, καθ' ὅν γε ἡμεῖς νῦν δὴ ἐν τῷ Γίγνεσθαι ζῶμεν, ἀλλὰ πᾶσα αὕτη ἡ ζωὴ φάντασμα ψιλόν ἐστι, τὸ δ' ὄντως ὄν, τἀληθὲς Θεὸς μόνος ἐστὶ, Θεὸς τὰ πάντ' ἐν τῷ παντί. Πᾶς οὗτος ὁ Κόσμος οὐδὲν ἄλλο τυγχάνει ὂν ἢ μορφὴ ἀπατηλὴ, ἣν ὁ Γιγνόμενος Θεός, ἑαυτὸν ἐκκυκλῶν, περιβάλλεται, ἵνα εἰς τέλος τῆς ἑαυτοῦ ἐκκυκλήσεως ἤτοι εἰς τὴν ἑαυτοῦ τελειότητα ἐξίκηται! Τοῦτο τὸ σύστημα οὐ νομίζει Θεὸν πρὸ τῆς ἀρχῆς τοῦ Κόσμου ὡς Δημιουργὸν ὑπάρχοντα, οὐδ' αὖ Κόσμον, αὐτό γε τοῦτο ὡς Κόσμον οἶδεν, ἀλλὰ μόνον Θεὸν—ὡς τὸ τέλος τοῦ Κόσμου.

Ἐντεῦθεν οὖν φανερὸν ὅτι ὁ Πανθεϊσμὸς ἄθρησκος μὲν οὐκ ἔστιν· — Ἔνιοι δὲ καὶ τῶν μάλιστα σοφῶν θεολόγων (Σλεϊερμάχειρ) Πανθεϊσμόν τινα τοιοῦτον καί τισι ῥήμασι τοῦ ἱεροῦ Εὐαγγελίου καὶ τοῦ ἀποστόλου Παύλου ἐνεῖδον· — Ἀλλὰ θρησκευτικῶς νοσεῖ δι' ὑπερβολὴν ὀλεθρίαν· ἄρδην γὰρ τὴν παντὶ ὄντι ζωὴν ἔχοντι ἔμφυτον φιλαυτίαν ἀναιρεῖ· ἡ φύσις ἄρα οὐχ ἁγνίζεται, ἀλλὰ μαραίνεται καὶ τέλος θνήσκει. Ἀνωθρὰ τῆς ψυχῆς ἀναλγησία, χαυνότης τῆς διανοίας, κοινωνικὴ νωχέλεια,

καὶ ἀδράνεια, πολιτικὴ δουλοσύνη, ἔτι δὲ καὶ σωματικὴ μαλθακότης εἰσὶν οἱ καρποί, οὓς ὁ Πανθεϊσμὸς παρὰ τοῖς Βουδδισταῖς ἐν Ἀσίᾳ παρήγαγεν».

Πάντη ἄλλως ἔχει ὁ Εὐρωπαϊκὸς Πανθεϊσμός, ἀπὸ τῆς ἑλληνικῆς φιλοσοφίας ἀρξάμενος καὶ εἰς ἡμᾶς καθήκων. Κατὰ τοῦτον ὁ Κόσμος ἐξ ἑαυτοῦ ἐς ἀεὶ ἐκπορεύεται ἐν εἴδει γιγνομένων παμπληθῶν. Καὶ τὰ μὲν καθ' ἕκαστον Γιγνόμενα ἐν διηνεκεῖ μεταβολῇ ὑπάρχει, αὐτὰ δὲ τὰ πολλὰ τὸν πάντα αἰῶνα παραμένει. Κατὰ τοῦτον ἄρα τὸν λόγον ὁ κόσμος οὐ ψιλόν τι φάντασμα ὑπάρχει, ἀλλ' αὐτοῦ τοῦ Ἀπολύτου (ἤτοι τῆς οὐσίας αὐτῆς, πάντων τῶν προσόντων ἀποιχομένων) ἔκφανσις πρόςκαιρος μὲν ἐν τοῖς ἐπὶ μέρος, ἀΐδιος δὲ ἐν τῷ συνόλῳ. Τὸ Ἀπόλυτον, ὅπερ ὡς οὐσία καὶ αἰτία ἐν αὐτῷ τῷ Κόσμῳ ἐμπεριέχεται, ἀεὶ ἐκ νέου εἰς μερικὰς ὑπάρξεις ἐκκυκλούμενον τίθεται· ὁ Κόσμος ἐστὶ Θεός, ἀλλ' ἐν γενέσει καὶ αὐξήσει ἐπ' ἄπειρον τεινούσῃ Θεὸς ὤν. οὗτος δὴ ὁ κόσμος ὁ ἐν ἑαυτῷ τὴν ἑαυτοῦ αἰτίαν ἔχων, αὐτὸς μὲν ἑαυτὸν ἀναπτύσσει κατά γε τὴν ἑαυτῷ ἐμπεφυκυῖαν δύναμιν, αὐτὸς δ' ἑαυτὸν διακοσμεῖ κατὰ τοὺς ἑαυτῷ ἐνόντας νόμους καὶ αὐτὸς «τὰ ἑαυτοῦ μόρια ἤτοι τὰ ἄτομα διατίθεται, ὥςπερ καὶ ὁ ἀνθρώπειος ὀργανισμὸς τὰ ἑαυτοῦ μέλη διατάσσει».

Ἀλλ' εἴπερ τὸ Πᾶν Ἕν, τοῦτο δὲ ΙΔΕΑ ἤτοι Νοῦς ἦν αὐτὸς ἑαυτὸν νοῶν, Νοῦν δὲ λέγοντες, οὐδὲν ἄλλο νοοῦμεν ἢ ΕΝΕΡΓΕΙΑΝ· πῶς οὖν ὁ ἰδίᾳ νοῦς ἤτοι ὁ ἀνθρώπινος ὁτὲ μὲν δυνάμει ἐστὶν καὶ οἷον καθεύδων, ὁτὲ δ' αὖ ἐνεργείᾳ; ἢ πῶς ἂν ὁ ἀνθρώπινος νοῦς πρὸς τὸν καθόλου Νοῦν ἔχοι; ὥς που αἱ Λεϊβνίτειαι Μονάδες πρὸς ἀλλήλας; ἢ ὥς τι μέρος πρὸς τὸ ὅλον; Ἀλλὰ



τί τὸ πέρας τὸ ἀποτελοῦν τὸ μέρος; ἢ τί τὸ ἑτερογενὲς τὸ δίκην γνόφου ἐπισκοτοῦν τὸν νοῦν καὶ μὴ ἐῶν αὐτὸν ἑαυτὸν ἀεὶ ἐπιγιγνώσκειν; Τί δή ποτ' ἐστὶν ἡ Φύσις πρὸς τὴν Ἰδέαν; Εἴπερ ἦν Ἐγὼ νοῦς ἐνεργῶν, πάντα δ' ἦν ΙΔΕΑ ἤτοι ΝΟΥΣ αὐτὸς αὑτὸν νοῶν, καθ' ὅσον περ Ἐγὼ νοῦς ὤν, οὐθὲν ἄλλο ἢ Ἐνέργεια, πάντ' ἂν ἀεὶ ἐγίγνωσκον καὶ οὐδέποτ' ἐμοῦ γε αὐτοῦ ἄλλως ἂν ἀντελαμβανόμην ἢ ὡς ἐνεργοῦντος καὶ τὸ Πᾶν νοοῦντος. ὑπεροψία δυςανάσχετος, ἥτις ὤφειλε καταπεσεῖν καὶ διχασμὸς τοῦ Ὄντος ἐν λεπτῇ λέξει κεκρυμμένος.

Κατὰ δὴ οὖν τοῦτο τὸ φιλοσοφικὸν σύστημα πᾶν τὸ Ὄν, μᾶλλον δ' ἂν εἴποι τις αὐτό γε τοῦτο τὸ φιλοσοφικὸν σύστημα σφαῖρος αὐτονόητος ὅλος ἐστίν, ἀλλήκτως περὶ ἑαυτὸν ἀγόμενος καὶ ἅμα ἠρεμῶν. ἀλλ' εἴτις ἂν ἔροιτο αὐτὸν πρὸς τί δὴ τέλος ἐστὶν οὕτως ἔχων; σαφὲς μὲν ἴσως οὐδὲν ἀποκρινεῖται, ἀλλ' ἐρεῖ «τὸ δρᾷν οὐδὲν ἄλλο τέλος ἔχει ἢ τὴν ἐνέργειαν» ἢ ἵνα ἑαυτὸν τελειοῖ.—Ἀλλὰ πῶς μέχρι τοῦδε οὔπω τέλειος ὤν, τελειότητος ἐφίεται; ἢ πῶς ἀπὸ τοῦ τελείου εἰς τὸ ἀτελὲς πάλιν αὖθις ἐξοκέλλει; — Τὸν πάντα αἰῶνα οὐ τελειώσει ἑαυτόν, ἀεὶ τελειούμενος· σκοπὸς ἄρα καὶ τέλος τῆς ἀνακυκλήσεως οὐδέν!—ὁ δὲ ἰδίᾳ ἄνθρωπος ἑκὼν ἀέκων τῷ ὅλῳ σφαίρῳ συμπεριάγεται, ὡς ὑπὸ δίνου τινὸς βίᾳ προσελκόμενος· εἴτι πράσσει, εἴτι πάσχει, οὐδὲν ὡς ἔπος εἰπεῖν πρὸς ἑαυτοῦ. Οὐχ ὁρῶ τοίνυν ἔγωγε ἐν τούτῳ τῷ σφαίρῳ ἀνθρώπου-Θεοῦ Θεοῦ-ἀνθρώπου ἐλευθερίαν, ἑπομένως οὐδὲ ἠθικήν. Καὶ γὰρ ἐνδίκως ἄν τις φαίη τὴν ἠθικὴν εἰς τὸν σφαῖρον τοῦτον ἐπείςακτον ὑπάρχειν. Ἔνθα γὰρ Ἀνάγκη ἡ Εἱμαρμένη τὸν ἄνθρωπον ὡς ὂν τοῦ ὅλου Ὄντος ἐχόμενον κυβερνᾷ, ἐλευθερία

ἀληθινὴ οὐχ ὑπάρχει· διὸ οὐδὲ ἠθικὴ ἀληθινή. Πᾶσα γὰρ ἡ ἠθικὴ ἐν τούτῳ τῷ σφαίρῳ ἐν ἑνί γε τῷδε κεῖται: «γνῶθι σαυτόν»· ἄλλο γὰρ οὐδὲν ἐγχωρεῖ. νοητέον δὲ τοῦτο τὸ «γνῶθι σαυτὸν» οὐχ ὡς ἄλλως λέγεται, ἀλλ' ὡς φύσει καὶ ἀνάγκῃ τῷ παντὶ ἐνόν. Ἐξάπαντος Ἐλευθερία ἐστὶν ἐν ἀνάγκῃ ἢ ἄλλως εἰπεῖν ἐν νόμοις· Ἀλλὰ νόμοι μὲν ἔκειντο ταῖς πάλαι πολιτείαις· νόμοι δὲ κεῖνται καὶ ταῖς νῦν· ἀλλ' ὁ πάλαι πολίτης οὐχ ὁμοίως ἐλεύθερος τῷ νῦν· σχολῇ γε ἄρα εἴποιμεν ἂν ἡμεῖς γε ἐλεύθερον τὸν ἐν τῷ ἄρτι λεχθέντι σφαίρῳ συμπεπεδημένον ἄνθρωπον.

Ὁποίων καὶ ὁπόσων κακῶν αἴτιος ὁ πανθεϊσμὸς οὗτος γίγνεται, πᾶς ἄν τις διαγνοίη καὶ σμικρὸν τὴν διάνοιαν περὶ τῶν ἄρτι συντόμως λεχθέντων ἐπιστήσας. Τὸ Θεῖον μὲν γὰρ φαυλίζει ἢ ἀναμφιλέκτως σμικρύνει, τῷ δ' ἀνθρώπῳ δυσανάσχετον ὑπεροψίαν ἐμβάλλει καὶ τὴν ἠθικὴν οὐχ ὥς τι ἀναγκαῖον αὐτὸ καθ' αὑτὸ παραλαμβάνει, ἀλλ' ὡς ἁπλῶς κοινωνικὴν συνθήκην, οἵα περ ἦν καὶ ἡ ψυχρὰ ἠθικὴ τῶν ψυχρῶν Στωϊκῶν. τήν τε ἀνθρωπικὴν ἐλευθερίαν ἀναιρῶν, τὴν Εἱμαρμένην ἀντεισάγεται· Καί, ὡς ἐν συνόλῳ εἰπεῖν, ὁ Πανθεϊσμὸς αὐτὸς καθ' αὑτὸν ἀπεργάζεται τὸν ἄνθρωπον, νῦν μὲν ὑπεροπτικόν, νῦν δὲ ταπεινόφρονα, ἀδιάφορον, ψυχρόν, ἄφιλον, ἀνάλγητον. πᾶσαν δ' ἐλπίδα ἐν τῇ ψυχῇ τοῦ ἀνθρώπου ἐξαλείφων, ἐξαλείφει καὶ πᾶσαν εὐδαιμονίαν· ὁ μὲν οὖν τὰ ἀγαθὰ ἐργαζόμενος μετέχει πάντως γενναιότητός τινος, ἧς περ ὁ ἐν φιλοσοφίᾳ Θεϊστής, ὡς παντὸς ἔργου ἀγαθοῦ καὶ τοῦ ἐλαχίστου πολλαπλασίαν ἀνταμοιβὴν ἀπαιτῶν, στερεῖται. Ἀλλ' ὁ Πανθεϊστὴς τὰ ἀγαθὰ ποιῶν ἐκ περιουσίας ἀγαθοῦ τρόπον τινὰ ποιεῖ καὶ τελευτῶν ἐπαίρεται καὶ ἐν ἑαυτῷ ἐξογκοῦται. Ἡ γὰρ ἰδέα τοῦ καθήκοντος, ἥν περ ὁ Θεϊστὴς ὤφειλεν ἁγνὴν ἐν ἑαυτῷ ἔχειν, ἀμυδρὰ ὅλως καὶ ψυχρὰ τῷ Πανθεϊστῇ ὑπάρχει, ὡς οὐχὶ κατὰ βούλησιν ἐλευθέραν δρῶντι, ἀλλ' Εἱμαρμένῃ τινὶ σκοτεινῇ ὑπείκοντι. Καὶ ὁ κακοῦργος ἄνθρωπος «ὥς περ κύων λυσσῶν, αὐτὸς μὲν καθ' αὑτὸν ἀναίτιος, ἀλλ' ἐν δίκῃ ἀποκτεινόμενος», λέγει ὁ Σπινόζας, ὑπὲρ τῆς κοινῆς δῆλον ὅτι ἀσφαλείας! ὁ Εὐρωπαϊκὸς Πανθεϊσμὸς κατὰ τὴν ἠθικὴν πολλῷ τοῦ Ἀσιατικοῦ ἀπολείπεται.



Ὁ Πανθεϊσμὸς ἄρα Θεόν, νοῦν ἀνθρώπειον καὶ Φύσιν ἤτοι θρησκείαν καὶ φιλοσοφίαν εἰς ταὐτὸν τῇ διανοίᾳ συγχέων ἢ ὥς γ' ἐν ἄλλῳ λόγῳ εἰπεῖν, τῇ πεπερασμένῃ τοῦ ἀνθρώπου διανοίᾳ τὸν ἄπειρον Θεὸν δημιουργῶν, φανότερον ἡλίου ὅτι ἀτυχὲς φιλοσόφημα ἐλέγχεται· ὃν μὲν γὰρ Θεὸν τὸ πρῶτον ἀνεβάλετο εὑρεῖν ἄριστον, τελειότατον καὶ ὅσα ἄλλα τοιαῦτα (αὕτη γὰρ ἡ ἱστορία τοῦ νέου ἐν Εὐρώπῃ Πανθεϊσμοῦ, ὅς οὐ φύσει πως προῆλθεν, ὥς περ ὁ Ἀσιατικὸς καὶ ὁ πάλαι Ἑλληνικός, ἀλλ' ἐξ ἀντιλογίας πρὸς τοὺς Θεϊστὰς τὴν πρώτην ἀφορμὴν λαβών), τούτου σχεδόν τι ἀτυχήσας, τήν τε ψυχὴν καὶ τὴν ὅλην φύσιν τοῦ ἀνθρώπου διαψεῦσαι ἐκινδύνευσεν. Διὸ τούτων τε καὶ ἄλλων πολλῷ πλειόνων ἕνεκεν ἐκ παντὸς τρόπου ὀφείλομεν αὐτὸν ὥς περ τινὰ δεῖνον ὀλέθριον ἀποφεύγειν. Ἀλλὰ τοῦ παντὸς δέομεν ἀρνηθῆναι ὡς οὐκ ἂν ἔχοι τις ἐξ αὐτοῦ πολλὰ ἀρύεσθαι καὶ μάλισθ' ὅσα διανοίας ὑψηλῆς καὶ μεγαλοπρεποῦς καὶ καθολικῆς ἔργα ὑπάρχει.

Τοιαῦτα μὲν δὴ τὰ τῶν ἐθνικῶν καὶ τὰ ἐχόμενα αὐτῶν, ἥ τε μονοθεΐα ἡ ἰδανικὴ ἤτοι ὁ Δ ϊϊσμός, καὶ ὁ πανθεϊσμὸς καθόλου νοούμενος. Εἴπωμεν δέ τινα

διὰ βραχέων καὶ περὶ τῆς κυρίως μονοθεϊκῆς φιλοσοφίας, ᾗ ὄνομα Θεϊσμός, ὅσπερ τὴν μὲν συναίσθησιν τοῦ ἀνθρώπου πολλῷ τοι μᾶλλον τοῦ Πανθεϊσμοῦ ἀποπληροῖ, τὸν δὲ νοῦν μέχρι τοῦδε (ὡς φιλοσόφημα λέγω αὖθις!) καὶ τοῦ Πανθεϊσμοῦ ἧσσον. «ὅσαι γὰρ μέχρι τοῦδε θεωρητικαὶ ἀπόπειραι ἐγένοντο πρὸς τελείωσιν τοῦ θεϊσμοῦ, πᾶσαι ἤτοι ἀκουσίως ἐν πανθεϊσμῷ μετέωροι κατέμειναν ἢ οὐδὲν ἀληθὲς κῦρος τῷ θεϊσμῷ περιάψαι ἠδυνήθησαν». — Φέρε γάρ· τίνι ποτὲ τρόπῳ ἔχοιμεν ἂν εἰπεῖν τὸν Δημιουργὸν τὸ Σύμπαν τόδε δημιουργῆσαι; Ὅπως γὰρ ἡ ἱερὰ ἡμῶν θρησκεία διδάσκει, τῇ φιλοσοφίᾳ ὅλως ἄληπτον ὑπάρχει. Ὅμως δ' οὖν ἀρξώμεθα ἀπὸ τῶν ἱερῶν Γραφῶν καὶ τῶν παραδόσεων τῶν Ἰουδαϊκῶν, καὶ πρῶτον περὶ αὐτῶν τῶν γραφῶν σαφηνείας χάριν ὀλίγα τινὰ τὰ ἐφεξῆς λεκτέον πορρωτέρωθεν.

Αὐτοὶ οἱ Ἰουδαῖοι διῄρουν ἤδη τὰς ἱερὰς αὐτῶν βίβλους, τὸν ὕστερον κανόνα διχῇ, εἴς τε τὸν Νόμον καὶ εἰς τοὺς προφήτας. Νόμον δὲ λέγοντες, ἐνόουν τὰ πέντε τεύχη τοῦ Μωϋσέως, τὴν λεγομένην πεντάτευχον· προφήτας δὲ πάντα τὰ λοιπὰ βιβλία τὰ ἐν τῇ Παλαιᾷ Γραφῇ περιλαμβανόμενα. πάντα δὲ τὸν χρόνον, καθ' ὃν συνετάχθη ἡ ἱερὰ Γραφὴ ὅλη, εἰς δύο αἰῶνας οἱ σόφοι διαλαμβάνουσι, τὸν μὲν χρυσοῦν προσαγορεύοντες, ἀπὸ τοῦ Μωϋσέως ἢ κατὰ τὸν Γεσένιον ἀπὸ τῶν χρόνων τοῦ Δαβὶδ καὶ Σαλομῶντος (Γεσενίου ἱστ. τῆς Ἑβραϊκ. γλώσ. καὶ γραφῆς § 8. σ. 18 § 9. σ. 21.) μέχρι τῆς αἰχμαλωσίας, τὸν δ' ἀργυροῦν καὶ Χαλδαΐζοντα ἀπὸ τῆς αἰχμαλωσίας μέχρι τῆς τρίτης πρὸ Χριστοῦ ἑκατονταετηρίδος, ὁπότε καὶ ὁ κανὼν ἐπεσφραγίσθη. Πασῶν δὲ τούτων τῶν βίβλων ἱερωτάτη καὶ οἷον



βάσις ταῖς λοιπαῖς ὑποκειμένη ἐστὶν ἡ πεντάτευχος τοῦ Μωϋσέως ἤτοι ὁ Νόμος, περὶ οὗ οἱ Ῥαββῖνοι διηγοῦνται ὅτι δισχιλίοις τε ἤδη ἔτεσι πρὶν τῆς τοῦ κόσμου δημιουργίας συντεταγμένος ὑπῆρχε καὶ ὅτε τὸ πλήρωμα ἦλθε τοῦ χρόνου, ἐξηγγέλη τοῖς ἀνθρώποις διὰ τοῦ ὑψίστου ἁπάντων τῶν προφητῶν τοῦ Μωϋσέως, ἀντὶ τῆς φωτεινῆς νεφέλης καὶ τῆς στήλης τοῦ πυρός, νοερὸς ἀστὴρ φωταγωγῶν τὸν Ἰσραὴλ ἡμέρας τε καὶ νυκτός, φωτὶ ἀπλέτῳ λάμπων, ἀκατάλυτος νόμος καὶ ἀναλλοίωτος εἰς τὸν αἰῶνα τὸν ἅπαντα, δοτὴρ ζωῆς πνευματικῆς. οἱ δὲ λοιποὶ προφῆται δορυφόρων τάξιν ἐπέχουσιν περὶ αὐτὸν ὡς τὸν τηλαυγῆ θρόνον τῆς Ἀληθείας.

Ἡ δὲ τῶν Ἑβραίων διάλεκτος (Γεσεν. αὐτ. § 15.) κατὰ μὲν τὸν πλοῦτον τόν τε ὀνοματικὸν καὶ τὸν γραμματικὸν καὶ τὴν θέσιν τὴν γεωγραφικὴν τὸ μέσον ἔχουσα μεταξὺ τῆς πλουσιωτέρας Ἀραβικῆς καὶ τῆς πολλῷ ἐνδεεστέρας Συριακῆς, κατὰ δὲ τὴν ἡλικίαν πρεσβυτέρα ἀμφοτέρων τῶν γε νῦν οὖσα (αὐτ. § 14, σ. 48. § 16, σ. 56 καὶ 57.), ἀρχὴν καὶ γένεσιν ἔλαβεν οὐ κατὰ τὴν Μεσοποταμίαν ἐπὶ τῆς πυργοποιίας καὶ τῆς τῶν γλωσσῶν συγχύσεως, ὡς οἱ παλαιότεροι ἔλεγον, ἀλλ' ἐν αὐτῇ τῇ Παλαιστίνῃ, καθάπερ Γεσένιός ἐστιν ὁ λέγων (α), ἔνθα ὑπῆρχεν ἤδη γλῶσσα τῶν Χαναναίων, φύλων Φοινικικῶν τὴν χώραν ἐχόντων πρὶν τῆς τῶν Ἀβρααμιδῶν ἐγκαταστάσεως, οἵπερ καὶ ἰδίαν φωνὴν αὐτὴν ποιησάμενοι, ὑστέρῳ χρόνῳ εἰς Αἴγυπτον μετεκόμισαν, κἀντεῦθεν ὀνόματά τινα

(α) Καὶ οἱ Ἰουδαῖοι φασὶ τὸν Ἀβραὰμ πρὸ τῆς εἰς Χαναὰν μεταναστάσεως Ἀραμαϊκῇ φωνῇ κεχρῆσθαι (Γεσεν. αὐτ. § 6, σ. 4.).

καὶ ἐκ τοῦ Αἰγυπτίων βίου παραλαβόντες (αὐτ. § 17. σ. 59), ὑπέςρεψαν αὖθις εἰς γῆν τῆς ἐπαγγελίας, τὴν αὐτὴν φωνὴν λαλοῦντες, ἥν περ οἱ πατριάρχαι (§ 7, σ. 16 κ. φ. ξ.). Ἀπαχθέντες δ' ὕστερον εἰς Βαβυλῶνα προσέλαβον πρὸς τῇ ἑαυτῶν φωνῇ τῇ Ἑβραϊκῇ καὶ τὴν συγγενῆ διάλεκτον τὴν ἑῴαν Ἀραμαϊκὴν ἤτοι τὴν Χαλδαϊκὴν, ὥστε παρὰ πάντα τὸν χρόνον τῆς αἰχμαλωσίας δύο λαλιὰς οἱ Ἰουδαῖοι ἦσαν λαλοῦντες, τὴν σφετέραν τὴν Ἑβραϊκὴν καὶ τὴν Ἀραμαϊκὴν, Περσικάς τε λέξεις οὐκ ὀλίγας δεχόμενοι (αὐτ. § 10, σ. 30. § 17, σ. 60.). ἐλάλει δὲ Ἑβραϊστὶ ὁ λαὸς μέχρι Νεεμίου (§ 14, σ. 46.), εἰ καὶ ἡ Ἀραμαϊκὴ ἤρξατο πρότερον ἤδη ἐν τοῖς βιωτικοῖς πράγμασιν ὁσημέραι ἐκνικᾶν τῆς ἑτέρας, ἀπὸ δὲ τῆς ὑποστροφῆς μάλιστα καὶ τῆς ἀποκαταστάσεως τῶν Ἰουδαίων ἐν τῇ ἱερᾷ πατρίδι αὕτη ἡ Ἀραμαϊκὴ ἥτις ἦν ἤδη Συροχαλδαϊκὴ, ἠφάνισε κατὰ σμικρὸν τὴν Ἑβραϊκὴν ἀπὸ τοῦ καθ' ἡμέραν βίου. Οὕτως οὖν ἡ Ἑβραϊκὴ παρὰ τοῖς Ἰουδαίοις ἀπηρχαιώθη, περισταλεῖσα εἰς γλῶσσαν γραπτὴν μόνον μέχρι τοῦ τέλους τῆς τῶν Μακκαβαίων περιόδου μᾶλλον ἢ ἧσσον καθαρεύουσα τῆς κοινῆς ἤτοι τῆς Ἀραμαϊκῆς (αὐτ. § 10, σ. 25. § 13, σ. 44.). Ἐπεὶ οὖν οἱ ὑποστρέψαντες εἰς τὴν ἁγίαν πόλιν καὶ χώραν νόμον ἑαυτοῖς ἔθεντο ἀναγιγνώσκειν κατὰ περικοπὰς τὴν ἱερὰν πεντάτευχον τοῦ μεγίστου τῶν προφητῶν ἐν ταῖς συναγωγαῖς κατὰ σάββατα καὶ τὰς λοιπὰς ἑορτὰς, ὁ λαὸς ὤφθη ἄλλην γλῶσσαν τὴν Ἀραμαϊκὴν πολλῷ κάλλιον τῆς ἱερᾶς νοῶν. Ἐδέησε τοίνυν πρὸς τῷ ἀναγνώστῃ καὶ ἑρμηνευτοῦ, ὃς ἐκ τοῦ προχείρου πρότερον ἡρμήνευεν εἰς τὸ Ἀραμαϊκὸν ἰδίωμα τὰς τῆς Παλαιᾶς Γραφῆς περικοπάς. αὗται δὲ αἱ λεκτικαὶ



ἑρμηνεῖαι ἢ παραφράσεις αἱ Χαλδαϊκαὶ, ταργουμὶμ καλούμεναι, ὑστέρῳ χρόνῳ κατεγράφησαν, κατὰ μὲν τὸν Γεσένιον οὐ πολλῷ πρότερον τῆς Χριστοῦ γεννήσεως (Μέρ. 6, § 20, 21, σ. 70 κ. φ. ξ.), κατ' ἄλλους δὲ ἐπὶ τῶν Χασμοναίων (περὶ τὸ 160 π. χ.).

Πλὴν δὲ τούτων τῶν ταργουμὶμ ἐδέησεν ὕστερον τὸ γράμμα τοῦ Νόμου ταῖς ὁσημέραι μεταβολλομέναις περιστάσεσι τοῦ βίου ἐφαρμόζειν· Καὶ τοῦτο ἐγίγνετο ἐν ἑρμηνείαις, μεταβολαῖς καὶ προσθήκαις. Ταύτας δὲ συνέλεξε δυεῖν ἡ ἑτέρα σχολὴ ἢ ἀκαδημία τῶν ἐν Ἱεροσολύμοις ὀλίγῳ πρὶν Χριστοῦ καὶ ἐπὶ Χριστοῦ ἀναλαμψασῶν, ἡ τοῦ Χιλλὲλ, ἐκ Βαβυλῶνος μεταναστάντος (ἡ δὲ ἑτέρα σχολὴ Σαμμαὶ προσηγορεύετο, ἀμφότεραι μέχρι τῆς τραγικῆς καταστροφῆς τῆς Ἱερουσαλὴμ ἀκμάσασαι Γεσεν. αὐτ. Μέρ. βον. § 20 σ. 70). Χρόνῳ δ' ὕςερον ἐπὶ τῆς τρίτης μετὰ Χριστὸν ἑκατονταετηρίδος εἰς τὸ νῦν σχῆμα διασκευασθεῖσαι, ἑνὶ ὀνόματι Μίσνα, τουτέστιν ἑρμηνεία, ἐκλήθησαν.

Τὸ δ' ἔργον ἀεὶ τοῦ πρόσω ἐχώρει· σοφῶν γὰρ ἀποφθέγματα καὶ κρίσεις δικανικὰς καὶ Φαρισαίων διασαφήσεις εἰς τὰ παραδεδομένα, ἐφαρμογάς τε καὶ μεταβολὰς θεσπισμάτων τινῶν μερικῶν τοῦ Νόμου συλλέγοντες, ἀφηγήμασι, λογίοις, παροιμίαις, παραβολαῖς, νουθετήσεσι καὶ τοῖς τοιούτοις διεκόσμουν. Πάντα δὲ ταῦτα συναθροίσασαι ἐπιμελῶς αἱ τῆς Παλαιστίνης ἀκαδημίαι (καὶ γὰρ μετὰ τὴν κατάσκαψιν τῆς Ἱερουσαλὴμ ἐν Ἰάβνῃ ἢ Ἰαμνίᾳ, ἐν Ζιφορίᾳ, Λύδδῃ, Καισαρείᾳ αὖθις ἀκαδημίαι συνεστήθησαν, πασῶν δ' ἐπιφανεστάτη ἡ ἐν Τιβεριάδι, ἧς τὴν λαμπηδόνα ἐπεσκίασεν ἡ περὶ τὸ 230 ἔτος μετὰ Χριστὸν συμβᾶσα τελευτὴ

τοῦ ἐνδοξοτάτου φωστῆρος ῥαββὶ Ἰούδα τοῦ ἁγίου) καὶ αἱ τῆς Βαβυλῶνος καὶ διασκευάσασαι αὐτὰ συναπετέλεσαν τὸ λεγόμενον Ταλμούδ, οὗ κύρια μέρη δύο, τὸ μὲν ἀρχαιότερον ἡ ἄνω κληθεῖσα Μίσνα ἀμφὶ τὸ 190 ἢ 220 ἔτος μετὰ Χριστὸν ὑπὸ τοῦ ἄρτι μνημονευθέντος Ῥαββὶ Ἰούδα τοῦ ἁγίου ἐν Τιβεριάδι διασκευασθεῖσα. Τὸ δ' ἕτερον μέρος τοῦ ταλμοὺδ ἡ ὑστέρῳ χρόνῳ συλλεγεῖσα Γεμάρα, διασαφήσεις καὶ συμπληρώσεις περιλαμβάνουσα τῆς Μισνῆς. Δύο δὲ Γεμάραι ἐν δυσὶ πόλεσι χωρὶς ἀλλήλων διεσκευάσθησαν, ἡ μὲν ἐν Ἱεροσολύμοις Γεμάρα καλουμένη, ὡς μὲν ὁ Γεσένιός φησι περὶ τὸ 230 ἢ 270 ἔτος μετὰ Χριστὸν ὑπὸ τοῦ Ῥαββὶ Ἰωχανᾶν ἀθροισθεῖσα, κατὰ δὲ τὴν γνώμην ἄλλων μιᾷ σχεδὸν ἑκατονταετηρίδι ὕστερον. ἡ δὲ ἑτέρα Γεμάρα ἡ Βαβυλωνιακὴ συντεταγμένη λέγεται ὑπὸ τοῦ Ῥαββὶ Ἰωσῆ, ἀρχομένου τοῦ ἕκτου μετὰ Χριστὸν αἰῶνος· (Γεσεν. αὐτ. Μ. 6ον § 21. σ. 73, 74.) Διὰ τοῦτο καὶ λέγεταί γε ἐκ τοῦ μέρους τὸ ὅλον ταλμοὺδ τὸ Ἱεροσολυμικὸν καὶ ταλμοὺδ τὸ Βαβυλωνιακόν.

Πρὸς δὲ τούτοις τοῖς ἤδη ἀπειργασμένοις θησαυροῖς ἡ ἱερὰ παράδοσις ἐχώρει ἀεὶ τοῦ πρόσω αὐξομένη, ἥ τε Χάλαχα νῦν λεγομένη καὶ ἡ Χάγαδα, τὸν αὐτόν που λόγον πρὸς ἀλλήλας ἔχουσαι, οἷόν περ ὁ Νόμος καὶ οἱ προφῆται. Χάλαχα μὲν οὖν ἐστιν ἡ κατὰ παράδοσιν διδασκαλία, μόνιμον κῦρος διὰ τοῦτο λαμβάνουσα, ὅτι ἐκ τῶν ἐν τέλεσι καὶ τῶν νομομαθῶν ἐξεπορεύετο, ὡς ἐντολαὶ καὶ παραγγέλματα πρὸς τὸν καθ' ἡμέραν βίον ἀμέσως ἀποβλέποντα. ἡ δὲ Χάγαδα ἑρμηνεία τίς ἐστι τοῦ λόγου τοῦ τε γραπτοῦ καὶ τοῦ διὰ στόματος ἐξ ἰδιωτῶν ὁρμωμένη καὶ δι' ἐλευθερίας τινὸς γιγνομένη·



ὅμως δὲ καὶ ταύτῃ ἀνάγκη πᾶσα ἦν τῶν ὁρίων τοῦ Νόμου μηδ' ὁτιοῦν ἐκβαίνειν.

Πάντα δὲ τὰ μέχρι τοῦδε μνημονευθέντα πονήματα, πλὴν μόνης τῆς πεντατεύχου, περιλαβόντες οἱ ὕστερον ἑνὶ ὀνόματι ἐδήλωσαν Μιδρασ προσαγορεύσαντες, ὅπερ ἐθέλει σημαίνειν οὐθὲν ἄλλο ἢ ἑρμηνείαν.

Ἐκ πάντων δὴ οὖν τούτων τῶν μέχρι τοῦδε λεχθέντων ἀναγκαῖόν μοι δοκεῖ εἶναι δίχα τὸν χρόνον διαλαβεῖν, καθ' ὃν αὐτὴ ἡ παλαιὰ Γραφὴ καὶ πᾶσαι αἱ εἰς αὐτὴν ἑρμηνεῖαι καὶ τὰ ὑπομνήματα συνεγράφησαν, εἴς τε τὴν πρώτην περίοδον τὴν κυρίως Ἑβραϊκὴν ὑπό τινων (τοῦ Εἰχχορνίου) καλουμένην, ἀπὸ Μωϋσέως τε ἀρχομένην καὶ μέχρι τῆς εἰς Βαβυλῶνα ἀπαγωγῆς καθήκουσαν, τὴν δὲ δευτέραν (τὴν Ἰουδαϊκὴν) ἅπαντα τὸν χρόνον τῆς αἰχμαλωσίας καὶ τὸν ἀπὸ τῆς ἐπιστροφῆς μέχρι τῆς τρίτης πρὸ Χριστοῦ ἑκατονταετηρίδος, ὁπότε ὁ ἱερὸς κανὼν τῆς Γραφῆς ἐπεσφραγίσθη καὶ πολλὰς ἑκατονταετηρίδας ὕστερον περιλαμβάνουσαν, ἐν ᾗ πάντα τὰ ἑρμηνευτικὰ βιβλία συνετάχθη. Διαφέρουσι δ' ἀλλήλων αὗται αἱ περίοδοι οὐ μόνον κατὰ τὸν χαρακτῆρα τῆς γλώσσης, ἐφ' ὅσον ἡ Ἑβραϊκὴ ἔτι ἐγράφετο (Γεσεν. Μ. αον § 9 κ. φ. ξ.) ἀλλὰ καὶ κατὰ τὰ ἤθη καὶ τὴν θρησκευτικὴν φιλοσοφίαν ἐν γένει. Ἀπαχθέντες γὰρ οἱ Ἰουδαῖοι εἰς Βαβυλῶνα καὶ πολλαχῶς τοῖς ἄνω Ἀσιάταις ἀναμιγέντες, διέδοσάν τε ἔνια τῆς ἑαυτῶν διδασκαλίας ἐκείνοις καὶ τἀνάπαλιν παρ' ἐκείνων οὐκ ὀλίγα τοῖς Μωσαϊκοῖς συγκατέμιξαν, ὥστε οὐκέτι γνησία ἡ πατριαρχικὴ διδασκαλία εἰς τὴν κοιλάδα τοῦ Ἰορδάνου ὑπέστρεψεν, οἵα περ ἀρχῆθεν ὑπῆρχεν, ἀλλὰ πολλοῖς δόγμασι τῆς ἄνω Ἀσίας συνηρμοσμένη. Ἤδη δ' ἤρξαντο καὶ τοῖς Ἑλλη-

σιν ἀεὶ μᾶλλον ἐπιμίγνυσθαι πρώην τε καὶ ἀπὸ Ἀλεξάνδρου τοῦ μεγάλου κατά τε τὴν Αἴγυπτον καὶ τὴν Ἀλεξάνδρειαν μάλιστα, ἔνθα ἐν Ἕλλησι ζῶντες τὴν ἑλλάδα φωνὴν οὕτως ἰδίαν ἐποιήσαντο, ὥστε ἐπὶ Πτολεμαίου τοῦ Λάγου ἐπάναγκες αὐτοῖς κατέστη τὰς ἱερὰς αὐτῶν βίβλους ἑλληνικῇ φωνῇ μεταφράσαι. Καὶ ἀπὸ τούτου τοῦ χρόνου ἤρξατο ἡ τῶν Ο' λεγομένη μετάφρασις, χρόνῳ ὕστερον τέλος λαβοῦσα. (αὐτ. § 22 σ. 77) Ὑπεβάλοντο δὲ τῷ ἑαυτῶν ἔργῳ ὡς κείμενον τῆς Πεντατεύχου διασκευήν, παραλλάσσουσαν μὲν τῆς νῦν Ἑβραϊκῆς, ἀλλὰ παραπλησίαν οὖσαν τῇ τότε καὶ ὀλίγῳ πρότερον γενομένῃ τῶν Σαμαριτῶν, οἳ τῶν Γραφῶν μόνην τὴν πεντάτευχον γεραίροντες ἦσαν. (αὐτ. § 24. σ. 84.) Φαίνονται δὲ τῶν Ο' ἄλλοι ἄλλων εἰδημονέστεροι τῆς Ἑβραϊκῆς, πάντες μέντοι ἐτυμολογίας, γραμματικῆς, ὀρθογραφίας καὶ ἑρμηνείας σμικρὸν ἐπαΐοντες. (αὐτ. σ. 78.) (α).

Ἐπεὶ δὲ αἱ ἑλληνιστὶ ἑρμηνευθεῖσαι γραφαὶ εἰς χεῖρας πολλῶν διεδόθησαν, οἱ ἑλληνιστὶ λαλοῦντες Ἰουδαῖοι ἀεὶ ἐλάσσονα αὐτοῦ τοῦ Ἑβραϊκοῦ κειμένου ἐπιμέλειαν ἐποιοῦντο, μέχρι οὗ παρὰ τῷ λαῷ ἡ περὶ τὴν πάτριον φωνὴν σπουδὴ καὶ τελέως ἐξέλιπεν. Εἰ δὲ καὶ ἔντισι

(α) Ἐγένοντο δὲ ἐπὶ τοῦ δευτέρου αἰῶνος μετὰ Χριστὸν καὶ ἄλλαι μεταφράσεις Ἑλληνικαὶ ἡ τοῦ Ἀετοῦ (Aquila), Συμμάχου, Θεοδοτίωνος, ὧν λειψανά τινα ἐς ἡμᾶς περιγέγονε. τούτων δὲ τῶν μεταφραστῶν ἐτυμολογικὴν δεξιότητα μαρτυρεῖ μάλιστα ὁ πρῶτος (αὐτ. σ. 79—80.), ὃν περ διὰ τὴν κατὰ λέξιν μετάφρασιν ἔνιοι τῶν πατέρων τὸν Ἑβραΐον ἀπεκάλουν. (αὐτ. § 26, σ. 88.).



συναγωγαῖς, ὡς ἐν Ἀλεξανδρείᾳ, πρὸς τῇ μεταφράσει τῶν Ο' καὶ τὸ Ἑβραϊκὸν κείμενον ἀνεγιγνώσκετο, ἀλλ' ὁ λαὸς ἥκιστα αὐτὸ συνίει, καθάπερ καὶ οἱ νῦν χριστιανοὶ τὰ λατινιστὶ ἐκφωνούμενα τῆς μυσταγωγίας. Μάλιστα δὲ καὶ αὐτῆς τῆς Μίσνης ἔοικεν ἑρμηνεία γενέσθαι ἑλληνιστὶ ἡ Δευτέρωσις ἐπικληθεῖσα. ὡς δὲ ἀτελῶς περὶ τὴν Ἑβραΐδα φωνὴν ἐσπούδαζον καὶ αὐτοὶ οἱ ἄλλως εὖ πεπαιδευμένοι τῶν ἑλληνιζόντων Ἰουδαίων, μαρτυρεῖ ὁ Ἰώσηπος καὶ ἔτι μᾶλλον ὁ Φίλων.

Ὁ μὲν οὖν Ἰώσηπος περὶ τὸ 37 ἔτος μετὰ Χριστὸν γεννηθείς, Φαρισαῖος πολυμαθής, γένους ἱερατικοῦ ἐξ Ἱερουσαλήμ, ἤκμαζεν ἐν χρόνῳ, καθ' ὃν ἐν τῇ πατρίδι αὐτοῦ πλὴν τῆς κοινῆς καταστάσης Ἀραμαϊκῆς διαλέκτου, ὑπῆρχεν ἤδη ἐν συχνῇ χρήσει καὶ ἡ ἑλληνικὴ (α). Καὶ πρὸς τοῖς Ἀραμαϊκοῖς δὲ ταργουμὶμ (ἑρμηνείαις) ἀνεγιγνώσκετο ὡς τὰ πολλὰ καὶ ἡ μετάφρασις τῶν Ο'· ἤρξαντο γάρ πως αὐτῆς καταφρονεῖν οἱ Ἰουδαῖοι ὕστερον, ἐξ ὅτου ἔριδες ἐν αὐτοῖς καὶ τοῖς χριστιανοῖς πρὸς ἀλλήλους ἐξήφθησαν, πρότερον δ' ἐτίμων αὐτήν.

(α.) Ἐπὶ Χριστοῦ ἐλαλεῖτο ἐν Παλαιστίνῃ ἡ Συροχαλδαϊκὴ ἡ Ἀραμαϊκὴ φωνὴ (Γεσεν. αὐτ. § 16, σ. 55, σχόλ. 68), ἀλλ' ὑπῆρχεν ἅμα ἐν χρήσει οὐκ ὀλίγῃ, ὡς ἔοικε, καὶ ἡ Ἑλληνική, ἔνιοι δὲ καὶ διϊσχυρίζοντο ὅτι καὶ μόνον Ἑλληνιστὶ οἱ Ἰουδαῖοι ἐπὶ Χριστοῦ διελέγοντο καὶ αὐτὸς δὲ ὁ Χριστὸς ὅτι Ἑλληνιστὶ διελέγετο. (αὐτ. § 13, σ. 46. ἔτι δὲ § 23. σ. 80.) Ἀλλ' οὐδὲν ἧσσον ἔξ ἄλλων τε πολλῶν καὶ ἐκ τούτων, οἶμαι, ἐπιεικῶς συνάγεται ὅτι ὁ σοφὸς Ῥενὰν σκεπτικώτερον ἢ ἱστορικώτερον περὶ τοῦ Ἑλληνισμοῦ τοῦ Ἰωάννου διστάζει ἐν τῷ βίῳ τοῦ Ἰησοῦ (σ. XXV τῆς δης ἐκδόσ.).

καὶ ὁ Ἰώσηπος τὴν Ἰουδαϊκὴν ἀρχαιολογίαν συγγράφων, ὥς γ' ἐπὶ τὸ πολὺ τῇ μεταφράσει τῶν Ο' ἐχρήσατο, εἰ καὶ φανερός ἐστι καὶ τὸ ἑβραϊκὸν κείμενον αὐτῇ πολλαχοῦ συμβάλλων. Καὶ ὁ σοφὸς Γεσένιος πλὴν τῆς πατρίου φωνῆς τῆς Ἀραμαϊκῆς ἀποδίδωσιν αὐτῷ καὶ γνῶσιν τινὰ τῆς πάλαι Ἑβραϊκῆς, ἣν πολλοὶ ἄλλοι σοφοὶ παντάπασιν ἠρνήθησαν· ἀλλ' ἐπιμέμφεται αὐτῷ παραπλησίως τοῖς Ἀλεξανδρεῦσιν ἀπειρίαν περὶ τὴν ἐτυμολογίαν καὶ ἔλλειψιν ἀκριβείας τε καὶ ἐμβριθείας περὶ τὴν γραμματικὴν μάλιστα τέχνην. Ἀλλ' ἴσως καὶ τὸ ὑπὲρ πατρίδος ἀπολογεῖσθαι, ὃ μάλιστα προέθετο παραίτιόν φησιν αὐτῷ γενέσθαι, ἧςπερ ἐπιπολαιότητος ὁρῶμεν ἐν τοῖς ἀρχαιολογικοῖς μέρεσι τοῦ συγγράμματος ὑπάρχουσαν. Καὶ τοῦ Ἰωσήπου ὅμως ὑποδεέστερος μακρῷ ὡς πρὸς τὴν γνῶσιν τῆς ἑβραΐδος φωνῆς ἐλέγχεται Φίλων ὁ ἐξ Ἀλεξανδρείας κατὰ τὸν αὐτόν που χρόνον ἀκμάσας, ἄλλαις δὲ μαθήσεσιν Ἰωσήπου προέχων, περὶ δὲ τὴν φιλοσοφίαν τῆς θρησκείας ἀξιολογώτατ' ἐσπουδακώς, πρόδρομος ἐν πολλοῖς γενόμενος τῆς νέας Πλατωνικῆς αἱρέσεως. οὐδὲ γὰρ ἓν χωρίον τῶν συγγραμμάτων αὐτοῦ μέχρι τοῦ δεῦρο οἱ σοφοὶ ὑπέδειξαν, ὅπερ ἂν καὶ πιθανῶς μαρτυρήσειεν ὅτι πλὴν τῆς μεταφράσεως τῶν Ο' καὶ τῷ ἑβραϊκῷ κειμένῳ προσεχρήσατο. (αὐτ. § 23 σ. 80 κ. φ. ξ.).

Οὕτως οὖν οἱ Ἰουδαῖοι τῆς πατρίου φωνῆς καὶ τῶν γραμμάτων ἀεὶ ἀλλοτριώτεροι καθίσταντο. Καὶ τὴν Πλατωνικὴν δὲ φιλοσοφίαν, ὡς τότε μεμιγμένη ὑπῆρχε τῇ Πυθαγορικῇ, Χαλδαϊκῇ καὶ Περσικῇ σοφίᾳ μᾶλλον ἢ ἧσσον τῇ Μωσαϊκῇ παραδόσει ἐφιλοτιμοῦντο συγκαταμίσγειν. εἰ μὲν οὖν οἱ συγγραφεῖς ἐν Ἀλεξανδρείᾳ



ἤκμαζον τὰ τοῦ Πλάτωνος ἐν ὀγκηρᾷ καὶ μεγαλοφώνῳ λέξει ἐν ταῖς συγγραφαῖς αὐτῶν ἐπλεόναζε τῶν Ἀσιατικῶν· εἰ δὲ οἱ συγγραφεῖς ἐν Παλαιστίνῃ τὸν βίον ἐποιοῦντο ἡ Ἀσιατικὴ Μοῦσα τῆς Πλατωνικῆς κατίσχυεν (Ἐϊχχόρνιος). Ἐκινήθησαν δὲ οἱ Ἰουδαῖοι εἰς τοιαύτην φιλοσοφικὴν καὶ ἀλληγορικὴν ἑρμηνείαν τῶν παλαιῶν Γραφῶν, ἐξ ὅτου εἰς τὸ ἑλληνικὸν ἑρμηνευθεῖσαι αὐτοῖς τε τοῖς ἑλληνιστὶ φιλοσοφοῦσιν Ἰουδαίοις λιτώτεραι τοῦ δέοντος ἔδοξαν εἶναι καὶ τοῖς συμμιγῆ μάθησιν ἀσκοῦσιν Ἕλλησιν ἀφορμὴν εἰς σκώψεις ἐνέδωκεν. Οὕτως ἄρα τότε ἀμφοτέρους ἐλάνθανεν ἡ ἀρχαϊκὴ ἁπλότης καὶ τὸ ἀληθὲς καὶ ἄπλαστον ὕψος τῆς ἱερωτάτης πασῶν τῶν βίβλων τοῦ πάλαι κόσμου. Οἱ δ' οὖν Ἰουδαῖοι πρὸς Ἕλληνας, ὡς λέγω, φιλοτιμούμενοι καὶ ἐν Ἕλλησι παιδευόμενοι, ἐζήλωσάν τε τὴν φορτικὴν τῶν Ἑλλήνων μέθοδον, καθ' ἣν περ τοὺς θεολογοῦντας ποιητὰς φιλοσοφικῶς ἡρμήνευον (ἐκεῖνον τὸν Ὀρφέα, τὸν Μουσαῖον, τὸν Ἡσίοδον καὶ τοὺς λοιποὺς) καὶ ἤρξαντο καὶ αὐτοὶ φιλοσοφικῷ χρώματι τὴν ἡλιοειδῆ ἁπλότητα τῆς ἱερᾶς Γραφῆς καταμαυροῦν (α), μηδαμῶς ὑποπτεύοντες τῆς τῶν πατέρων πίστεως οὕτως ἀφίστασθαι, ἀλλὰ τοὐναντίον οἰόμενοι ἀποδεικνύναι τὰς ἑαυτῶν Γραφάς, ὡς πρεσβυτάτας πασῶν οὔσας, πᾶσαν ὀθνείαν σοφίαν ἐν ἑαυταῖς περιλαμβάνειν, ἧπερ αὐτοὶ κυ-

(α.) Κατὰ τἀναντία πρὸς τοὺς ἐν Παλαιστίνῃ Ἰουδαίους, οἳ δύο αἱρέσεις αὐτόθι ἀπετέλεσαν, τοὺς Φαρισαίους καὶ Σαδδουκαίους, ὧν οἱ μὲν περὶ τὸ γράμμα καὶ τὴν σκιὰν ὡς ἀληθῶς τοῦ νόμου ἦσαν σπουδάζοντες, οἱ δὲ Σαδδουκαῖοι ἥκιστα τῶν ἐσχάτων φροντίζοντες ζητημάτων, ὅσα περ τὴν κυριωτάτην οὐσίαν πάσης θρησκείας ἀποτελεῖ.

ρίως παρ' Ἕλλησιν ἀρυόμενοι, τὸ ἁπλοῦν γράμμα τῆς ἀφελοῦς Γραφῆς κατέπνιγον, φάσκοντες τὴν μὲν ἐξ αὐτοῦ τοῦ γράμματος ἔννοιαν τὸ τῆς Γραφῆς σῶμα εἶναι, τὴν δ' ἐν ἀλληγορίαις ὑπόνοιαν τὴν ψυχὴν αὐτῆς. (Σελλερίου Ἱστ. τῆς φιλ. Τ. Γ'. σ. 564, 565—584 κ. φ. ξ. ἔκδ. Α.) Διέλαμψε δ' ἐν τούτοις τοῖς Ἰουδαίοις πάντων μάλιστα ὁ ἐν τῷ πρόσθεν μνημονευθεὶς Φίλων ὁ ἐξ Ἀλεξανδρείας, πολλὰ θεολογικὰ συγγράμματα ἐμφιλοσόφως συγγράψας.

Τὰ δὲ περὶ τὴν ἰδίως κάββαλαν λεγομένην, τὴν μυστικὴν ἀγωγήν, σιγῇ παρερχόμεθα, ἥν περ ὡς ἱερὰν παράδοσιν οἱ ὀπαδοὶ εἰς τὸν Ἀδὰμ ἀνήρτων, ὡς λαβόντα αὐτὴν παρὰ τοῦ ἀγγέλου Ῥαζιήλ. Καὶ οἱ σοφοὶ δὲ Ἰουδαῖοι οἱ παρὰ τῇ ἀκαδημίᾳ τῆς Τιβεριάδος καὶ τῆς Βαβυλῶνος ἀναλάμψαντες σχεδόν τι οὐδεμιᾷ ἄλλῃ μαθήσει τὸν νοῦν ἐπέστησαν ἢ παντοδαπῇ ἑρμηνείᾳ τοῦ νόμου καὶ τῶν ἱερῶν Γραφῶν ἐν γένει. Ἐξ ὅτου δὲ, τῆς ἱερᾶς αὐτῶν πατρίδος ὑπὸ τῶν Ῥωμαίων ἀπανθρώπως κατασκαφείσης, δεῦρο κἀκεῖσε τραγικῶς διεσπάρησαν, τὸ φιλομαθὲς αὐτῶν παντάπασιν ἐμαράνθη μέχρι οὗ οἱ ὁμόφυλοι αὐτῶν Χαλίφαι εἰς δύναμιν καὶ παιδείαν ἀξιολογωτάτην ἐπήρθησαν, παρ' οἷς οἱ Ἰουδαῖοι προστασίας εὐμούσου τυχόντες, ἐνζήλως περὶ τὰς ἐπιστήμας ἐσπούδαζον τὰς ἐν ταῖς ἀκαδημίαις τοῦ Βαγδαδίου, τῆς Κούφας καὶ τῆς Ἀλεξανδρείας διδασκομένας. Καὶ ἀπὸ τούτου τοῦ χρόνου ἐγένοντο ἀνὰ πᾶσαν τὴν Ἀνατολὴν καὶ γραμματικοὶ καὶ μαθηματικοὶ καὶ ἀστρονόμοι καὶ φιλόσοφοι καὶ ἰατροὶ, οἱ Ἰουδαῖοι. Ἀλλὰ σκιαζομένης ὁσημέραι τῆς λαμπηδόνος τῶν χαλιφῶν ἐκ τοῦ γένους τῶν Ἀββασιδῶν ἐν Βαγδαδίῳ, παρήκμαζε καὶ ἡ εὐδοκίμησις τῶν



Ἰουδαίων, οἵτινες ἀπὸ τῆς δεκάτης ἤδη ἑκατονταετηρίδος ἐμισοῦντο καὶ ἐπιέζοντο ἀεὶ μᾶλλον ὑπὸ τῶν χριστιανῶν καὶ τῶν ἀλλοφύλων Μωαμεθανῶν. ἀλλὰ καὶ οὕτως ὑπῆρχον διδάσκαλοι Ἰουδαῖοι κατὰ τὴν Μεσοποταμίαν μέχρι τοῦ ἔτους 1040 μετὰ Χριστόν. (Γεσεν. αὐτ. § 29. σ. 93.) Ταύτην τὴν περίοδον εἰώθασί τινες ἀποκαλεῖν τὴν τῶν Γεοναίων, ὧν ἐπιφανέστατος ἐγένετο ὁ Ῥ. Σααδίας Γαὼν (Χαγγαὼν) ἐκ Φαγούμης τῆς ἐν Αἰγύπτῳ (γεννηθεὶς μὲν περὶ τὸ 892 ἔτος, τελευτήσας δὲ περὶ τὸ 942) πρύτανις τῆς ἐν Σόρᾳ ἐπὶ τῷ Εὐφράτῃ ἀκαδημίας χρηματίσας, πρεσβύτατος τῶν νεωτέρων γραμματικῶν, Ἀραβιστὶ συγγράψας τῆς Ἑβραϊκῆς φωνῆς γραμματικήν· μεθηρμήνευσε δὲ εἰς τὸ Ἀραβικὸν τήν τε πεντάτευχον καὶ τὸν Ἠσαΐαν. Ἓν δὲ τῶν θεολογικῶν καὶ φιλοσοφικῶν αὐτοῦ πονημάτων ἐπιγραφὴν τοιάνδ' ἐστὶ φέρον, Ἐμυνὸτ βε Δεὸτ, ὃ δηλοῖ πιστεύειν καὶ εἰδέναι. Πρῶτος γὰρ οὗτος τῶν νεωτέρων Ἰουδαίων ἐτόλμησε καὶ ἐν θεολογίᾳ κῦρος τῷ λόγῳ ἀπονεῖμαι, τὰ θεῖα, ὡς ἔπος εἰπεῖν, ἐκλογικευόμενος. Πιεζόμενοι τοίνυν δεινῶς οἱ Ἰουδαῖοι, καθάπερ εἴρηται, ἤρξαντο ἀπὸ τῆς δεκάτης ἑκατονταετηρίδος ἀποχωρεῖν ἐξ Ἀσίας πρὸς ἑσπέραν, εἰς Ἱσπανίαν μάλιστα, ἔνθα οἱ ὁμόθρησκοι αὐτῶν, ὥς περ καὶ οἱ χριστιανοὶ, ἡσυχίας καὶ προστασίας οὐ τῆς τυχούσης ἀπήλαυον παρὰ τοῖς ἀνεξιθρήσκοις καὶ ἠπίοις Ἄραψιν. (Εἰχ. καὶ Γεσεν.) Τὴν γὰρ Ἱσπανίαν οἱ Ἰουδαῖοι ἐξ ἀρχαίου ὡς δευτέραν Ἱερουσαλὴμ ἔστεργον, ἐν ᾗ ἐπ' Ἀδριανοῦ ἤδη ἀπὸ τοῦ 125 ἔτους μετὰ Χριστὸν πολλοὶ Ἰουδαῖοι, τὴν βαρεῖαν συμφορὰν τοῦ ἑαυτῶν ἔθνους διαφυγόντες, ἄσυλον εὗρον. Χρόνῳ δ' ὕστερον διωγμοὺς πολλοὺς καὶ κακώσεις ὑπὸ

τῶν δυσμικῶν Γότθων ὑφιστάμενοι, ἀσμεναίτατα τοὺς Ἄραβας ἐδέξαντο, ὡς ὁμοφύλους τε ἑαυτῶν καὶ ἐλευθερωτὰς ὄντας (Ρενάν). Φεύγοντες οὖν ἐξ Ἀσίας οἱ Ἰουδαῖοι ἐγκαθίσταντο ἐν Ἱσπανίᾳ παρὰ τοῖς ὁμοθρήσκοις, οὓς κατέλαβον βίον ἄνετον καὶ ἀνθηρὸν κατὰ πάντα διάγοντας ὑπὸ τὴν αἰγίδα τῶν Ἀράβων. Κατὰ δὲ τοὺς αὐτοὺς καιροὺς περίπου (κατὰ τὸν δέκατον αἰῶνα) ἔλαμπεν ἐν εὐκλείᾳ ἀμαράντῳ ἡ αὐλὴ τοῦ εἰς ἄκρον φιλομούσου καὶ σοφοῦ χαλίφου, Χακὴμ τοῦ δευτέρου. Καὶ τὰ βασίλεια αὐτοῦ Μουσῶν ἐνδιαιτήματα καθειστήκει, ἔνθα πάντοθεν παντοειδῶς σοφοὶ τοῦ τότε κόσμου προσήρχοντο καὶ ἐτέρποντο θεώμενοι βιβλιοπηγούς, ἀντιγραφεῖς, χρωματογράφους, τὰ βιβλία ἐπισκοσμοῦντας, ἅπερ πόρρωθεν πάνυ ἁδραῖς δαπάναις οἱ μισθωτοὶ τοῦ Χακὴμ ἐπίτροποι ἀπέστελλον πρὸς αὔξησιν τῆς ἤδη πλουσιωτάτης οὔσης βιβλιοθήκης καὶ ταχίστην τῶν μαθήσεων διάδοσιν εἰς τοὺς φιλομούσους. Διαβεβαιοῦται δὲ μάλιστα ὑπὸ τῶν παρὰ τοῖς Μουσουλμάνοις ἱστοριογράφων ὅτι ἀνεγιγνώσκετο πρότερον ἐν Ἀνδαλουσίᾳ τὰ ἐν Περσίᾳ καὶ Συρίᾳ καὶ ἄλλοις τόποις ἐκδιδόμενα συγγράμματα ἢ ἐν αὐτῷ τῷ τόπῳ τῆς συγγραφῆς αὐτῶν. Οὕτως οὖν καὶ αἱ τῆς Κορδούβης Μοσκέαι φιλοσοφίας ἑστίαι τηλαυγεῖς κατέστησαν καὶ πάσης ἐπιστήμης, εἰς ἃς χριστιανοί, Ἰουδαῖοι καὶ Μουσουλμάνοι ὁμοίως ἐφοίτων τὴν αὐτὴν γλῶσσαν λαλοῦντες καὶ τῆς αὐτῆς διδασκαλίας ἀπολαύοντες.

Παρὰ τούτῳ δὴ τῷ ἀοιδίμῳ Χακὴμ, δι' ὃν ἐμμέσως πως ἀνέλαμψαν αἱ ἐπιστῆμαι καθ' ἅπασαν τὴν πολυχρονίῳ ζόφῳ κατεχομένην Εὐρώπην, εὐδοκίμει τότε Ἰουδαῖός τις ἰατρὸς Χασδαὶ Βεν-Σζαφρούτ ὀνόματι,



οὗτος αἰτιώτατος ἐγένετο τὴν περὶ τὰς μαθήσεις ἐκλογικευτικὴν μέθοδον εἰσαχθῆναι, ἥσπερ ἤρξατο ἐν Σόρᾳ τῇ ἐγγὺς τοῦ Βαγδαδίου ὁ πρώην μνησθεὶς Σααδίας· καὶ ἤκμασε τότε ἐν Ἰουδαίοις ὁ Ἰβν Γεβιρὸλ (Ἀβισεβρών), ὃς τολμηρότερον μὲν τὰ θεῖα ἑρμηνεύων, τὴν δυσμένειαν τῶν θεολόγων περιεσπάσατο, ἀλλ' ἐν τῷ περὶ δημιουργίας τοῖς ὀρθοδόξοις συγκατατιθέμενος, ἥσσων ἐφάνη τῶν πολλῷ ὕστερον Ἀβερροϊστῶν, τῶν περιπατητικῶν διαδόχων τοῦ Μαϊμονίδου. Διὸ καὶ τὸ ἑβραϊστὶ συγγεγραμμένον «περὶ τῆς πηγῆς τῆς ζωῆς» πόνημα λήθῃ περιπεπτωκὸς ἦν, ὁπότε ἡ λατινιστὶ μετάφρασις αὐτοῦ πολλοῦ λόγου παρὰ τοῖς ἑσπερίοις ἠξιοῦτο (Ρενάν). Οὕτως οὖν οἱ Ἰουδαῖοι, διδαχθέντες πρότερον τὰς τηνικαῦτα ἐν ταῖς τῶν Ἀράβων ἀκαδημίαις ἀνθούσας ἐπιστήμας, ἀπετέλεσαν οὐ πολλῷ ὕστερον καὶ συναγωγὰς ἰδίας Ῥαββίνων πολλαχοῦ τῆς Ἱσπανίας, αἵτινες ἐπὶ τέσσαρας ὅλας ἑκατονταετηρίδας ἐν ἀκμῇ οὖσαι διετέλεσαν. (Γεσεν. αὐτόθι Μέρ. 6ον § 28). Ἀλλ' ἐν τούτῳ τῷ μεταξὺ κατὰ τὸν ἑνδέκατον αἰῶνα παντοειδὴς καταστροφὴ τῆς ὑπ' Ἀράβων Ἱσπανίας ἐγένετο καὶ ἀναστάτωσις πραγμάτων· ὅμως δὲ τοῦ αὐτοῦ αἰῶνος ὑπερμεσοῦντος ἤδη (1068), αἱ μαθήσεις καὶ αἱ ἐπιστῆμαι κάλλιστα αὐτόθι αὖθις εὐδοκίμουν. Καὶ παρὰ τοῖς Ἰουδαίοις ἡ μὲν Ἀριστοτελικὴ μέθοδος πλείστης ὅσης ἐπιμελείας ἠξιοῦτο, ἡ δὲ τῶν ἀντιπάλων, τῶν Ἀράβων Μοτεκαλλεμὶν (Θεολόγων) πραγματεία παρὰ πᾶσιν ἀπεδοκιμάζετο. Τῶν δ' οὖν Ἰουδαίων οἱ θεολογοῦντες πανταχοῦ τὸν λόγον εἰσαγόμενον ὁρῶντες σφόδρα ἐθορυβήθησαν καὶ ἐπέβαλον ἤδη ἀντιμάχεσθαι πρὸς τοὺς Ἀριστοτελίζοντας. Ὅπλον δὲ κυριώτατον αὐτοῖς

ἐγένετο τὸ περίφημον βιβλίον Χοζαρὶ ἢ Κοσρὶ τοῦ Ἰούδα Χαλλευί. καὶ αἱ μὲν συνειδήσεις τῶν ἀνθρώπων κατεσείσθησαν, πᾶσαι δὲ αἱ γνωσταὶ μέθοδοι ἐκινήθησαν καὶ ἐνεοχμώθησαν εἰς τὸ συμβιβάσαι τὸ τῶν Ἰουδαίων δόγμα μετὰ τοῦ λόγου τοῦ ἰσχύοντος. (Ρενᾶν) Ἐν τούτῳ δὲ τῷ ὀρυμαγδῷ καὶ εἰσέτι ἀδιαλύτῳ ζόφῳ ἀνέτειλε τὸ κλέος τῆς Ἀνατολῆς, τὸ φῶς τῆς Ἑσπέρας, ὁ μέγας ἀετός, ὁ πιστὸς διδάσκαλος ὁ Μαϊμονίδης, Μόζε Βεν-Μαϊμὼν καὶ κατὰ συναίρεσιν Ῥαμβᾶν, ὁ ἐν Καρδούβῃ μὲν τὸ τοῦ ἡλίου φῶς ἰδὼν (τῷ 1135), ἐν Καΐρᾳ δὲ τῆς Αἰγύπτου τὸ ζῆν μεταλλάξας (τῷ 1205), ἀρχίατρος τοῦ περιπύστου Σουλτὰν Σαλαδίν, πολλῶν μὲν γλωσσῶν εἰδήμων, μαθημάτων δὲ καὶ λογικῆς (εἰ καὶ ὁ σοφὸς Πράντλιος ἐν τῇ ἱστορίᾳ ταύτης τῆς ἐπιστήμης ἐλαχίστην αὐτῷ μοῖραν ἀπονέμει, Τ. Β. σ. 394) καὶ θεωρητικῆς φιλοσοφίας εἰς ἄκρον ἐληλακώς, τὰ πρῶτα πάντως φέρων ἐπὶ σοφίᾳ παρὰ τοῖς Ἰουδαίοις, οἳ πρὸς ταῖς εἰρημέναις προσηγορίαις καὶ δεύτερον Μωϋσῆν αὐτὸν ἐπεφήμιζον (Εἰχ.). Οὗτος ὁ δαιμόνιος ἀνὴρ πᾶσαν τὴν σπουδὴν καὶ πραγματείαν τῶν πρόσθεν συγκεφαλαιωσάμενος, ἄξιός ἐστι τὴν αἰτίαν φέρειν τῆς παρ' Ἰουδαίοις ἀκμασάσης τῶν φιλοσόφων ἀγωγῆς. Εἰ δὲ παραπλησία ἢ μᾶλλον εἰπεῖν πανομοία ἡ φιλοσοφικὴ αὐτοῦ θεωρία τῇ τοῦ περιωνύμου Ἰβν-Ῥόσδ, Ἀβερρόου, τοῦ Ἄραβος φιλοσόφου φαίνεται, εἰς ὁμοίαν τῶν ὄντων ἀντίληψιν καὶ κοινὴν ἀρχὴν τὴν αἰτίαν τούτου ἀποδοτέον, ἐξ ἧς ἄμφω ὡρμήθησαν, ἀπὸ τῶν παρ' Ἄραψι περιπατητικῶν. οὐκέτι γὰρ ἀληθὴς ἀποβαίνει παλαιῶν τινων σοφῶν ἡ μαρτυρία ὅτι ὁ Μαϊμονίδης μαθητὴς ἐγένετο τοῦ Ἀβερρόου. ἀλλὰ τοσόνδε μόνον ἀληθές ἐστιν



ὅτι περὶ δυσμὰς τοῦ βίου ἐν Αἰγύπτῳ διατρίβων, ἐνέτυχε τοῖς ὑπομνήμασι τοῦ Ἀβερρόου εἰς τὰ Ἀριστοτέλους συγγράμματα, ἅπερ παραπλήσια τοῖς ἑαυτοῦ δόγμασιν εὑρών, συνέστησεν ἐνζήλως τοῖς ἑαυτοῦ μαθηταῖς. ὥστε τοὐντεῦθεν ἡ παρ' Ἄραψι περιπατητικὴ ἀγωγὴ πολλοῦ λόγου παρὰ τοῖς Ἰουδαίοις τοῖς ὀπαδοῖς τοῦ Μαϊμονίδου ἠξιοῦτο καὶ ὡς εἰκὸς ἡ τοῦ Ἀβερρόου ἐς τὰ μάλιστα.

Οὕτως οὖν παρὰ τοῖς Ἰουδαίοις σοφοὶ συγγραφεῖς αὖθις ἀνέλαμψαν ἐν φιλοσοφίᾳ μὴ ὅτι ἁπλῶς, ἀλλὰ καὶ ἐν ἰατρικῇ, ἀστρολογίᾳ καὶ ἐν τοῖς πατρίοις γράμμασι καὶ οὐ μόνον ἐν Ἱσπανίᾳ ἐπὶ τέσσαρας ὅλας ἑκατονταετηρίδας, ἀλλὰ καὶ κατὰ πᾶν τὸ μῆκος τῆς Λιβυκῆς παραλίας καὶ ἐν Γαλλίᾳ καὶ Ἰταλίᾳ κατὰ σμικρόν, ὑστέρῳ δὲ χρόνῳ καὶ ἐν Γερμανίᾳ. (Εἰχ. καὶ Γεσέν.) Ἀλλ' ἐν τούτῳ τῷ χρόνῳ ἔριδες μὲν ἐν αὐτοῖς τοῖς Ἰουδαίοις τοῖς ἐν Ἱσπανίᾳ πολλῷ σφοδρότεραι τῶν πρώην ἀνεφύησαν τῶν θεολογούντων πρὸς τοὺς περιπατητικῶς φιλοσοφοῦντας, ἀφ' ὧν νικηταὶ ἀπέβησαν οἱ φιλόσοφοι, καὶ τοῦτον τὸν τρόπον κατὰ τοὺς ὑστάτους τῶν Μέσων αἰώνων οἱ Ἰουδαῖοι ἐλευθέρῳ λόγῳ περὶ τὸ φιλοσοφεῖν πάντων μάλιστα χρώμενοι διετέλεσαν. Ἀλλ' οὐδὲν ἧσσον παρὰ πᾶσι τοῖς Μουσουλμάνοις, πλὴν εἰ ὀλίγους ἐξέλοις, ἀνέκαθεν ἐρριζωμένον ὑπῆρχε τὸ πρὸς τὸν λόγον καὶ τὴν φιλοσοφίαν ἐν γένει μῖσος, καὶ ἐξαφθὲν τέλος ἠνάγκασε τοὺς φιλοσοφοῦντας Ἰουδαίους, ἀρχομένης τῆς δεκάτης τρίτης ἑκατονταετηρίδος ἀποχωρῆσαι εἰς τὴν ὑπὸ τοὺς χριστιανοὺς τελοῦσαν Ἱσπανίαν, εἰς τὴν Ἐπαρχίαν τὴν Ναρβωνῖτιδα καὶ τὴν παρώρειαν τῶν Πυρηναίων. Διὸ ἡ Βαρκινών, ἡ Καισάρεια Αὐγούστα, ἡ Ναρβών, ἡ Μασσαλία καὶ ἄλλαι πόλεις ἑστίαι παιδείας

καὶ φιλοσοφίας τοῖς Ἰουδαίοις νῦν κατέστησαν, οἵπερ τὸ ἐντεῦθεν ἤρξαντο τὴν Ἀραβικὴν τῇ ἑαυτῶν φωνῇ τῇ πατρίῳ ἀνταλλάσειν. Καὶ ἐδέησε τούτου γε ἕνεκεν αὐτίκα πάνθ' ὅσα λόγου ἄξια συγγράμματα τῶν Ἀράβων φιλοσοφικῆς ἢ ἄλλης ἐπιστημονικῆς ὑποθέσεως ἐχόμενα, εἰς τὸ Ἑβραϊκὸν (Ῥαββινικὸν) ἰδίωμα μεθερμηνεῦσαι. Καὶ ἐν τούτῳ τῷ μεγάλῳ ἔργῳ τῶν μεταφράσεων, πάντα τὸν ιγʹ καὶ τὸ ἥμισυ τοῦ ιδʹ αἰῶνος ἐπιλαβόντι, πλεῖστον πάντων κλέος ἤραντο οἱ ἀπὸ τοῦ γένους τῶν Τιββονιδῶν καλουμένων, οἵπερ ἐξ Ἀνδαλουσίας ὁρμηθέντες ἐν Λυνελίᾳ τῆς Ναρβωνίτιδος κατῴκουν. Ὑπογραμμὸν δὲ καὶ οἷον βάσιν κυρίαν καὶ μόνην τοῦ φιλοσοφεῖν ἑαυτοῖς ὑπεβάλοντο οἱ Ἰουδαῖοι τοὐντεῦθεν τὰ Ἀριστοτέλους συγγράμματα, ἢ μᾶλλον εἰπεῖν τάς τε ἀντιστοιχούσας πραγματείας τοῦ μεγάλου ὑπομνήματος καὶ τὰς παραφράσεις τοῦ Ἀβεῤῥόου, αἵτινες τῷ Ἀριστοτέλους ὀνόματι ἀμέσως ἐκαλοῦντο. Καὶ πρῶτοι οἱ Ἰουδαῖοι τὴν περὶ Ἀβεῤῥόου κατέχουσαν φήμην διέδοσαν, ὡς τοῦ κατ' ἐξοχὴν ὑ π ο μ ν η μ α τ ι σ τ ο ῦ τῶν Ἀριστοτέλους συγγραμμάτων ὄντος.

Ἀλλὰ τὸ κῦρος τοῦ Ἄραβος φιλοσόφου ἐπὶ τοῦ τεσσαρεσκαιδεκάτου αἰῶνος παρ' αὐτοῖς μάλιστ' ἐκορυφώθη. Καὶ ὁ κατὰ τὸν αὐτὸν χρόνον ἐπὶ φιλοσοφίᾳ πάντων κάλλιστα διαπρέψας Λευὶ Βεν-Γερσὼν ὀνόματι ἔγραψεν ὑπομνήματα ἄλλα εἰς τὰ ὑπομνήματα καὶ τὰ συγγράμματα τοῦ Ἀβεῤῥόου. Καὶ ἐπί τινων μερῶν αἱ ἐξηγήσεις τοῦ Λευὶ ἀχώριστοι τοῦ Ἀβεῤῥοϊκοῦ κειμένου κατέστησαν, ὥσπερ πρότερον τὸ Ἀβεῤῥόου Ὑπόμνημα ἀχώριστον καθειστήκει τοῦ Ἀριστοτελικοῦ κειμένου. Τὸ δὲ φιλοσόφημα τοῦ Λευὶ Βεν-Γερσῶνος οὐδὲν ἄλλο ἦν



ἢ αὐτόχρημα ἡ παρ' Ἄραψι περιπατητικὴ ἀγωγὴ, γνησιωτάτη, καὶ πολλῷ μᾶλλον τῆς Μωσαϊκῆς παραδόσεως ἀφεστηκυῖα ἢ ἡ πραγματεία καὶ αὐτοῦ τοῦ Μαϊμονίδου.

Ἐπὶ δὲ τοῦ πέμπτου καὶ δεκάτου αἰῶνος ἡ παρ' Ἰουδαίοις Σχολαστικὴ φιλοσοφία εἰς παρακμὴν περιελθοῦσα φαίνεται. καὶ ἡ μὲν σχολὴ ἡ Ναρβωνῖτις ὁσημέραι ἐξαντλεῖται, τὸ δὲ πτέρωμα τὸ φιλοσοφικὸν παντάπασι κολούεται. Πλὴν τὰ τοῦ Ἀβεῤῥόου διὰ σπουδῆς καὶ οὐκ ὀλίγης ἔτι καὶ νῦν τοῖς λογιωτέροις ὑπῆρχεν, ὡς δηλοῖ ἄλλα τε πολλὰ πονήματα καὶ τὸ διδακτικὸν ποίημα Μωϋσέως τοῦ Ῥιετίου, ὅςπερ καὶ αὐτὴν τὴν Θ ε ί α ν κ ω μ ῳ δ ί α ν ἀπομιμηθῆναι οὐκ ὤκνησε. περιέχει δ' ἀπανθίσματα λόγου ἄξια τῆς φιλοσοφίας τοῦ Ἀβεῤῥόου καὶ τῆς τοῦ Λευὶ Βεν-Γερσῶνος.

Ἔσχατος δὲ ὀπαδὸς τῆς παρ' Ἰουδαίοις Ἀβεῤῥοϊστικῆς αἱρέσεως ἐγένετο Ἠλίας ὁ τοῦ Μεδίγου. ἦν δὲ οὗτος ἐν κλεινῷ Παταυΐῳ διδάσκων, λήγοντος ἤδη τοῦ ιεʹ αἰῶνος, ἔνθα καὶ ὁ Πῖκος ὁ ἐκ Μιρανδόλης ὁ φιλόσοφος αὐτοῦ διήκουσε. Διὰ δὲ τούτου τοῦ Ἠλίου μετωχετεύθη τῆς Ἰουδαϊκῆς φιλοσοφίας τὸ νᾶμα τὸ ἔσχατον εἰς τὴν σχολὴν τοῦ Παταυΐου, ἣ δὴ τὸ ἑαυτῆς μέρος διετέλει ζηλοῦσα τόν τε νοῦν καὶ τὴν μέθοδον τῶν Ἀράβων.

Ἀρχομένου δὲ τοῦ ἑκκαιδεκάτου αἰῶνος οἱ ἐπιφανέστατοι τῶν παρ' Ἰουδαίοις λογίων ἐν ὑποψίᾳ πολλῇ ἤρξαντο ποιεῖσθαι τὴν περιπατητικὴν αἵρεσιν τοῦ Ἀβεῤῥόου. καὶ οἱ θεολογοῦντες αὐτῶν συχνὸν ἤδη χρόνον οἱονεὶ καθεύδοντες καὶ τὴν τολμηρὰν διδασκαλίαν τοῦ Λευὶ Βεν-Γερσῶνος ἄνευ ἀναθεματίσεως εἰσαγομένην περιϊδόντες, ἄφνω τανῦν ἐξηγέρθησαν, καὶ ὁ παρ' αὐτοῖς

ὀνομαστὸς Ἰωσὴφ ὁ Ἄλβων καὶ Ἀβραὰμ Βιβάγων καὶ Ἰσαὰκ Ἀβραβανέλιος ἐνεργῶς πρὸς τοὺς φιλοσοφοῦντας ἀντιμάχονται περί τε τῆς τοῦ κόσμου δημιουργίας, τῆς ἀποκαλύψεως καὶ τῆς ἀθανασίας. Ἐν τούτῳ δὴ τῷ χρόνῳ ἐσίγησεν ἡ παρ' Ἰουδαίοις φιλοσοφία μέχρι οὗ ἄνδρες αὖθις ἀνέτειλαν, γενναῖόν τι βάθος ἔχοντες, ὁ σεβάσμιος Σπινόζας καὶ ὁ πάσῃ ψυχῇ ἀνθρωπικῇ ἀσπάσιος καὶ ποθεινὸς Μενδελσώνιος. [ἐπιθι Ῥενᾶνος περὶ Ἀβερρόου καὶ Ἀβερροϊσμοῦ σ. 1—7 καὶ 172—199. τῆς 6ης ἐκδ.].

Συγκεφαλαιώσαντι δὲ πάντα τὰ μέχρι τοῦδε λεχθέντα φανερὸν γένοιτ' ἂν ὅτι τὰ ἱερὰ γράμματα τοῦ Ἑβραϊκοῦ ἤτοι τοῦ χρυσοῦ τῶν Ἑβραίων αἰῶνος, ἀπὸ τοῦ Μωϋσέως μέχρι τῆς εἰς Βαβυλῶνα ἀπαγωγῆς ἀμιγῆ καὶ γνησίαν τήν τε θρησκευτικὴν συναίσθησιν καὶ τὸν νοῦν τῶν Ἰσραηλιτῶν ἡμῖν ἐμφαίνει καὶ πάντων δὲ τῶν λοιπῶν φύλων τῆς Καυκασιακῆς φυλῆς ἐς τὰ μάλιστα διαφέροντα, τὰ δὲ γράμματα καὶ αἱ παραδόσεις ἀπὸ τῆς εἰς Βαβυλῶνα ἀπαγωγῆς καὶ παρὰ πάντα τὸν αἰῶνα τὸν ὕστερον ἐλέγχει τοὺς Ἰουδαίους, τῆς μὲν γνησίας παραδόσεως ὁσημέραι ἀφισταμένους, τὰ δὲ ὀθνεῖα ἀεὶ μᾶλλον τοῖς ἑαυτῶν συγκαταμίσγοντας, καὶ πρῶτον μὲν τὰ τῶν ἄνω Ἀσιατῶν, πρὸ πάντων δὲ τὰ τῶν Περσῶν, ὡς εἴρηται, εἶτα δὲ τὰ τῶν Ἑλλήνων, ἐν Ἀλεξανδρείᾳ μάλιστα καὶ κατὰ τὴν ἄλλην Αἴγυπτον, εἶτα τὰ τῶν Ἀράβων, ἑλληνικὰ καὶ ταῦτα ὡς τὰ πολλὰ ὄντα. Εὐλαβητέον δὲ πάντων μάλιστα τὰ τῆς Παλαιᾶς Γραφῆς καὶ τῆς Μωσαϊκῆς παραδόσεως ἑρμηνεύειν, τὰς διασαφήσεις καὶ τὸν νοῦν ἐφέλκοντα, ὃν περ οἱ φιλοσοφοῦντες Ἰουδαῖοι αὐτοῖς βίᾳ ὑπεβάλλοντο, οἵ τε παλαιό-



τεροι καὶ ὁ Γεβιρὸλ ἢ ὁ Μαϊμονίδης ἢ ὁ Βεν-Γερσὼν καὶ οἱ λοιποί· οὐδὲ τὰ τῶν ὀρθοδόξων θεολόγων τῶν πρὸς τοὺς φιλοσόφους ἀντιλεγόντων, οἷον τὰ τοῦ Ἄλβωνος ἀσφαλῆ εἰς ἑρμηνείαν τῆς ἀφελοῦς καὶ γνησίας παραδόσεως τῶν Ἑβραίων ὑπάρχει. Ἐνετύχομεν γὰρ τισι βιβλίοις, ἐν οἷς τὰ τῆς Μωσαϊκῆς παραδόσεως, τὰ τῶν Ῥαββίνων, τῶν φιλοσόφων καὶ ὑστάτων θεολόγων φύρδην μίγδην ἀλλήλοις συναντᾶται κἀκ τούτων ἁπάντων κρᾶμά τι ὅλως ἀλλόκοτον κατασκευάζεται.

Ταῦτα τοίνυν προοιμιασάμενοι, ἐπάνιμεν εἰς τὸν ἐξ ἀρχῆς λόγον τὸν περὶ τοῦ Δημιουργοῦ καὶ τοῦ δημιουργηθέντος κόσμου, ὡς πρὸς ἀλλήλους ἔχουσι κατὰ τὴν ἱερὰν Γραφήν.

Γνώρισμα τοίνυν μέγιστόν, φαμεν, καὶ κυριώτατον τῆς Παλαιᾶς Γραφῆς, ὅπερ τὸ Ἰσραηλιτικὸν γένος, ὡς τὸ κατ' ἐξοχὴν Σημιτικὸν πάντων τῶν ἄλλων φύλων τῆς Καυκασιακῆς φυλῆς ἀνέκαθεν διαστέλλον ἐστὶ τόδε· ὅτι Θεὸν ἕνα δημιουργὸν μὲν τῆς φύσεως ἁπάσης ἐξ ὑποστάσεως τῆς πρώτης τίθεται, ἔξω δ' αὐτῆς ὄντα, μήτε οὕτως μήτε ἄλλως, μήτε μᾶλλον μήτε ἧσσον κατ' οὐσίαν γε αὐτῆς ἐχόμενον.

Ὁ Θεὸς ἀγαθῇ καὶ ἐλευθέρᾳ βουλήσει ἐδημιούργησε τὸ Πᾶν, ἐξ *αὐτῆς τῆς πρώτης ὑποστάσεως* ἀρξάμενος καὶ δὴ καὶ ταυτηνὶ τὴν ὑπόστασιν ἤτοι τὴν πρώτην ὕλην *ἐκ τοῦ μηδενός*. Τῶν δὲ σοφῶν ὅσοι μὲν τὴν περὶ τῆς τοῦ κόσμου Δημιουργίας ἀφήγησιν τῆς παλαιᾶς Διαθήκης ὡς οὐ πάμπαν χωρὶς δέχονται τῶν πολυθεϊκῶν ποιηθεῖσαν παραδόσεων, ἀλλ' ὡς τὴν ἐν ταῖς κοσμογονίαις τεταμιευμένην θρησκευτικὴν πεῖραν τῶν πρεσβυτάτων ἐθνῶν παραλαβοῦσαν, πρὸς δὲ τὸν ἰ-

ιδιάζοντα χαρακτῆρα τῆς Σημιτικῆς Μονοθείας αὐτὴν μεθαρμόσασαν, οὗτοι τὴν Μωσαϊκὴν κοσμοποιΐαν ἑρμηνεύοντές φασιν ὅτι ὁ Δημιουργὸς πρῶτον μὲν τὴν «ἄμορφον ὕλην» ἐδημιούργησεν, εἶτ' ἐκ ταύτης τῆς ἀμόρφου ὕλης κατὰ σμικρὸν τὸν πάντα κόσμον τὸν αἰσθητὸν εἰς φῶς προαγαγὼν διεκόσμησεν· οὕτως ἀποφαίνεται ὁ κλεινὸς Οὐείσσιος (Ch. H. Weisse), θεολόγος ἅμα καὶ φιλόσοφος ἄκρος ὤν, ἐν τῇ ἀξιαγάστῳ αὐτοῦ δογματικῇ.—Ὅσοι δὲ τὴν παλαιὰν Διαθήκην οὐ μόνον κατὰ τὴν Μονοθείαν, ἀλλὰ καὶ κατὰ πάσας τὰς ἄλλας παραδόσεις μηδὲν κοινὸν ἔχειν φασὶ τὸ παράπαν ταῖς λοιπαῖς τῶν πολυθεϊκῶν ἐθνῶν, οὗτοι καὶ τὴν κατὰ σμικρὸν Δημιουργίαν τοῦ κόσμου ὡς ταπεινὴν καὶ τῆς ἱερᾶς Γραφῆς ἕνα Θεὸν Παντοδύναμον ὑμνούσης, ὡς ἀναξίαν ὅλως ἀποβάλλουσιν· πανταχοῦ τε γὰρ τῆς Βίβλου τὰ ἐν τῷ κόσμῳ ὄντα εὐθὺς ἐξ ἀρχῆς τῇ δημιουργικῇ τοῦ Θείου Λόγου δυνάμει ἐσχηματισμένα καὶ εἰδοπεποιημένα ἐκ τοῦ μὴ ὄντος ἀμέσως εἰσάγεσθαί φασιν· Οὕτω δὲ λέγει ἀνὴρ ἐν εὐρείᾳ σοφίᾳ ἐκπρέπων, ὁ Εὐάλδιος, ὃς καὶ ἀντιφάσει τινὶ πάντως περιπίπτει, πολυθεϊκὸν δόγμα τὸ περὶ ἀνάρχου χάους τῷ τῆς Μωσαϊκῆς Γενέσεως συντάκτῃ εὐθὺς ἐν τῷ πρώτῳ στίχῳ αὐτῆς ἀποδιδούς. Τὸ δέ γ' ἡμέτερον, προστιθέμεθα ἀνενδοιάστως τῇ τοῦ Οὐεισσίου γνώμῃ διὰ λόγους μάλιστα τοὺς ἐφεξῆς δύο· Πρῶτον μὲν γὰρ κατ' ἀρχὴν ἑνότητα τοῦ ἀνθρωπίνου γένους, ἀφελῆ τε καὶ ὡς ἔπος εἰπεῖν ὁμαλὴν καὶ ἀφιλόνεικον ἐπιμιξίαν (ἑνωτικήν τι καὶ θρησκευτικὴν) τῶν παλαιγόνων ἐθνῶν πρὸς ἄλληλα πρεσβεύοντες, οὐχ οἷοί τ' ἂν εἴημεν δοξάσαι ὅτι ἡ Μωσαϊκὴ παράδοσις ἄνευ τινὸς μνήμης τῆς λοιπῆς ἀνθρωπότη-



τος παρὰ τοῖς Σημίταις ἐγένετο. Εἶτα τὸν Οὐείσσιον ἄνδρα δεξιότητα δαιμονίαν ἔχοντα ὁρῶμεν πᾶσαν ἐκ πολυμαθείας προκατάληψιν ἀποτιθέμενον, εἰς τὸ ἀφελὲς ἦθος καὶ τὴν συναίσθησιν τῶν πρεσβυγενῶν ἀνθρώπων εἰσδύεσθαι, ὡς εἴπερ τις καὶ ἄλλος. Μηδὲν γὰρ ταπεινόν, μηδὲ ἀνάξιον τῆς τοῦ Θεοῦ παντοδυναμίας, φαῖμεν ἂν καὶ ἡμεῖς γε ὑποπτεῦσαι ἐκείνους τοὺς πάλαι ἀνθρώπους, εἴπερ ὁ Δημιουργὸς κατὰ βαθμοὺς τὸν κόσμον ἐδημιούργησεν, ἀπὸ αὐτῆς τε τῆς ἀμόρφου ὕλης ἀρξάμενος καὶ τὰ ἀεὶ τελειότερα μέχρι τοῦ τελειοτάτου ἁπάντων δημιουργήσας, τὴν ἑβδόμην τέλος ἡμέραν τοῦ βαθμιαίου ἔργου ἀπεπαύσατο (ὅρα Οὐεϊσσ. φιλοσοφικῆς δογματ. T.B. § 570—579.), ὁπότε οὐδ' αὐτὸν τὸν Πλάτωνα τὴν κατὰ σμικρὸν προπαρασκευὴν καὶ διακόσμησιν τοῦ Σύμπαντος ἀναξίαν τοῦ Δημιουργοῦ ὑποπτεύοντα ὁρῶμεν ἐν τῷ Τιμαίῳ, κἂν εἰ εἰκόνος χάριν ἕνεκεν τὸν μῦθον ἀφηγῆται. Καὶ γὰρ οἱ πάλαι ἀφελέστεροι ἡμῶν ἐν πολλοῖς φαίνονται. Ταῦτα μὲν δὴ ταῦτα.

Ἄλλοι δὲ ἄνδρες πολυμαθεῖς, ὑποδεέστεροι δὲ πάντως τῶν ἄρτι μνησθέντων, τοιόνδε τί που λέγουσιν, ὡς ἄρα ἀμφισβητήσιμον εἴη, εἴπερ ἡ Μωσαϊκὴ παράδοσις τὴν πρώτην ὕλην, ὥς τι ἐξ ἀϊδίου ὑπάρχον καὶ ἀδημιούργητον, ἐξ οὗ τὸν κόσμον ἁπλῶς διέπλασεν ἢ καὶ ἐκ τοῦ μηδενὸς καὶ αὐτὴν δημιουργηθεῖσαν δέχεται. Αὕτη ἡ ἀπορία ἐκ δυοῖν λόγοιν προελθεῖν μοι δοκεῖ, ἤτοι οὗτοι οἱ ἄνδρες οὔπω ἱκανῶς παρ' ἑαυτοῖς ἔλαβον τὴν πρώτην φύσιν τῆς Σημιτικῆς Μονοθείας· καὶ γὰρ ὕλην ἀδημιούργητον, ἐξ ἀϊδίου ἄναρχον τίθεσθαι, ἀντικρὺς ἀντιμάχεται πρὸς τὴν παντοδύναμον καὶ ἑνιαίαν βούλησιν τοῦ Ἑνὸς Θεοῦ, εἰς ἣν ἐμφανῶς οἱ Ἰσραηλῖται τὴν γένεσιν

τῶν πάντων ἀνάγουσιν καὶ κατὰ τοῦτο μάλιστα πάντων τῶν λοιπῶν ἀνθρώπων διαστέλλονται, οἵπερ τὸν Θεὸν ἐν τῇ φύσει, οἷον ἐμπεπορπημένον νομίζουσι καὶ ἐκ τῆς πρώτης ὑλικῆς ὑποστάσεως, ἀδημιουργήτου καὶ ἀνάρχου οὔσης, κατὰ σμικρὸν εἰς φῶς ἐκπορευόμενον· ἐκ τοιούτου τινὸς λόγου φαμὲν τὴν ἀπορίαν ἐκείνην τῶν σοφῶν προεληλυθέναι ἢ καὶ ἐκ τοῦδε μηδὲν ἧσσον· Δοκοῦσι γάρ μοι πρὸς ἑρμηνείαν τῆς Μωσαϊκῆς παραδόσεως τὰ τῶν φιλοσοφούντων καὶ αὖθις ὕστερον ἀντιφιλοσοφούντων ἤτοι ὀρθοδόξως θεολογούντων Ἰουδαίων (τοῦ Ἄλβου) μηδαμῶς ἀπαξιοῦντες, ἀλλὰ βίᾳ πως καὶ ἀπροσεξίᾳ ταῦτά τε καὶ τὰ ἔτι παλαιότερα τῇ διαυγεςάτῃ τοῦ Μωϋσέως παραδόσει ὡς ὁμοειδῆ συγκαταμιγνύντες. Καὶ γὰρ εἴπερ ὁ Μαϊμονίδης ὁ δεύτερος τῶν Ἰουδαίων Μωϋσῆς μήπω ἐτόλμησε τὴν ὕλην ἀδημιούργητον καὶ ἄναρχον ὑπόςασιν εἰπεῖν, μηδὲ ὁ μαθητὴς αὐτοῦ ὁ Ἰωσὴφ Βεν-Ἰούδα, ὃς καὶ τὰ τῆς Παλαιᾶς Γραφῆς κατὰ τὴν περιπατητικὴν τοῦ Ἀβερρόου ἀγωγὴν ἐπεχείρησεν ἑρμηνεῦσαι, ἀλλὰ πολλοὶ ἄλλοι Ἰουδαῖοι περιπατητικοί, ὑςέρῳ δὲ χρόνῳ μάλιστα ὁ Λευὶ Βεν-Γερσών, πολλῷ μᾶλλον τῆς Μωσαϊκῆς παραδόσεως ἀποστάντες, διαῤῥήδην πρώτην τινὰ ὕλην ἄμορφον, ὡς ἀδημιούργητον, ἐδέξαντο καὶ τὴν ἐκ τοῦ μηδενὸς δημιουργίαν, ὡς ἀδύνατον, διανοίᾳ ἀνθρώπου ἄληπτον, ἀπέθεντο. Οἱ φιλοσοφοῦντες ἄρα Ἰουδαῖοι, οἵ τε πάλαι, αὐτὸς ὁ Φίλων, καὶ οἱ ὕστερον ἀμέσως ἢ ἐμμέσως πως τὰ τῶν Ἑλλήνων καὶ τῶν ἄλλων Ἰνδοευρωπαίων παραλαμβάνοντες, τὴν ὑποςατικὴν τοῦ κόσμου ὕλην κεκαλυμμένως ἢ ἀπροκαλύπτως ἀΐδιον καὶ ἀδημιούργητον ἀπεφήναντο. Ἡ δὲ Παλαιὰ Γραφὴ φανότατα δέχεται τὸ πᾶν καὶ αὐτὴν τὴν



πρώτην ὑπόστασιν, ὡς ἐκ τοῦ μηδενὸς παραχθεῖσαν ὑπὸ τῆς παντοδυνάμου βουλήσεως τοῦ Δημιουργοῦ (πρβλ. Οὐεῖσσ. Δογμ. Τ. Α. § 541, κ.φ.ξ. καὶ Τ. Β. § 561, κ.φ.ξ.), εἰ καὶ ἐκεῖνο τὸ προκόσμιον μηδὲν οὐ πάμπαν ἀειδές, ὅσα γε τἀνθρώπεια λαμβάνει· ἄλλο γάρ πού φαμεν τὸ περὶ ὕλης προκοσμίου δόγμα τῶν ἐθνικῶν καὶ ἄλλο ἡ ἀδυναμία τῆς ἀνθρωπικῆς διανοίας ἐςὶ τοῦ λαμβάνειν τι ὅλως ἀνείδεον, ἧς οὐδ᾽ οἱ πνευματικώτατα φιλοσοφοῦντες χριστιανοὶ ἀπηλλαγμένοι φαίνονται.

Εἶτα δὲ οἱ αὐτοὶ ἄνδρες καὶ τοιόνδε τι ἀποφαίνονται· ὡς ἄρα πάντα τὰ πολυθεϊκὰ συστήματα ἐπὶ τῷ ἀκήρατον διασῶσαι τὴν ἀνέφελον τοῦ Θεοῦ ἠρεμίαν καὶ τὸ ταὐτούσιον ἁπάντῃ ἐπενόησεν ὡς μεταξὺ αὐτοῦ καὶ τοῦ κόσμου λειτουργοὺς μεσολαβοῦντας τοὺς ὑποδεεστέρους Θεούς· παραπλησίως δὲ καὶ ὁ Μωϋσῆς ἄμφω τούτω ἤλπισεν ἀλλήλοις συναρμόσειν, ἕνα τε Θεὸν ἀπείρῳ ἁγιότητι τοῦ κόσμου ὑπέρτερον ὄντα καὶ ἅμα ἀμέσως καὶ αὐτουργῷ χερὶ αὐτόν τε τὸν κόσμον καὶ τὴν πορείαν αὐτοῦ διατάσσοντα. Ἀλλὰ τὸ ἐπιχείρημα μὴ ἐς δέον αὐτῷ προκεχωρηκέναι φασίν. Καὶ γὰρ τὴν οὐσίαν καὶ τὸ ἔργον τοῦ Θεοῦ ἀδιαλύτῳ ἀντιφάσει πρὸς ἄλληλα συνέχεσθαι, καθ᾽ ὅσον ἀμετάβλητον μὲν κατ᾽ οὐσίαν γε τὸν Θεὸν εἶναι, κατὰ δὲ τὸ ἔργον ἐξ ἀνάγκης μεταβλητόν· ἐνεργὸν γὰρ ὄντα, ἐν σχέσει τινὶ εἶναι δεῖν αὐτὸν πρὸς τὰ μεταβλητὰ δημιουργήματα· ἀνθρωπικῇ δὲ διανοίᾳ ἄληπτον ὅλως τοῦτό γέ φασιν, ὅπως ποτὲ ὁ Θεὸς τὴν φύσιν ἀμετάβλητος ὤν, τῶν διηνεκῶς μεταβαλλόντων οὐδὲν ἧσσον ἅπτεται· ἀμφοῖν γὰρ τούτοιν τοῖν ἐναντίοιν μεταξὺ μέσον μηδὲν ἐγχωρεῖν. Τὸν Θεὸν ἄρα

τοῦ Μωϋσέως ἐγγυτάτω εἶναι τῆς ἰδανικῆς Μονοθείας ἤτοι τοῦ πολυθεϊκοῦ Διϊσμοῦ.

Ἀλλὰ πρῶτον μὲν ὡς ἐν παρόδῳ μοι ῥητέον ὅτι, ἥνπερ ἀρχὴν οἱ ἄνδρες οὗτοι τῆς πολυθείας τίθενται, οὐδ' ὁπωστιοῦν ἡμεῖς γε προσιέμεθα. Οὐ γὰρ ἀπὸ προνοίας ὁρῶμεν τοὺς Ἰνδοευροπαίους καὶ τὰ λοιπὰ φῦλα τὰ πολυθεϊκὰ μεταξὺ ἐκείνου τοῦ ἰδανικοῦ Θεοῦ καὶ τοῦ κόσμου ὡς λειτουργοὺς τῶν περὶ τὴν φύσιν ὑποδεεστέρους Θεοὺς ἐπινοῆσαι ἐπὶ τῷ ἀπράγμονα τὴν εὐθαλῆ μακαριότητα διασῶσαι τοῦ ἰδανικοῦ Θεοῦ, ἀλλ' αὐτὴν τὴν διάνοιαν καὶ φαντασίαν τῶν πολυθεϊκῶν ἐθνῶν αὐτομάτως πώς φαμεν εἰς τὴν πολυθείαν αὐτοὺς ἀγαγεῖν· καὶ τούτῳ τῷ τρόπῳ τῆς ἀνθρωπικῆς συναισθήσεως τὴν πρώτην ἔκφανσιν ἐν λήθῃ τε καὶ ἀδρανείᾳ κατὰ σμικρὸν καὶ ἄνευ προνοίας καταστῆναι, πολυειδοῦς ὄχλου θεῶν ταῖς αἰσθήσεσιν ἐναργῶς ληπτῶν μεσολαβήσαντος.

Ἔπειτα δὲ ἥκιστά γε ἀνθρώπων δεξαίμεθ' ἂν ἡμεῖς τὸν παρὰ Μωϋσῇ Θεὸν ἐγγυτάτω ὄντα τῆς Ἰδανικῆς Μονοθείας τῶν πολυθεϊκῶν ἐθνῶν· καὶ γὰρ τῇ ἑαυτοῦ Βουλήσει τῇ ἐλευθέρᾳ ὁρῶμεν αὐτὸν τὸν πάντα κόσμον τῷ τῆς δικαιοσύνης νόμῳ ἀρρήκτως συνέχοντα. Ἀλλ' ἁπλότητι διανοίας παρεσκευασμένον ἥκειν χρὴ πάντα εἰς ἐπίσκεψιν τῆς Μωσαϊκῆς μεγαλειότητος, τὰς δὲ μεταξὺ τοῦ Μωϋσέως καὶ τῶν νῦν δὴ φυσιολογούντων ἰσχυσάσας δόξας ἀποτεθειμένον, οἵπερ ἐναντιότητάς τινας θέμενοι τοῦ Νοῦ πρὸς τὴν λεγομένην ὕλην, διὰ τούτων τῶν ἀλλήλοις ἐναντίων τεθέντων οὐκ οἶδ' ὅπως ἁρμονίαν ἑνοειδῆ ἐπεζήτησαν καί, ὡς εἰκός, ἀεὶ τοῦ ζητουμένου ἠστόχησαν. οὐδὲ γὰρ τὴν ἀρχὴν ἐπῆλθέ ποτε, οἵῳ γε δὴ προφητικῷ τῷ Μωϋσῇ ὄντι, τοιαύτας τινὰς ἐναν-



τιότητας τῇ διανοίᾳ λαβεῖν, ἃς οἱ φιλοσοφοῦντες, τοῦ ἀληθοῦς πάντως ἐκτρεπόμενοι ἔθεντο· ἀλλ' οὐδὲ ἓν καὶ ταὐτόν τό, τε δημιούργημα καὶ τὸν Δημιουργὸν ἀπεφήνατο· οὐ γὰρ κατὰ μαγικὴν μετουσίωσιν τοῦ Θεοῦ τὸν κόσμον γενέσθαι φησίν, οὔτε κατ' ἀπόρροιαν, οὐδὲ διὰ πλεονάζουσαν φιλοσοφημάτων πεῖραν ἄλλοθεν ἄλλοσέ ποι ἐφαλλόμενος τά τε εἴδη ἀλλήλοις συγχέων καὶ καταλύων, Ἓν ἔφατο εἶναι τὸ Σύμπαν Δημιουργόν τε ἅμα καὶ δημιούργημα. Ἀλλ' οὗτοι οἱ παλαιοὶ ἄνδρες ἁπλῇ καὶ ἀπερίσσῳ φρενὶ τὰ εἴδη τὰ παμπληθῆ κατὰ χώραν ἀβλαβῆ ἐῶντες, ἄλλα ἄλλων κρείσσονα δέχονται, καθ' ὅσον περ ἀεὶ ἐγγυτέρω τῆς τοῦ Θεοῦ προνοίας καὶ μεγαλειότητος ὑπάρχει. Καὶ οἱ μὲν δίκαιοι καὶ ὅσιοι τῶν ἀνθρώπων, οἱ ἅγιοι καὶ οἱ προφῆται μόνοι τῆς τοῦ Θεοῦ ὀπτασίας κατὰ τὴν παλαιὰν Γραφὴν ἀξιοῦνται, ὅς περ ἐν χρυσαυγείᾳ σαπφειρίνων οὐρανῶν, πασῶν ἡγούμενος τῶν οὐρανίων στρατιῶν ἐπιφαίνεται, ἑορτώδει καὶ πανηγυρικῷ ὀνόματι Σεβαὼθ ἐπιφημιζόμενος, «δόξα τοῦ Θεοῦ», «Σοφία τοῦ Θεοῦ», ἄπειρος τὴν φύσιν ὤν· τοῖς γε μὴν ἁγίοις τοῖς ἐπὶ γῆς οὐκ αὐτὸ τὸ ὑπὲρ μυρίους ἡλίους αἴγλῃ ἀπαστράπτον πρόσωπον αὐτοῦ τὸ ἅγιον ὁρατὸν γίγνεται, οὗ τὴν ἁγίαν λάμψιν οὐδ' ἂν δέξαιτό τις θνητὸς ὑπάρχων· ἀλλὰ μόναι αἱ παρεμβολαὶ Αὐτοῦ καὶ αἱ ἀγγελικαὶ Δυνάμεις προσιταί πως εἰσι τῷ ἡγνισμένῳ ὄμματι, οἵπερ δι' ἁγνότητα ἐγγυτάτω τοῦ Θεοῦ εἰσιν, ὁρῶντες αὐτὸν καὶ καλῇ μολπῇ ὑμνοῦντες. Κατὰ βαθμοὺς ἄρα τὰ ὄντα ἁγιότητι καὶ δικαιοσύνῃ ἀπὸ τοῦ ἀφάτου θρόνου τῆς τοῦ Παντεπόπτου μεγαλειότητος ἱερῷ δεσμῷ, τῇ βουλήσει καὶ ἀγάπῃ τοῦ Θεοῦ ἀλλήλων ἔχεται ἀπὸ τῶν ἱερωτάτων μέχρι τῶν ἀλογωτάτων·

μηδὲ περαίνεσθαι τὴν ἁγιωτάτην τοῦ Θεοῦ πρόνοιαν εἰς τὰ αἰσθητὰ ἤκουσαν ὑπώπτευον οἱ Ἑβραῖοι, μηδ' ὥςπερ ἡλιακὴν ἀκτῖνα θλᾶσθαί πως δι' ἀντιτυπίαν καὶ πυκνότητα τῆς ὕλης, ὡς οἱ φιλοσοφοῦντες δοξάζουσι. Τοιούτων γὰρ γελοίων ἐναντιοτήτων ὁ Μωϋσῆς καὶ οἱ Ἑβραῖοι παντάπασιν ἀδαεῖς ὄντες τὴν τοῦ Θεοῦ Πρόνοιαν διὰ πάντων ὁρατῶν τε καὶ ἀοράτων ἀκωλύτως διήκουσαν ἐπρέσβευον. Εἰ δέ τις τὴν συναίσθησιν καὶ τὴν ἀμηγέπη ἐπίγνωσιν ταύτης τῆς Προνοίας διὰ τοῦ Υἱοῦ καὶ Λόγου γίγνεσθαί φησιν, ἄνευ δὲ τούτου ᾠκῆσθαι ἂν τὸν Πατέρα ἐν φωτὶ ἀπλέτῳ, πάσῃ φύσει δεδημιουργημένῃ ἐπὶ χρόνον τὸν ἀίδιον ἀπροσίτῳ, ἀνάγκη πᾶσα τὸν Υἱὸν ὡς καθόλου σύμβολον παραλαμβάνειν τοῦ ἀρχῆθεν ἀνθρωπείου κατὰ σμικρὸν τὸν πάντα αἰῶνα, παρὰ τῷ μὲν μᾶλλον, παρὰ τῷ δὲ ἧσσον, τελειούμενον κατὰ τὸ παράδειγμα τοῦ Ἰησοῦ Χριστοῦ.

Ἔτι δὲ πρὸς τούτοις καὶ περὶ τῆς τῶν ὀνομάτων δυνάμεως, δι' ὧν οἱ Ἑβραῖοι τὸν Θεὸν ὠνόμαζον, τοὐναντίον ῥητέον πρὸς τὴν δόξαν τῶν περὶ ὧν ὁ λόγος σοφῶν. Οὗτοι γάρ φασιν ὅτι οἱ Ἑβραῖοι οὐδεμίαν ἰδιότητα ἐτόλμων τοῦ Θεοῦ κατηγορῆσαι, εὐλαβούμενοι τὸ μὴ καταμερίσαι οὕτως τὴν Ἑνότητα αὐτοῦ. Ὥστε τὰς ἰδιότητας Θεοῦ τοῦ Ἀπείρου, δι' αὐτό γε τοῦτο τὸ ἄπειρον αὐτὸν εἶναι, ἀρνητικῶς ἢ ἀνθρωπίνῃ διανοίᾳ ἀλήπτως κατηγορουμένας (ἀρνητικῶς μέν, οἷον ὁ Θεός ἐστιν ἄναρχος καὶ τὰ παραπλήσια, ἀλήπτως δέ, οἷον ὁ Θεός ἐστιν ἀπείρως ἀγαθός) μόνων δὲ τῶν ἔργων αὐτοῦ καταφατικῶς, μηδὲν ἄλλο αὐτὰς εἶναι τοὺς Ἑβραίους δοξάζειν φασὶν ἢ ὀνόματα ψιλὰ οἰασοῦν οὐσίας κατ' ὑπόστασιν πάμπαν ἄμοιρα καὶ τελευτῶν-



τάς φασιν αὐτοὺς περὶ Θεοῦ εἰπεῖν «ὡς οὐδὲν ἄλλο οἷοί τέ ἐσμεν οἱ ἄνθρωποι περὶ τοῦ Θεοῦ ἐπιγνόντες λέγειν, πλὴν ὅτι οὐδὲν τὸ παράπαν περὶ αὐτοῦ γιγνώσκομεν». Καὶ ταῦτα λέγοντες δοκοῦσιν οἱ ἄνδρες τῆς Μωσαϊκῆς παραδόσεως μήτε μέγα μήτε σμικρὸν ἀφίστασθαι, εἰ καὶ παραπλήσια καταφαίνεται αὐτὰ ὄντα, οἷς περ ὁ Μαϊμονίδης καὶ τῶν Ἀράβων οἱ περιπατητικοὶ εἰρήκασιν, οἵτινες «μηδ' αὐτὴν τὴν ὕπαρξιν, Ἑνότητα καὶ ἀϊδιότητα τῷ Θεῷ ἀποδιδόναι ἐτόλμων, δύο τινὰ εὐλαβούμενοι, μὴ ταῦτα τὰ προςόντα, ὡς χωρὶς τῆς τοῦ Θεοῦ ὑποστάσεως τὸ εἶναι ἔχοντα ἐκληφθῇ ἢ μὴ δόξωσιν αὐτοὶ παραπλήσιόν τι δέχεσθαι ταῖς τρισὶν ὑποστάσεσι τῆς ἁγίας Τριάδος ὄν, ὥςτε καὶ οὗτοι τελευτῶντες ἔφασκον, ὡς ἔχοιμεν ἂν περὶ Θεοῦ εἰπεῖν πᾶν ὅ,τι οὐκ ἐςίν, ἀλλ' οὐκ ἂν ἔχοιμεν περὶ αὐτοῦ εἰπεῖν ὅ,τί ποτ' ἐστίν». — Ἀλλὰ ταῦτα καὶ ἄλλα τοιαῦτα τῆς γνησίας τῶν Ἑβραίων παραδόσεως καὶ αὐτῆς τῆς πρώτης τῶν Σημιτῶν φύσεως παντάπασιν ἀλλότρια ὑπάρχειν φαμὲν θαρρούντως, ὀθνεῖα ὄντα, ὡς καὶ πολλὰ ἄλλα ἄλλοθεν παρειλημμένα, ἐκ τῆς ἐν Ἀλεξανδρείᾳ Ἰουδαϊκῆς φιλοσοφίας, τῆς τοῦ Φίλωνος, ὡς προδρόμου τῶν τε Γνωστικῶν καὶ τῆς νέας Πλατωνικῆς αἱρέσεως, κατ' ἐξοχὴν δὲ ἐκ τῆς τοῦ Πλωτίνου πραγματείας δι' αἰώνων πολλῶν ἀμέσως ἢ ἐμμέσως παρειλημμένα. Αὐτοὶ δὲ οἱ Ἑβραῖοι περὶ τῶν ὀνομάτων πᾶν τοὐναντίον φαίνονται δοξάζοντες· ἓν γὰρ ἕκαστον αὐτῶν, οἷς αἱ ἅγιαι τοῦ Θεοῦ ὑποστάσεις ἐδηλοῦντο οὐ χωρὶς αὐτοῦ τοῦ Θεοῦ εἶναι ἐπρέσβευον, ἀλλὰ καὶ οὕτω τῆς ἱερᾶς αὐτοῦ οὐσίας ἧφθαι, ὥςτε οὐχ ὅσιον ἐποιοῦντο τὸ ὄνομα ἐκφωνεῖν, ὡς ταὐτὸν ὂν αὐτῷ τῷ Θεῷ. (ὅρα Οὐεΐσσ. δογματ. Τ.

Α. σ. 376—413·) Διὸ ἡ νηφαλιωτάτη τῶν Ἑβραίων Γραφὴ πάσης χαύνης καὶ ἀλήπτου τερθρείας ἀπηλλαγμένη, τῆς Ἰουδαϊκῆς φιλοσοφίας ὅλῳ καὶ παντὶ τῇ ἀληθείᾳ δοκεῖ μοι διαφέρειν.

Ἥκιστα δέ μοι καὶ τόδε ἀσπάσιόν ἐστι τούτων τῶν ἀνδρῶν, οἳ δὴ τὸν παρὰ τῇ Παλαιᾷ Γραφῇ Θεὸν ὡς κατ' ἐξοχὴν δίκαιον τοῦ σύμπαντος κόσμου κυρίαρχον ὑπεναντίως τρόπον τινὰ ἔχειν ἀποφαίνονται πρὸς τὸν ἐν τῇ καινῇ Διαθήκῃ ἀγάπης μεστὸν καὶ εὐσπλαγχνίας ὑμνούμενον (εἰ καὶ ἐν μέρει ἐπικουροῦσιν αὐτῶν τῷ λόγῳ ἄνδρες, ὡς εἴρηται, μακρῷ σοφώτεροι, τὸν παρὰ τῇ παλαιᾷ Γραφῇ Ἰεχωβᾶν, ὡς ἐγγυτάτω τῆς κατ' ἀνθυπόστασιν φύσεως ὡς πρὸς τὸν κατ' ἐνδιάθεσιν Υἱὸν λαμβάνοντες, ὅπερ ἡμεῖς γε οὐ πάνυ τι προσιέμεθα, τὸ ἀρχῆθεν Σημιτικὸν τιμῶντες) καὶ Μαρκίωνα τὸν Γνωστικὸν πρὸς τοῦτο ἐπιμαρτύρονται καὶ αἵρεσίν τινα Λουθηρικὴν τῆς ἑκκαιδεκάτης ἑκατονταετηρίδος. Ὥστε οὗτοι οἱ σοφοὶ τὸν τοῦ Μωϋσέως Θεὸν ἐγγυτάτω μὲν τῆς ἰδανικῆς τῶν ἐθνικῶν μονοθεΐας ὄντα, ἀλλότριον δέ πως τοῦ τῆς καινῆς Διαθήκης ἀποδεῖξαι προθυμοῦνται. Οὐ δοκοῦμεν, ἀλλὰ καὶ πάνυ πεπείσμεθα τῷ ἐν τῇ καινῇ Διαθήκῃ ὑμνουμένῳ Πατρὶ βάσιν ὑποκεῖσθαι τὸν παρὰ τῷ Μωϋσῇ καὶ τῇ παλαιᾷ Γραφῇ Θεὸν τῶν πατριαρχῶν Ἀγάπῃ τῇ τοῦ Χριστοῦ συμπεπληρωμένον. Ὥστε ἱστορικῷ πάθει μηδαμῶς ὑποκύψαι φαμὲν παρὰ τοῖς χριστιανοῖς τὸν παρὰ τῷ Μωϋσῇ Θεόν, ἀλλ' ἱστορικοῦ πάθους αὐτὸν ὑπεριδρυμένον ἡγούμεθα, καθ' ὅσον μηδὲ τὴν Ἀγάπην ἐναντίως πως πρὸς τὴν δικαιοσύνην ἔχουσαν νοοῦμεν, ὥσπερ οὗτοι οἱ σοφοί, ἀλλ' ὁλοσχερῆ αὐτὴν ἐν Ἑαυτῇ περιλαμβάνουσαν, πα-



ραπλησίως τῷ χριστιανικῷ Ποιητῇ, φοβερώτατα ταῦτα ᾄδοντι. (α)

Τὰ δὲ περὶ τοῦ σεπτοῦ δόγματος τῆς Ἁγίας Τριάδος ἐν τούτῳ τῷ τόπῳ σιγῇ ὑμνοῦντες, ἐπὶ δὲ τὸν πρόσθεν λόγον αὖθις ἐπανιόντες, τοιόνδε πού φαμεν, πάντα μὲν τὰ τῆς ἱερᾶς Μονοθεΐας ἄριστα καὶ κάλλιστα ἐν Θρησκείᾳ ἔχειν καὶ τὰ ἀπὸ τῆς πρώτης Μωσαϊκῆς ἀρχῆς, αὐτῆς δὲ τῆς φιλοσοφίας ὅλῳ καὶ παντὶ ὑπέρτερα καί, ὡς εἰλικρινεῖ λόγῳ εἰπεῖν, ἀλλότρια αὐτῆς ὑπάρχειν. Ὃ γὰρ ἡ ἱερὰ ἡμῶν Θρησκεία διδάσκει ὅτι ἀρχῆθεν ἐκ τοῦ μηδενὸς ὁ Θεός, χωρὶς ὢν πάσης ὕλης, τὸν κόσμον πάντα ἐδημιούργησε, τοῦτο τῇ φιλοσοφίᾳ τὸν ὅλον αἰῶνα ὅλως ἀσυμβίβαστον ἔσται καὶ ἀνθρωπικῇ διανοίᾳ πάμπαν ἄληπτον. Μήτε γάρ τι ἐκ τοῦ μηδενὸς εἰς τὸ Εἶναι μεταβαίνειν ὁ νοῦς ὁ φιλοσοφῶν οἷός τέ ποτ' ἐστὶ νοεῖν, μήτε τι αὖ ἐκ τοῦ Εἶναι εἰς τὸ μη-

(α) Συγκεφαλαιώσαιτο δ' ἄν τις τὰ ἄνω ῥηθέντα ὡς ἐφεξῆς· πρῶτον μὲν ὅτι κατὰ τὴν παλαιὰν Γραφὴν ὁ Θεὸς ἀγαθῇ βουλήσει τὸν κόσμον πάντα καὶ τὴν πρώτην ὑπόστασιν αὐτοῦ ἐκ τοῦ μηδενὸς ἐδημιούργησεν· εἶτα δὲ ὁ Θεὸς ἥκιστά γε ἐν μακαριότητι ἀργῶν φαίνεται παραπλησίως τῇ ἰδανικῇ μονοθεΐᾳ, ἀλλὰ τῇ ἑαυτοῦ Προνοίᾳ τὸν κόσμον πάντα ἀῤῥήτως συνέχων τε καὶ διακοσμῶν· τρίτον δ' ὅτι οἷς περ ὀνόμασι τὸν Θεὸν οἱ Ἑβραῖοι ἐδήλουν, ἀπρὶξ αὐτὰ ἔχεσθαι ἐδόξαζον τῆσδε ἢ τῆσδε τῆς φύσεως αὐτοῦ· τέταρτον ὅτι οὗτος ὁ παρὰ τῇ Ἑβραϊκῇ παραδόσει Θεὸς τῶν πατριαρχῶν, οἷον βάσις ὑπόκειται ἄσειστος τῷ Πατρί, ὅνπερ τὸ ἅγιον στόμα ἐν τῇ καινῇ Διαθήκῃ διατελεῖ ὑμνοῦν. Ἴσως οὖν οὗτοι οἱ τέσσαρες λόγοι, φύσει ἀλλήλων ἐχόμενοι, οὐ πάμπαν ἀλυσιτελῶς λεχθέντες φανοῦνται τοῖς εἰδόσι τὰ τοιαῦτα.

δὲν ἄρδην ἀπόλλυσθαι. Τεθέντων δὲ τῶν ἐναντίων τούτοις, πᾶσα φιλοσοφία ἀρχῆθεν αἴρεται. — Φέρε τοίνυν, τί ποθ' ἡμᾶς ἔχοι ἂν ἡ φιλοσοφία ἡ Θεϊστική, τῆς θρησκευτικῆς ἤτοι ὑψηλῆς συναισθήσεως κεχωρισμένη, διδάξαι περί τε τοῦ Δημιουργοῦ καὶ τοῦ δημιουργήματος ἤτοι τοῦ κόσμου, ὅπως πρὸς ἄλληλα ἔχει; Ἐὰν γὰρ καὶ κατὰ τὸν νόμον τοῦ χρήζοντος καὶ πληροῦντος τὸν Δημιουργὸν τὸ Σύμπαν τόδε δημιουργῆσαι εἴπωμεν, λέξεις κενὰς καὶ τῇ διανοίᾳ ὅλως ἀλήπτους ἐροῦμεν.

Πρῶτον μὲν οὖν οἱ Θεϊσταὶ Νοῦν τὸν κατ' ἐξοχὴν τίθενται τὸν Θεόν, Βούλησιν αὐτοτελῆ, Ὂν ἁπλοῦν καὶ Ἐλεύθερον· τὴν δὲ ὕλην ἐναντίαν τῆς ἁγίας τοῦ Θεοῦ φύσεως λέγουσι, τὸ Δεόμενον, τὸ Σύνθετον καὶ τῇ βουλήσει τοῦ Θεοῦ ὑπεῖκον. Τὴν ὕλην δηλονότι ἀναγκαιοτάτην τιθέασιν· ἄνευ γὰρ τῆς ὕλης ἀνθρωπίνως γε καὶ δὴ καὶ φιλοσοφικῶς Ἐνέργειαν ἤτοι Νοῦν νοῆσαι, ἀμήχανον. (ὅρα περὶ ἑνὸς ἑκάστου τούτων τὸν πρὸς τὴν Ἑλλ. νεολ. λόγ.). Ἀλλ' εἴπερ τὸ Θεῖον Ἐλεύθερον· συνάναρχος ἄρα αὐτῷ καὶ ἡ ὕλη. Ἐπεί, εἰ μή γε ἐξ ἀρχῆς ἦν ἡ ὕλη, οὐκέτι τὸ Θεῖον Ἐλεύθερον, ἀλλ' ἐξ ἀνάγκης δι' ἔλλειψιν ἠρεμοῦν. Εὐθὺς ἐξ ἀρχῆς τὸ Ὂν ἐδικάσθη. Ὂν δὲ Ἁπλοῦν ὁ Θεὸς τίνι ποτὲ συνόδῳ μετὰ τῆς ὕλης ἤτοι τοῦ συνθέτου τὸν κόσμον ἐδημιούργησεν; (α) Ὅταν γὰρ τὸν Θεὸν βούλησιν Παντοδύναμον,

Αὐτοτελῆ, Παντέλειον λέγω, ὀφείλω κατὰ πᾶσαν ἀνάγκην νοεῖν ὅτι ἅμα ὁ Θεός, ὁ Νοῦς ὁ ἔλλογος βουληθεὶς ἐβουλεύσατο, ἅμα τὸ βούλευμα ἐτελέσθη· ἅμα βούλημα, ἅμα βούλευμα, ἅμ' ἔργον. Οὐχὶ κινήσει τινὶ ἡ ἐπαφῇ δυνάμεως ἐπ' ἄλλην δύναμιν· Βούλησις γὰρ Παντοδύναμος καὶ Παντέλειος καὶ Αὐτάρκης ὁ Θεὸς ὤν, οὐδ' ὁπωστιοῦν κατὰ μετάβασιν δυνάμεως ἐπ' ἄλλην δύναμιν ἢ δυνάμει ὂν ἢ ἐνεργείᾳ ἐνεργεῖ. ἄπειρος γὰρ ὁ Θεός

---

(α) Εἰ μὲν οὖν κατά γε τὴν ἐν ἡμῖν αὐτοῖς Ἐλευθερίαν, ὡς τοῦ δημιουργήματος, τὴν τοῦ Δημιουργοῦ νοοῦμεν, καὶ καθ' ὅν περ τρόπον ὁ ἐν ἡμῖν νοῦς τῆς ὕλης ἅπτεται ἢ ἀντιλαμβάνεται, κατὰ τὸν αὐτὸν καὶ τὸν Θεὸν, τὸν κατ' ἐξοχὴν Νοῦν τῆς ὕλης ἧφθαι νοεῖν ἔχομεν· τούτων δ' αὖ τὸ μὲν πρῶτον ἡμεῖς γε οἱ θνητοὶ κατ' ἀναλογίαν ἁμωσγέπως νοοῦμεν, πρὸς τῇ ἡμετέρᾳ βουλήσει τῇ ἐλευθέρᾳ τὸ τέλειον καὶ παντοδύναμον προστιθέντες, τὸ δεύτερον μέντοι οὐδ' ὁπωστιοῦν νοοῦμεν, καθ' ὅσον περ ἀδύνατόν ποτ' ἔσται νοῆσαι, ὅτῳ ποτὲ τρόπῳ ὁ νοῦς τοῦ ὁρατοῦ ἢ αἰσθητοῦ ἅπτεται, ὥσπερ καὶ ὁ ἡμέτερος Εὐγένιος ὁ Βούλγαρις περὶ τούτου ἐν τῇ Λογικῇ (σ. 146 κ.φ.ξ.) φησὶν ὅτι «οὐδενὸς ἔλαττον τῶν ἀποῤῥήτων ὄν, τοὺς φιλοσοφοῦντας ἀεί ποτ' ἔλαθε καὶ λήσεταί γε, οἶμαι, ὄφρα χθονὸς καρπὸν ἔδονται.» — Ἀμέλει τοι καὶ αὐτὸς ὁ Εὐγένιος ἀσαφῆ τινα καὶ μυστηριώδη εἰπὼν ἀπήλλαξεν· ὧδε γὰρ λέγει· « Ἄμεινόν μοι δοκεῖ μεταβολήν ἁπλῶς τινα ἐπὶ τῆς ψυχῆς λέγειν συμβαίνουσαν, καθ' ἣν ἀλλοίως μὲν ἂν ἔχοι τοδί, φέρε, τὸ βιβλίον νοοῦσαν, ἀλλοίως δὲ τόνδε τὸν ἄνθρωπον. Ἡ δὲ μεταβολὴ καὶ τὸ μεταβάλλον ἅμα ἔσται, ὡς εἰς ταὐτὸ οὕτως ἥκειν τὸ νοοῦντε καὶ τὸ νοούμενον. Μεταβολὴν δὲ νοητέον οὐ τὴν κατὰ μέγεθος, οὐδὲ γὰρ ἐκτέταται· οὐ τὴν κατὰ σχῆμα, οὐδὲ γὰρ μεμόρφωται· οὐ τὴν κατὰ κίνησιν, οὐδ' ἄλλην τινὰ σωματικὴν ἀλλοίωσιν, οὐδὲ γὰρ ἂν πάθοι τι τοιοῦτον ἡ ψυχή, οὖσα ἀσώματος. Ἀλλὰ μεταβολὴν ὅλῳ τῷ γένει ἑτέραν καὶ τῇ φύσει τῇ ἀΰλῳ πρέπουσαν.» — πρβλ. καὶ σ. 101 μετὰ τοῦ ἀξιολόγου σχολίου, ὅπερ ἄριστα τὴν πολυμάθειαν καὶ ὀξύνοιαν τοῦ ἀνδρὸς ἐμφαίνει.

ἐστι τοῦ πρότερον καὶ ὕστερον, ὁ Θεός ἐστιν ἄπειρος τοῦ δι' ἑτέρου τινὸς δρᾶν· ἄλλως γὰρ ἂν τὸ Παντοδύναμος καὶ Παντέλειος καὶ Αὐτάρκης ᾤχετο, εἴπερ ἑτέρου τινὸς ἔχρῃζε πρὸς δημιουργίαν. Ἐβουλήθη τι οὖν ὁ Θεός; ἄριστον ἐβουλήθη καὶ ἀναγκαῖον· τὸ δ' ἀναγκαῖον ἀΐδιον καὶ ἄναρχον· ἐβουλήθη ὁ Θεός; τὸ βούλημα ἐγένετο· πανσθενὴς γὰρ καὶ Παντέλειος. Ἡ ἀρχὴ ἄρα τοῦ κόσμου οὐκ ἐν χρόνῳ ἐστίν, ἀλλ' ἀνθρωπίνῳ γε λογισμῷ· Ὁ γὰρ κόσμος καθόλου νοούμενος οὐ κατὰ τήνδε ἢ τήνδε τὴν φάσιν ὡς ἀναπτυσσόμενος, ἄναρχός ἐστι καὶ ἀΐδιος· τέλειον γὰρ δημιούργημα Θεοῦ τοῦ Τελείου, βέλτιστον τοῦ Βελτίστου καὶ τὸν πάντα αἰῶνα ἀναγκαῖον· ἀΐδιον ἄρα, ὥσπερ καὶ τοῦ ἀνθρωπίνου νοῦ ὁ ὀρθὸς λογισμὸς ἀΐδιος, ἐν ὅσῳ περ ὁ νοῦς αὐτό γε τοῦτο νοῦς ἀναλλοίωτος ᾖ. Ἀλλὰ θεμένων ἡμῶν τὴν ὕλην, τοῦτο τὸ ἀκαταμάχητον ἐν τῇ τοιαύτῃ φιλοσοφίᾳ, ἓν ἕκαστον τούτων τῶν προσόντων ὑπεχωρεῖ· ὡσαύτως καὶ τὸ Ἄπειρον· Ὅταν γὰρ ἄπειρον λέγω, Ἓν πανταχῇ ἐξ ἀνάγκης νοῶ· ἐὰν δὲ καὶ ἕτερον καὶ ἐναντίον τούτου νοήσω, ἑκατέρῳ πέρας προςῆψα· ἐδίχασα ἄρα τὸ Ὄν· Εἴπερ γὰρ ἡ ὕλη ἐναντία τῆς ἁγίας τοῦ Θεοῦ φύσεώς ἐστιν, ἀνθρωπίνῳ γε λογισμῷ πέρας ἔχον τὸ Θεῖον ἐνόησα· Ἄλλως οὐκ ἐγχωρεῖ.

Ὁρᾷς οὖν, φαίη τις ἄν, ὅτι σύ γε κατ' ἀναλογίαν τῶν ὁρατῶν καὶ ἐκτὸς ἡμῶν ὑπαρχόντων πάντα κρίνεις; Ἐπεὶ δὴ ἐν τῇ φυσικῇ τὸ τῶν σωμάτων ἀ δ ι ε ξ ί τ η τ ο ν ὡς νόμος καθέστηκε, κατ' ἀναλογίαν τῶν φυσικῶν καὶ τὰ ἐν τῷ νῷ πάντα κρίνεις. Ἀλλὰ πολλὰ ἐν τῇ φύσει ἀσυμβίβαστ' ἀλλήλοις ὄντα, ὁ νοῦς εἰς ταὐτὸν ἀναγκάζων συμβιβάζει. Πολλὰ γὰρ ἐν τῇ φύσει ἀνύπαρκτα ὄντα, ἐν τῷ νῷ ὑπαρκτά ἐστι καὶ δὴ καὶ ὄντως ὑπάρχει· ἀνάρσιον γὰρ ἂν ἦν, εἴ περ τὰ ἐν τῇ φύσει ὑπαρκτὰ ὄντως ὑπῆρχε, τὰ δ' ἐν τῷ νῷ νοητὰ μὴ ἀληθῶς ὑπῆρχεν· ἀλλὰ σὺ καὶ τὰ ἐν τῷ νῷ νοητὰ κατ' ἀναλογίαν τῶν ἐν τῇ φύσει νοεῖς καὶ κατὰ τοῦτο χωλαίνεις. — Ἀλλ' ἢ ἔχοις ἂν καὶ σὺ, ἐροίμην ἂν αὐτὸν, τὰ νοητὰ ἄλλως νοεῖν ἢ κατ' ἀναλογίαν τῶν ὁρατῶν; ἄλλοις που νόμοις ὑπείκει τὸ ὁρατὸν καὶ ἄλλοις τὸ νοητὸν, κόσμος ἐν κόσμῳ ὤν; Γλαύκου τέχνημα τὸ τοῦ Δημιουργοῦ δημιούργημα λέγεις. Φέρε γάρ· φύσις ὕδατος, φύσις πυρὸς, ἄμφω ἀλλήλαιν ἀσυμβιβάστω· ἑκάτερον γὰρ ἑκατέρῳ φύσει ὑπεκχωρεῖ. ἢ ἔχοις ἂν τῇ διανοίᾳ ἄμφω τούτω εἰς ταὐτὸν ἅμα συνάψαι; — Ἀλλὰ γὰρ, φαίης ἂν, καὶ πάνυ εὐχερῶς ἔχοι τις ἂν τῇ διανοίᾳ Γίγαντας, φέρ' εἰπεῖν, λαμπαδοφόρους ποιῆσαι ἔνδον τῶν Ὠκεανῶν βαδίζοντας καὶ τοὺς βυσσοὺς θεσπεσίως καταυγάζοντας· ὥστε τὰ κυανᾶ τῶν θαλασσῶν νάματα σαπφειροειδῆ ἢ σμαραγδοειδῆ διαφαίνεσθαι, τὰ δ' ἀφρίζοντα κύματα, ὥςπερ ἀδάμαντες προχεόμενοι καὶ αἰγλήεντες, καὶ τὴν ἄπλετον ταύτην τῶν παντοίων χρωμάτων αἴγλην ἐς χρυσόγλαυκον οὐρανὸν ἀναλάμπειν. Καὶ τοῦτό γε δὴ τὸ ἐν τῇ φύσει θαῦμα ὂν, ἐν τῇ διανοίᾳ ὑπάρχον, ὄντως ὑπάρχει. ὥστε τὸ ἐν τῇ φύσει ἀνύπαρκτον, οὐχ ὅλως ἀνύπαρκτόν ἐστιν, ἀλλ' ἐν τῇ διανοίᾳ καὶ μάλα ὑπαρκτὸν καὶ οὐδὲ κατὰ τὸν αὐτόν που λόγον, καθ' ὅν περ τὸ ὁρατὸν ὑπάρχει, ὡς σὺ λέγεις. — Ἀλλ' ὅρα, φαίην ἂν, πολλῷ μᾶλλον μὴ ἕν τι τούτων τῇ σῇ διανοίᾳ λαθὼν ἐποίησας· ἤτοι τὴν φύσιν τοῦ ὕδατος ἀλλοιώσας, συμβιβαστὴν τῇ τοῦ πυρὸς ἐποίησας ἢ τἀνάπαλιν τὴν τοῦ πυρὸς ἢ καὶ ἀμφότερα πρὸς συμβιβασμὸν ἀλλοιώσας· πλάνη γὰρ φιλοσοφικὴ τὸ οἴεσθαι τὰ νοητὰ κατ' ἄλλην τινὰ ἀναλογίαν ἢ τὰ ὁρατὰ νοεῖσθαι· Τὸ γὰρ ἐν τῇ φύσει ἀδύνατον, ἀδύνατον ὡσαύτως καὶ ἐν τῷ νῷ, πλάνη μόνον δυνατὸν ὂν καὶ ὕπαρξιν ψευδῆ ἔχον. Μᾶλλον δὲ πᾶν ὅ,τι ὁ ἄλλως ὑγιὴς νοῦς νοῇ ἢ φαντάζηται, ἀληθές ἐστιν, ἀλλ' ἔστιν ὅτε ἡμαρτημένως τε καὶ ψευδῶς τῷ λόγῳ

ἑρμηνεύεται. Ἐὰν γὰρ ὑγιὴς ἄλλως ὤν, τὸ ὕδωρ φλεγόμενόν τε καὶ λάμπον εἴπω (τοιαῦτα γάρ τινα οὐχ ἅπαξ, οὐδὲ δὶς ἐῤῥέθη καὶ λέγεται, ἀλλὰ καὶ πολλάκις ῥηθήσεται), ἀληθέστατόν τι πάντως ἐν τῇ διανοίᾳ ἔχω· ἀλλὰ ψευδῶς τῷ λόγῳ ἡρμήνευσα· οὐ γὰρ ὕδωρ ἐστίν, ὅ γε τῇ ἐμῇ διανοίᾳ ὡς καιόμενόν τε καὶ φαῖνον εἴληφα, ἀλλ' ἕτερόν τι ἀναλογίαν τινὰ πρὸς τὸ ὕδωρ ἔχον καὶ τὴν τοῦ πυρὸς φύσιν δεχόμενον, ὅπερ ψευδῶς ὕδωρ ἀπεκάλεσα. Καὶ τὸ ἀόρατον, ὡς λέγω, κατ' ἀναλογίαν τοῦ ὁρατοῦ πέφυκα νοεῖν πάντως. Ἐθέμην δύο, ἐδίχασα τὸ Ὄν· διχάσας δὲ, ἑκατέρῳ πέρας προςῆψα· ἄλλως γὰρ οὐκ ἐγχωρεῖ.

Εἶπέ τις τῶν ἐπιφανεστάτων φιλοσόφων ὅτι τὸ μὲν ὁρατὸν, ἡ φύσις ἀεὶ τοῖς αὐτοῖς νόμοις ὑπόκειται, ταὐτὸν ἀεὶ ἑαυτῷ παραμένον καὶ οὐχὶ τὸν πάντα χρόνον ἑαυτὸ τελειοῦν· ὁ δὲ Νοῦς τοὐναντίον ἀεὶ ἑαυτὸν τελειοῖ, καθ' ὅσον αὐτὸς ἑαυτὸν ἀνευρίσκει. Ἀλλ' ἴσως ἄν τις εὐλόγως εἴποι ὅτι καὶ ὁ Νοῦς ἀεὶ ἀμετάβλητός ἐςιν, ὥςπερ ἡ φύσις, κατὰ τοὺς αὐτοὺς ἀεὶ νόμους ἐνεργῶν, καθ' ὅσον περ νοῦς ἐστί τε καὶ ἦν, ἀμφοτέρων μέντοι τῆς τε φύσεως καὶ τοῦ νοῦ κατά γε τὴν ἀνθρωπικὴν πεῖραν ὡς ἀεὶ τελειουμένων ἀντιλαμβανόμεθα· καὶ τοῦτο εὖ ἴσμεν ὅτι συγχωρήσει ἡμῖν, ὅ,τε Φυσιοδίφης καὶ αὐτὸς ὁ φιλόσοφος. (α) Πᾶν ἄρα τὸ Ὂν ἀεὶ τελειούμενον ἀνθρωπικῶς νοοῦμεν· ἀλλὰ τὸ ἐς ἀεὶ τελειούμενον, ὅπερ ἡμῖν γῆθος καὶ ἀγαλλίασίν τινα καὶ δραστοσύνην ἐμποιεῖ, οὐχ ἧσσον ἀτέλειαν ἐν ἑαυτῷ τοῦ Ὄντος ἐγκρύπτει· ὡς ἀτελοῦς ἄρα τοῦ ὄντος, οὕτω σμικρὰν πρὸς τὸ ἄπειρον πεῖραν ἔχοντες οἱ ἄνθρωποι, ἀντιλαμβανόμεθα. Πῶς ἂν ἄρα τολμήσαιμεν ἡμεῖς γε οἱ θνητοὶ τὸν Θεὸν ἐκ τοῦ ἀτελοῦς ἡμῖν δοκοῦντος εἶναι δημιουργήματος νοῆσαι; οἷον γὰρ τὸ δημιούργημα, τοιοῦτος καὶ ὁ Δημιουργήσας (ὡς αὐτοί γε οἱ φιλοσοφοῦντές φασιν) ἀτελὲς, ἀτελής. οἴχεται ἄρα καὶ οὕτω προςόν τι ὅπερ τῷ θείῳ ἀποδιδομεν, τὸ τέλειον εἶναι· ὡςαύτως δ' ἂν ἔχοι καὶ περὶ ἑκάστου τῶν λοιπῶν ὀνομάτων, οἷς τὸ θεῖον δηλοῦται.

Ἀλλ' ἦν ἐξ ἀρχῆς μέχρι τοῦ νυνὶ παρόντος χρόνου ἔθος τι τοῖς φιλοσοφοῦσιν ἐξ αὐτῆς γε ἴσως τῆς ἀγαθῆς τοῦ ἀνθρώπου φύσεως προερχόμενον, μειλίχιον μὲν καὶ ἐράσμιον ἦθος ἐμφαῖνον, ἀλλὰ καὶ δειλίας τινὸς οὐ πάμπαν ἄμοιρον ὄν, καθ' ὅ γε τὸ ἀποδειχθησόμενον, ὡς δεδομένον παραλαμβάνουσι. Πλεῖστα δ' ὅσα ἔχοι τις ἂν τούτου παραδείγματα ἐς μέσον προτεῖναι. τὸ δέ γε νῦν ἔχον, τοσόνδε μόνον λέγομεν ὅτι οἱ θεϊσταὶ τὰ περὶ αὐτὴν τὴν γένεσιν τοῦ κόσμου ὡς ἐπὶ τὸ πλεῖστον οἷον σκόπελον δεινὸν ἀποφεύγοντες, ἐκ τοῦ δημιουργήματος ὡς δε δ ο μ έ ν ο υ τὸν Θεὸν ἀναβάλλονται ἐξυμνῆσαι. Ἐκ τοῦ δημιουργήματος ὡς ἤ δ η δ ε δ η μ ι ο υ ρ γ η μ έ ν ο υ τὸν Θεὸν ἀναζητοῦντες, ὀνομάζουσιν αὐτὸν πάντα τὰ σεμνὰ

(α) Οὐ γὰρ πάνυ τὰ τῷ σοφῷ Μαξιμιλιανῷ Μυλλερίῳ (ἀγορεύσεων περὶ τῆς ἐπιστήμης τῆς γλώσσης σ. 29 κ.φ.ξ.) καὶ ἄλλοις τισὶν εἰρημένα ἡμεῖς γε προςιέμεθα, ἀλλὰ τὸν Δαρβίνιον μᾶλλον ἐν τούτῳ θαυμάζομεν καὶ Ἀλέξανδρον τὸν Οὐμβόλδον· ἀλλ' οὐδὲ πάνθ' ὅσα περὶ σκοπιμότητος τῶν περὶ τὴν φύσιν ὁ Μυλλέριος λέγει καὶ τὸν Οὐμβόλδον τρόπον τινὰ ἐπιμαρτυρόμενος (ἔν. ἀν. σ. 16—17)· ἐπεὶ οὐ κατὰ πάντα τούτοις συνᾴδοντα ἡμεῖς γε πρότερον ἐκ τοῦ «Κόσμου» ἐπορίσθημεν, ὅσα περ καὶ ὁ πέμπτος τόμος τοῦ αὐτοῦ συγγράμματος, ἔναγχος ἐκδοθεὶς, ἐν ἀρχῇ συγκεφαλαιοῖ.

καὶ ἅγια ὀνόματα, ἅπερ ἕκαστος φύσιν ἀνθρωπικὴν ἔχων ἐνδομύχως συναισθάνεται.

Τολμητέον δ' οὖν οὐχ ἧσσον καὶ ἄλλα τινὰ ὡς ἐφεξῆς ἔχοντα· Εἰ γὰρ ἄν τις πάντας τοὺς λόγους συγκεφαλαιώσαιτο, οἷσπερ οἱ φιλοσοφοῦντες Θεὸν τελειότατόν τε καὶ Παντοδύναμον καὶ Δημιουργὸν τῶν ἁπάντων βουλόμενοι ἀποδεῖξαι χρῶνται, συναγάγοι ἂν αὐτοὺς ἐπιεικῶς εἰς τούσδε τοὺς τρεῖς.

Α^ον μὲν οὖν εἰς τὸν Ὀντολογικὸν καλούμενον λόγον· ἔχει δὲ ὧδε· «Νοοῦμεν Ὂν παντέλειον· ἀλλὰ τῇ τελειότητι ὕπαρξις προςήκει· Δέον ἄρα τοῦτο τὸ Ὂν τὸ νοηθὲν ὑπάρχειν.» Ἀλλ' οὗτος ὁ λόγος δῆλον ὅτι οὐ πολλὴν δύναμιν ἔχει· τὸ γὰρ ἀποδειχθησόμενον ὡς δεδομένον καὶ δεδειγμένον παραλαμβάνει.

Β^ον δὲ εἰς τὸν κοσμολογικὸν οὕτως ἔχοντα· «Ἕκαστον τῶν ἐν τῷδε τῷ κόσμῳ ὁρατῶν οὐκ ἐν ἑαυτῷ τὴν τῆς ὑπάρξεως αἰτίαν ἔχει· οὐ γὰρ αὐτοτελές ἐστιν, ἀλλ' αἰτιατὸν ἐν προτέρῳ τινὶ τὴν αἰτίαν ἔχον. Ἀπὸ αἰτίας δὲ εἰς αἰτίαν ἐπάγοντες, ἐξικνούμεθα εἰς αἰτίαν τινὰ πρώτην καὶ ἐσχάτην τῶν ὄντων ἁπάντων, ἥτις αὐτοτελῶς ὑπάρχει.» — Ἀλλὰ τοὺς οὕτω συλλογιζομένους λανθάνει ὅτι ἐκείνη ἡ πρώτη αἰτία σχολῇ γε ὁ φιλοσοφικῶς ζητούμενος Θεός ἐστι, προσωπικός, ἐλεύθερος, πανάγαθος· ἀλλ' εἴη ἂν αὕτη καὶ ψυχὴ παγκόσμιος ἢ αἰτία μαθηματική. Καὶ τούτῳ δὲ τῷ λόγῳ κοινὸν τῷ προτέρῳ ἁμάρτημα ὑπάρχει· τὸ γὰρ ἀποδειχθησόμενον ὡς δεδομένον ὡσαύτως παραλαμβάνει. Ἔχει μέντοι οὗτος δύναμιν ὑπὸ τοῦ Πανθεϊσμοῦ ὅλως ἀκαταμάχητον οὖσαν.

Γ^ον δὲ εἰς τὸν φυσικοθεολογικὸν λεγόμενον,



ὃς ἀναντιῤῥήτως καὶ ὁ κράτιστος πάντων ὑπάρχει· ἔχει δὲ ὧδε· «Ἐν πάσῃ τῇ φύσει ἐπικρατεῖ εὐκοσμία, σκοπιμότης, βουλή τε καὶ πρόνοια. Τούτων δ' ὑπαρχόντων, ἀνάγκη πᾶσα δρᾶν Τι κατ' ἰδέας προϋποτιθέναι· ὥστε κατά γε τοῦτον τὸν λόγον τὴν ἐν τῷ κόσμῳ πρώτην καὶ ἐσχάτην αἰτίαν Ὄν τι εἶναι δέον κατ' ἰδέας ἤτοι κατ' ἐπιλογισμὸν δρῶν, Ὄν τι νοοῦν, ἔμφρον, Ὂν ἠθικὸν καὶ προσωπικόν.» Ἀλλὰ γὰρ πρὶν ἢ εἴπωμέν τι πρὸς τοῦτον τὸν λόγον λυσιτελὲς πάνυ ἡγούμεθα παραθέσθαι ὅσα καὶ ὁ περίπυστος Ἀλέξανδρος ὁ Οὐμβόλδος ἐν τῷ πέμπτῳ τόμῳ τοῦ ἀθανάτου συγγράμματος τοῦ «Κόσμου» (σ. 5 κ.φ.ξ.) ἡμᾶς διδάσκει.

«Ἐν ταύτῃ τῇ βίβλῳ, φησίν, ἥνπερ «κόσμον» ὠνόμασα, τοῦτο μάλιστα ἀνεβαλόμην ποιῆσαι· τὰ ἐκ τῆς ἐμπειρίας δεδομένα θεωρίᾳ τινὶ μετὰ λόγου ὑποβαλεῖν καὶ τὰ τελείωσιν ἐπιδεχόμενα εἰς ἓν ὅλον φυσικὸν συναρμόσαι. Αἱ δὲ θεωρίαι αἱ περὶ τὰς αἰσθήσει ληπτὰς καὶ διηνεκῶς εἰς ἀλλήλας ἐναλλασσούσας λειτουργίας τὰς ἐν τῇ φύσει ἀεὶ καθολικώτεραι γιγνόμεναι (καὶ τοῦτο ἓν τῶν ἐξόχων ἔργων τοῦ παρόντος αἰῶνος ὑπάρχει), εἰς νόμων ἀναδίφησιν ἄγουσιν, ἐφ' οἷς ἂν ἐνδέχηται νόμους εὑρίσκειν ἢ ἁπλῶς ὑποτοπάζειν. Τούτῳ δὴ τῷ συγγράμματι (οἷον, εἴποιμ' ἄν, μέχρι τοῦ νῦν οὐδέποτ' ἐτελειώθη) προσήκει πάντως λόγου ὑφὴ σαφής τε καὶ ἐνεργὴς περί τε τὴν κατ' ἀνθυπόστασιν ἀφήγησιν τῶν φαινομένων καὶ τὴν τῆς ἐκτὸς φύσεως ἀντανάκλασιν τὴν ἐν τῷ νοερῷ βίῳ τῷ ἐν τῷ κόσμῳ ἤτοι ἐν τῷ κόσμῳ τῶν ἰδεῶν καὶ συναισθήσεων ὡς ἐν κατόπτρῳ γιγνομένην. Διεξιόντι δέ μοι, ὅσα ἐν τούτῳ τῷ πονήματι προεθέμην, φύσει πως καὶ

κατ᾽ ἀνάγκην συμβαίνει ὑπομιμνήσκειν, ἥνπερ ἔχει σχέσιν τὰ ὑπ᾽ ἐμοῦ ζητηθέντα πρὸς τὰ τολμήματα *ἐπιστήμης τινὸς* τῶν περὶ τὴν φύσιν *μεταφυσικῆς* ἤτοι πρὸς ὅ,τι βαθεῖς τινες τὴν διάνοιαν ἄνδρες κατὰ τἀναντία πρὸς τὴν φιλοσοφίαν τῶν νοήσει εἰλικρινεῖ περιληπτῶν *φυσικὴν φιλοσοφίαν* ἀποκαλοῦσιν. Ἤδη δὲ καὶ πρότερον οὐδὲν ὑποστειλάμενος καὶ πρὸς πολλοὺς τῶν ἐν τῇ Πατρίδι σεβαστῶν μοι φίλων ἀντιλέγων, ἐπαῤῥησιασάμην ὅτι εἰ καὶ φύσει πως πρὸς τὴν τῶν καθόλου ἀναζήτησιν φέρομαι, ἀνέφικτον μέντοι μέχρι τοῦ νῦν ἐπιχείρημα εἶναί μοι δοκεῖ, ἐπιστήμην τινὰ ἐκ τῶν περὶ τὴν φύσιν *λογικῶς* συνθέσθαι ἤτοι φυσικὴν φιλοσοφίαν, οἵαν τε οὖσαν τὸ προτεθὲν χορηγῆσαι, τὴν κατὰ λόγον νόησιν τῶν ἐν τῷ Παντὶ φαινομένων. πλεῖστα γὰρ ὅσα τῶν αἰσθήσει περιληπτῶν οὔπω ἐθέλει ὑπάγεσθαι τῇ κατὰ μαθηματικοὺς νόμους ἀναπτύξει τῶν νοηθέντων· ἥ τε πάντων τῶν νόμων ἐκτὸς εἶναι *δοκοῦσα* τάξις τῶν πλανητῶν καὶ δορυφόρων κατὰ μέγεθος, πυκνότητα, ἀξόνων θέσιν καὶ τροχιῶν ἐκκεντρότητα, ἥ τε τῶν ἠπείρων ἀλίκτυπος περιγραφὴ καὶ τοῦ ἐδάφους ἡ ἔξαρσις προῆλθον ἴσως ἐκ πάνυ ὀψὲ ἐπιγενομένων ἐν τῷ κόσμῳ συμβάντων, ὥςπερ καὶ ἡ ἐφ᾽ ἡμῶν συμβᾶσα μονίμη διχοτόμησις τοῦ Βιελαΐκοῦ κομήτου. (Κόσμου Τ. Γ΄. σ. 24 καὶ 568—570.) Ἀλλὰ καὶ πολλοῦ γε δέομεν πάσας τε τὰς οὐσίας (ὕλας) καὶ πάσας τὰς δυνάμεις (ἐνεργείας) τῆς φύσεως εἰδέναι· ὅ τε ἀπέραντος κύκλος τῶν παρατηρήσεων, ὃς δι᾽ ἐναγχος εὑρεθέντων ὀργάνων παρατηρητικῶν ὁσημέραι ἔτι μᾶλλον εὐρύνεται, καὶ αὐτὴ δὲ ἡ ἀτελείωτος τῶν ὄντων γνῶσις ἐν χρόνῳ τινὶ τῆς καθόλου θεωρίας ὡρισμένῳ



τρόπον τινὰ ἀόριστον ἀπεργάζονται τὸ τέλος πάσης περὶ τὴν φύσιν θεωρητικῆς φιλοσοφίας.

Ἡ δὲ τῶν περὶ τὴν φύσιν ἀφήγησις, τό γε νῦν ἔχον, ἐπ᾽ ἐνίων μόνον εἰς ἐξήγησιν αὐτῆς τῆς φύσεως περιέστηκε. Λέγω δ᾽ αὖθις ὅτι πάντων μάλιστα ἐκείνοις ὀφείλομεν τὴν διάνοιαν ἐφιστάναι, καθ᾽ ἅπερ τὰ ἐν τῷ μεγάλῳ καὶ πολυπλόκῳ τῶν ὅλων συστήματι, φύσει καὶ κόσμῳ καλουμένῳ, ὁρατῶς ἐπιτελεῖται. ταῦτα δ᾽ εἰσὶν οἱ νόμοι, οὓς ἔκ τινων τῶν κατὰ μέρος συστημάτων ἀσφαλῶς συνάγομεν. ἀλλ᾽ οὐ μέντοι ἀεὶ εὐοδοῦται ἀπὸ τούτων τῶν νόμων ὁρμωμένῳ, ἐπ᾽ αὐτὰς τὰς πρώτας τῶν γιγνομένων αἰτίας προσαναβαίνειν. Ἀνώτατον δὲ τέλος τῶν πρὸς γνῶσιν τοῦ ὅλου κόσμου γιγνομένων ἔργων οὐδὲν ἄλλο ἔν γε τῷ παρόντι ὑπάρχει ἢ ἀλληλουχίαν τινὰ κατὰ μέρος τῶν αἰτιατῶν τε καὶ αἰτίων ἀναδιφᾷν καὶ τὰς περὶ τὴν φύσιν μαθήσεις ἀεὶ καθολικωτέρας ἀπεργάζεσθαι.

Ἤδη δὲ καὶ ἐν τῷ παρ᾽ Ἕλλησι κόσμῳ τῶν ἰδεῶν ἡ κατ᾽ εἴδη τῆς ὕλης διαφορὰ καὶ μεταβολὴ ἤτοι ἡ εἰς ἄλληλα τῶν στοιχείων ἐναλλαγή, ὅλως ἄλυτα προβλήματα τῇ βαθυνοίᾳ τοῦ σθεναροῦ Ἡρακλείτου τοῦ Ἐφεσίου, τοῦ Ἐμπεδοκλέους καὶ τοῦ Κλαζομενίου παρέσχεν, οἷά γε δὴ καὶ ἐφ᾽ ἡμῶν τοῖς χημικοῖς ἡ καθ᾽ ὕλην διαφορὰ τῶν πολυαρίθμων *σωμάτων* τῶν *ἁπλῶν* λεγομένων καὶ αἱ *ἀλλοτροπίαι* τοῦ ἄνθρακος (μετὰ τοῦ ἀδάμαντος καὶ γραφίτου), τοῦ φωςφόρου καὶ τοῦ θείου. Ἀλλ᾽ εἰ καὶ ἀόριστον καὶ πάνυ ἐργῶδες ἀπεφηνάμην εἶναι τὸ πρόβλημα θεωρητικῆς τινος περὶ τὴν φύσιν πραγματείας, πολλοῦ γε δέω τοὺς ἐπιστημονικὴν προςδοκῶντας ἐπιτυ-

χίαν τοῦ πράγματος ἀποτρέψαι, ὅπερ γενναῖον καὶ λόγου παντὸς ἄξιον μέρος ἀποτελεῖ τοῦ κόσμου τοῦ νοεροῦ. καὶ εἰκότως ἄν τις ὁμολογήσειεν, ὅτι ἅς γε ἀρχὰς μεταφυσικὰς τῆς περὶ τὴν φύσιν ἐπιστήμης ὁ ἀείμνηστος τῆς Καινιγσβέργης φιλόσοφος ἔθετο, συγκαταλεκτέαι εἰσὶ τοῖς ἀξιολογωτάτοις ἔργοις αὐτοῦ τοῦ μεγαλοφυοῦς ἀνδρός. Ἀλλ' ἔοικε μέντοι βουλομένῳ αὐτὸς ἤδη τὸ ἑαυτοῦ ἐπιχείρημα τρόπον τινὰ περιστεῖλαι, ὁπότε ἔν τινι προοιμίῳ ἀποφαίνεται ὅτι θεωρητικὴ περὶ τὴν φύσιν ἐπιστήμη ἐπὶ τοσοῦτον ἰσχύν τε καὶ κῦρος ἔχει, ἐφ' ὅσον ἂν ἐγχωρῇ μαθηματικὰ μεταφυσικοῖς συνδυάζειν θεωρήμασιν. Ἀνὴρ δέ τις τῶν σοφῶν πρὸ πολλοῦ ἐμοὶ φίλος, τὰ τοῦ Καντίου δόγματα σφόδρα ἀγάμενος, Ἰάκωβος, Εἰρηναῖος Φρείσιος ἐν τέλει τῆς ἑαυτοῦ ἱστορίας τῆς φιλοσοφίας ὧδέ πως ἐθέλει λέγειν ὅτι «αἱ ἀξιάγαστοι εὑρέσεις ὅσαι ὑπὸ τῶν περὶ τὴν φύσιν σπουδαζόντων μέχρι τοῦ τεσσαρακοστοῦ ἔτους τοῦδε τοῦ αἰῶνος ἐγένοντο, πᾶσαι εἰς τὴν παρατήρησιν καὶ τέχνην τὴν γεωμετρικὴν καὶ τὴν μαθηματικὴν ἀνάλυσιν ἀναφορὰν ἔχουσιν· ἡ δὲ θεωρητικὴ φυσιολογία οὐδεμίαν τὸ παράπαν ἐξ αὐτῶν ἐπίδοσιν ἔλαβεν.» εἴθε αὕτη ἡ μαρτυρία περὶ τῆς μέχρι δεῦρο ἀλυσιτελείας τῶν τοιούτων μὴ πᾶσαν ἐλπίδα καλὴν εἰς τὸ μέλλον ἀφανίσειεν! οὐδὲ γὰρ ἂν κόσμον φέρει τῇ ἐταστικῇ διανοίᾳ τῶν ἐν τῷδε τῷ αἰῶνι ἀνθρώπων πᾶσαν φιλοσοφικὴν ἀπόπειραν, κατ' ἐπαγωγήν τε καὶ ἀναλογίαν γιγνομένην, τοῦ τὴν ἀλληλουχίαν τῶν ἐν τῇ φύσει φαινομένων ἐκ τῶν ἐνόντων ἀναδιφῆσαι, ὡς ὑπόθεσιν μετάρσιον καὶ ὅλως κενεμβατοῦσαν ἀποβάλλειν· ἔκ τε τῶν γενναίων ὁρμῶν, αἷς ἡ φύσις τὸν ἄνθρωπον ἐκόσμησε, νῦν μὲν τὴν διάνοιαν, συνειρμὸν τῶν περὶ τὰ ὄντα αἰτίων μαστεύουσαν, νῦν δὲ τὸ τῆς φαντασίας πτέρωμα τὸ πρὸς πᾶσαν εὕρεσίν τε καὶ ποίησιν ἀναπόφευκτον ὂν ἐς τὸ μηδὲν ἀποῤῥίπτειν. — — — Εἰ μὲν οὖν καὶ ἐν τῇ οὐρανίᾳ μηχανικῇ, ἐν ᾗ γε ἁπλαῖ δυνάμεις ἐνεργοῦσιν, ἐν τῷ τοιῷδε ἢ τοιῷδε Εἶναι τῶν κοσμικῶν σωμάτων μηδαμῶς καὶ τὸ γεγονέναι αὐτῶν διαγιγνώσκομεν· καὶ περὶ αὐτῶν δὲ τῶν λόγων τῶν ἀριθμητικῶν ἔν τε ταῖς ἀποστάσεσι τῶν πλανητῶν ἀπ' ἀλλήλων καὶ ἐν τῇ καθ' ὕλην τε καὶ μέγεθος τάξει, περὶ τῆς τῶν ἀξόνων κλίσεως, ὥςπερ καὶ περὶ τοῦ σχήματος τῶν πολυάστρων ἀθροισμάτων καὶ τῶν λαμπροφαῶν νεφιδίων μηδέν τι σχεδὸν μέχρι τοῦ νῦν γιγνώσκομεν, ὅπερ ἂν τῇ κατὰ μαθηματικοὺς νόμους ἀναπτύξει τῶν νοηθέντων ὑπαχθῆναί πως δύναιτο (λόγον δ' ἄν τις ἔχοι εἰπεῖν, ὥς που καὶ πρότερόν μοι εἴρηται, ὅτι τά γε τοιαῦτα ἔκ τινων μερικῶν καὶ ἀλλήλων τὴν φύσιν πάμπαν διαφόρων ἐν οὐρανῷ Γιγνομένων προέρχεται)· πολλῷ δὴ ἧσσον ἐπὶ τῶν γηΐνων, ἐν οἷς γε ἡ τῆς ὕλης διαφορότης ἐνεργὸς ἐκφαίνεται, ἔχοι τις ἂν ἐλπίσαι ὅτι ἀφήγησις τῶν ἐν τῷ κόσμῳ γιγνομένων καὶ διασάφησις ἅμα τοῦ κόσμου γένοιτ' ἄν. οὐδ' αὐτοῦ τοῦ Πλάτωνος ἡ διανοητικὴ δύναμις ἡ ἐπὶ πάντων ὁμοίως τὸ καθόλου ἀναζητοῦσα ἐπήρκει ἂν πρὸς τοῦτο, ὁπότε γε δὴ ὁ ἑκάστοτ' ἐπιχειρῶν ἐπιλῦσαι τὸ πρόβλημα, ἀφ' οἱασδήποτε οὔσης τῆς τοῦ ἐπιστητοῦ περιωπῆς, οὔπω ἑαυτῷ σύνοιδε πάσας γιγνώσκοντι τὰς ἀνάγκας, καθ' ἅς περ τὰ γιγνόμενα γίγνεται καὶ τὰς ὕλας τὰς παντοειδεῖς, ὧν αἱ δραστικαὶ δυνάμεις μυστηριωδῶς πάνυ ὑπεκφαίνονται. — — —

Κύριον δὲ σκοπὸν αὐτὸς ἀνεβαλόμην ἐν συστήμασί τισι καθολικοῖς τῶν ὁπωσδήποτ' αἰσθητῶς ἐν τῇ φύσει τελουμένων νόμους καὶ τεκμήρια ἐμφανῆ ἀλληλουχίας τινὸς αἰτίων πέρι, ὡς ὄντως ὑπαρχούσης, ἀναζητῆσαι· ὁ δ' ἀριθμὸς καὶ ἡ ἀξία τούτων τῶν ἰδίᾳ συστημάτων διὰ πεντήκοντα ἤδη ἐτῶν μᾶλλον καὶ μᾶλλον κατ' εὐχὴν ηὐξήθη. — — — Εἰ μὲν οὖν ἐν τούτῳ τῷ συντάγματι τῷ περὶ τοῦ κόσμου κατὰ τἀναντία πρὸς τὰς ἐν ἑκάστῳ τῶν παρελθόντων αἰώνων ἀεὶ αὐξανομένας ἐλπίδας ἐν πολλοῖς μέρεσι τῆς περὶ τὴν φύσιν ἐπιστήμης, ἡμεῖς πολλάκις ἀποφαινόμεθα ὅτι ἡ τῶν τοιούτων ἐλπίδων πλήρωσις οὔπω ἐγγὺς ὑπάρχει· οὐδὲ γὰρ κατορθωτὴ ἡμῖν εἶναι δοκεῖ ἀναγωγή τις καθόλου τῶν περὶ τὴν φύσιν γνώσεων εἰς ἄγχιστ' ἀλλήλων ἐχομένας ἀρχὰς τῆς περὶ τὴν φύσιν θεωρητικῆς φιλοσοφίας· οὐδεὶς μέντοι φόβος ὑπάρχει μήπως ἡμῶν γ' ἕνεκεν ὁ περὶ τὴν ἀναδίφησιν νόμων ζῆλος, ἡ τῇ ἀνθρωπικῇ διανοίᾳ ἔμφυτος καὶ ἀναπόφευκτος οὖσα ὁρμὴ πρὸς τὸ τὰς αἰτίας τῶν ὄντων ἀναζητεῖν ἐλασσωθῇ. Πρβλ. δὲ καὶ Τ. Α, σ. 81. σ. 95 κ. φ. ξ. —

Ταῦτα δὲ παρενθέμενοι ἴωμεν αὖθις ἐπὶ τὸν πρόσθεν λεχθέντα λόγον τὸν Φυσιολογικὸν καλούμενον. Ὅτι μὲν οὖν ὁ λόγος οὗτος κῦρός τι ἔχει οὐδεὶς ὅστις οὐ προθύμως μάλα ὁμολογήσει· παντὶ γὰρ ἄν, οἶμαι, ἐν τῷ βίῳ πολλάκις συμβαίη, τὰ περὶ τὴν φύσιν ἁμωσγέπως σκοποῦντι λυσιτέλειαν ἤτοι σκοπιμότητα καὶ πρόνοιαν ἐν πολλοῖς ἐνιδεῖν. Ἀλλὰ γὰρ οὐδεὶς αὖ ὅστις οὐ προσμειδιάσει, ἀκούων ἐκεῖνα τὰ ἔκπαλαι καὶ ἀπὸ τοῦ Σωκράτους (ἐν τοῖς τοῦ Ξενοφῶντος ἀπομνημονεύμασι) καὶ μακρῷ πρότερον ἔτι σχεδὸν πάμπαν ἀμετάβλητα



μέχρι τοῦ νῦν κατατριβόμενα· ὥς πού τις, φέρ' εἰπεῖν, τῶν ἔναγχος ὑπὲρ τῆς θεωρητικῆς φιλοσοφίας ἀπολογηθέντων λέγει· τὰ στεῤῥὰ τῆς γῆς στρώματα, οἱ λίθοι, οἷον ὀστᾶ ὑπόκειται, τὸν χοῦν ὑποβαστάζοντα, ἤτοι τὴν γῆν τὴν γονίμην· ἡ δὲ γῆ ἐστιν εἰς ἀναβλάστησιν τῶν φυτῶν καὶ τροφὴν χρησίμη· τὰ δὲ φυτὰ εἰς τροφὴν τῶν ζῴων καὶ τὰ ζῷα εἰς τροφὴν τοῦ ἀνθρώπου, ὃς δὴ σκοπὸς καὶ τέλος πάσης τῆς φύσεως ὑπάρχει. ὁ Ἥλιος δῆλον ὅτι εἰς φώτισιν καὶ θάλψιν, ἡ δὲ Σελήνη ἴσως πρὸς τὸ τηρεῖν τὴν τῶν ὑδάτων ἰσοῤῥοπίαν ἢ καὶ κάθαρσιν· οὐδὲν θαυμαστόν· ἢ πρὸς τὸ τὴν φρένα τῶν ποιητῶν γαληνίως διατιθέναι· ἐπεὶ δὴ πρὸς τί ἄλλο ἡ Σελήνη τῷ ἀνθρώπῳ χρήσιμον;— Ἄλλος δὲ πάλιν ἔφη ὅτι τὰ φυτὰ ἀντιστοιχεῖ τῇ ἐν τῷ βίῳ ἐπιτελουμένῃ ἀγαθότητι, εὔοσμά τε εὔχυμά τε εὐανθῆ τε κάρα ἁβρὸν εἰς δρέψιν παρέχοντα, οὕτω δὲ δὴ τῷ ζῷα εὖ ποιοῦντα, χλοανθῆ πόαν νομὴν αὐτοῖς πορίζοντα, τὴν τοῦ ἀγαθοῦ ἰδέαν ἐπιτελῆ ποιεῖ (ἐῤῥέθη ταῦτα, καὶ πρὸ ὀλίγου !). σιγῶμεν δὲ τὰ ἄλλα ἀπαριθμεῖν, ἵνα μὴ καὶ φιλοσκώμμονες εἶναι δόξωμεν. Ἀπὸ τοῦ δωματίου μέχρι τοῦ τυπογραφείου ἄρισ' ἄν τις ἐν παντὶ τὴν χρησιμότητα ἐνίδοι· οὐ μέντοι γε περαιτέρω, ὡς πλεῖστοι ἡγοῦνται· ὁ τλήμων ἄνθρωπος (ὡς ἐν σιγῇ τὰ λοιπὰ παρελθεῖν) ἀλήκτως πρὸς τὴν λοιπὴν φύσιν ὑπὲρ τῆς ἑαυτοῦ συντηρήσεως μάχεταί τε καὶ ἀγωνίζεται· ἀλλ' οἱ εὐσεβῶς φιλοσοφοῦντες πάνυ εὔποροι λόγων καλῶν τε καὶ εὐσεβῶν ὄντες, ἀποφαίνονται ὅτι καὶ αὐτὸς ὁ πόλεμος κατὰ πρόνοιάν τινα καὶ τέλος τῷ ἀνθρώπῳ ἐπιβάλλεται ἵνα ἀσκῇ αὐτὸν καὶ ἔτι μᾶλλον τελειοῖ.

Ἀλλὰ γὰρ ἡμεῖς ὀφείλομεν τοῖς Ἑλλήνων παισὶν ὡς

φίλοι πρεσβύτεροι παραινέσαι ὅτι ἐὰν ταύτῃ τῇ ὁδῷ ἐπιχειρήσωσι τὸν Πανάγαθον καὶ Παντέλειον Δημιουργὸν ὑμνῆσαι, ἴστωσαν ὅτι, εἰ μή τις νωθρὸς ἔσται καὶ ἀμελής, ἀσεβείᾳ ἐν τῷ ὕστερον βίῳ πάντως περιπεσοῦνται· καὶ γὰρ μᾶλλον κατὰ τἆλλα παιδευθέντες, ὄψονται ὅτι πᾶς ἄν τις ἱκανὸς εἴη ἐν μυρίοις πράγμασι τὸν Δημιουργὸν ἐπανορθῶσαι. Οὐ μὴ εἴπωμεν ὅτι μηδαμοῦ ἂν ἔχοι τις χρησιμότητα καὶ πρόνοιαν ἐνιδεῖν. Ἐπεὶ καὶ τοῦτό γε ἐπίσης νωθροῦ ἂν εἴη ἀνδρὸς καὶ τελέως ἀμελοῦς. Ἔστι μὲν γάρ τινα, καὶ πολλά γε, πρόνοιαν ἀγαθὴν ὑποφαίνοντα, ἐκ μὲν τῶν ἐν οὐρανῷ, φέρ' εἰπεῖν, ἐντὸς τοῦ παρ' ἡμῖν συστήματος τοῦ πλανητικοῦ, οἷα περ ἡ τῆς ἐκλειπτικῆς λεγομένη πλαγιότης ἤτοι ἡ εἰκοσιτριῶν καὶ ἡμισείας μοιρῶν ἀπόκλισις τῆς ὀρθότητος τοῦ ἄξονος τῆς γῆς πρὸς τὸ ἐπίπεδον τῆς ἐκλειπτικῆς, πρὸς ὃ ὁ ἄξων τόξον ἑξήκοντα ἓξ καὶ ἡμισείας μοιρῶν ἀποτελεῖ, λυσιτελεστάτη φαίνεται εἰς ἐναλλὰξ ἐπινέμησιν τοῦ ἡλιακοῦ φωτὸς καὶ τῆς θερμότητος ἐπὶ πλεῖστον τοῦ ἡμετέρου πλανήτου ἐνιαυσίως, ὃς ἥκιστ' ἂν οἰκήσιμος ὑπῆρχεν, εἴπερ ἡ ἐκλειπτικὴ τῷ ἰσημερινῷ εἰς τὸ αὐτὸ πεδίον συνέπιπτε. — Πρῴην δὲ παρὰ τοῖς ἀναλογίας ζητοῦσιν ἀστρονόμοις καὶ τόδε ἐλέγετο, ὅτι καθ' ὅσον καὶ οἱ λοιποὶ πλανῆται πορρωτέρω τοῦ ἡλίου ἀφίστανται, κατὰ τοσοῦτον καὶ ἡ τῶν ἀξόνων κλίσις ἐπὶ τῶν τροχιῶν αὐτῶν μείζων γίγνεται (κόσμου Τ. Δ. σ. 97.). — Ἔτι δὲ οἱ ἐσωτερικοὶ πλανῆται, ὧν αἱ τροχιαὶ ἀλλήλας ἐπιτέμνουσι, δορυφόρων, πλὴν ἑνός, τῆς ἡμετέρας σελήνης, οἱ λοιποὶ πάντες στεροῦνται. Τοῦτο δ' αὐτοῖς συμβέβηκεν ἐπὶ τίνι ἄλλῳ ἢ ἐπὶ τῷ μηδεπώποθ' οἷόν τ' εἶναι αὐτοὺς συγκρούεσθαι πρὸς ἀλλήλους;



καὶ γὰρ οἱ ἐξωτερικοί, ὧν αἱ τροχιαὶ ἀλλήλας οὐ τέμνουσι, δορυφόρους ἔχουσι καὶ πολλούς γε εἷς ἕκαστος αὐτῶν, ὁ μὲν Ζεὺς τέσσαρας, ὁ δὲ Κρόνος ὀκτώ, ὁ δ' Οὐρανὸς ἓξ καὶ ὁ Ποσειδῶν δύο (αὐτ. σ. 100.). — Καὶ ὁ ἀνώμαλος δὲ τῶν πλανητῶν δρόμος, ἤτοι αἱ ἀνακοπαὶ καὶ ἐπισπεύσεις, αἷς ὑπόκεινται κατὰ τὴν περὶ τὸν ἥλιον φορὰν διὰ τὴν ἐφέλκυσιν αὐτῶν τὴν πρὸς ἀλλήλους, μάλιστα δὲ ἐπὶ τῶν συζυγιῶν πάλιν αὖθις μετὰ περιόδους βραχυτέρας ἢ μακροτέρας ἐξισούμεναι, πρόνοιάν τινα ἐλέγχουσιν, ἑκάστῳ αὐτῶν τὸν τῆς περιφορᾶς χρόνον ἐναρμονίως πρὸς τὸν τῶν λοιπῶν ἐπιμετρήσασαν, ὥστε ἐν τῷ συστήματι τῶν τε ἐσωτερικῶν καὶ τῶν ἐξωτερικῶν λεγομένων πλανητῶν αἱ πρὸς ἀλλήλους συγκρούσεις καὶ αἱ καταστροφαὶ παντάπασιν αἴρονται, εἰ καὶ ἐν τῇ μεταξὺ ζώνῃ τῶν ἀστεροΐδων μήπω ἡ πρόνοια αὕτη βεβαίως λελόγισται. «πᾶσαι αἱ μετατροπαὶ (τῶν τε τροχιῶν καὶ τῆς ταχυτῆτος τῶν πλανητῶν) ἐντὸς ὁρίων μονίμων περιστέλλονται· οἴχονταί τε γὰρ κατὰ σμικρὸν αὖθις, καὶ αὖθις κατὰ σμικρὸν ἐπέρχονται, παραπλησίως τοῖς θαλασσίοις κύμασιν, ἅπερ τὴν ἐπιπολῆς ἐπιφάνειαν ἀλλοτρόπως διαμορφοῖ, αὖθίς τε ἄνευ ἴχνους ἀφανίζεται. Τοῦτο μέντοι ἰσχύει λεγόμενον ἐπὶ τῶν μεγάλων πλανητῶν· εἰ δὲ τὸν αὐτὸν τρόπον ὅ τε διάκοσμος καὶ ἡ διαμονὴ τοῦ τῶν ἀστεροΐδων συστήματος ἐν ἀσφαλεῖ καθέστηκε, τοῦτό γε οὔπω ἀκριβῶς οἱ ἀστρονόμοι ἐξήτασαν.» (Ἔπιθι Λαμοντίου Ἀστρονομίαν, βιβλίον πολλῆς ἐπιστημονικῆς ἀξίας. § 35, 37 σ. 33, κ.φ.ξ.).

Λείποντες δὲ τὰ ἐν οὐρανῷ, εἴπωμέν τινα τῶν ἐπὶ γῆς ὁρωμένων οὐχὶ αὐτὰ ἐκεῖνα τὰ ἀηδῶς δι' ὀκνηρίαν

κατατριβόμενα, ἄλλα δὲ νεαλῆ, ὥςπερ τὰ πρόσθεν, ἐκ συγγραμμάτων κῦρος ἐπιστημονικὸν ἐχόντων συνηγμένα. Πάντες γάρ που ἴσμεν ὅτι κατὰ τὰς τροπικὰς θαλάσσας μέχρι τῆς τριακοστῆς τετάρτης μοίρας βορείου πλάτους, μάλιστα δὲ κατὰ τὸν Ἰνδικὸν καὶ μέγαν Ὠκεανόν, τὸ Ἀραβικὸν πέλαγος καὶ τὸ Περσικόν, ἐγγύς τε τῆς νήσου τῶν Βουρβώνων, θαλάσσια ζωΰφια οἷον πέμφιγες ἢ φλυκτίδες τὸ πρῶτον ὑμενώδεις γλοιώδους ὑγροῦ τινος πλέαι, τὰ κοράλλια λεγόμενα, βυσσόθεν τοῦ Ὠκεανοῦ ἀρχόμενα ἢ ὥςπερ ὁ Δαρβίνιος (πρὸς ὃν Ζιμμερμᾶν, τὴν πρώην ἰσχύουσαν [τοῦ Φορστερίου] γνώμην διασώζων, πάνυ καλῶς ἔναγχος ἀντεῖπε) καὶ ἄλλοι συχνοὶ τῷ Δαρβινίῳ ἑπόμενοι λέγουσιν, ἀπὸ πέτρας ὑφάλου ἢ σύρτεως κατὰ σμικρὸν ὑφιζανούσης ἀρχόμενα, ἐνδελεχῶς ἐπαυξανόμενα, στελέχη καὶ πρέμνα τιτανώδη ὑποβρύχια πελώρια ἐπ' ἀλλήλ' ἀναπυργοῖ, καὶ τὰ μὲν μείζονα τῶν ζωϋφίων τὰ ἰσχυρότερα στελέχη δημιουργεῖ τὰ πρὸς τὸ ἀναπεπταμένον πέλαγος τετραμμένα, τὰ δὲ ἀσθενέστερα, τὰ εἰς τὰ ἔνδον ἀπεστραμμένα· μυριάδων δ' ἐτῶν οὕτω διαγενομένων ἐς χρῶτα τῆς τοῦ ὠκεανοῦ ἐπιφανείας κατὰ σμικρὸν ἀναβαίνει. Εἶτα δὲ τὰ κύματα ψάμμον, φύκη καὶ ἄλλα φυτά, ὀστρέων τε ἄλλων καὶ κοραλλίων κναύματα, ἄλλα τε ζῷα πολυειδῆ προςχωννύντα, πληροῖ τὰ διάκενα καὶ δίκην τείχους συγκολλᾷ. Οὗτοι οἱ σκόπελοι οἱ κοραλλιόδμητοι, ὀκριόεντες ὥς εἰσι, ναύταις τρόμον παρέχοντες (καὶ γὰρ αἱ πλεῖσται τῶν ὑφάλων καὶ ῥαχιῶν μάλιστα δὲ τοῦ Ἀραβικοῦ καὶ Περσικοῦ κόλπου ἐκ τιμαλφῶν κοραλλίων κατερύθρων σύγκειν-



ται (α)) ἔστιν οὗ, τοῦ Εἰρηναίου ὠκεανοῦ, κυκλοτερῶς τὸ πρῶτον, ὡς ἐπὶ χειλέων καταποντισθέντων κρατήρων ἐπηρεισμένοι, ὑπ' ἀκτῖνα ἡλίου ὑπανθοῦσι καὶ κατὰ σμικρὸν τὰ ἔνδον τῇ ἐνδελεχεῖ τῶν κοραλλίων ἐργασίᾳ εἰς νήσους χερσοῦνται ἁλιτενεῖς ἐν τῷ μέσῳ ὠκεανοῦ κυανοβενθοῦς, ἀπεράντου Ἐπὰν δὲ τάχιστα οἱ κοράλλινοι πέτροι τοῦ ἐπιφλοίσβου κλύσματος ἔξαλοι γένωνται, πρῶτον μὲν πλεκτάναι φύονται ἐπ' αὐτῶν λευκάζουσαι, πέδον παρέχουσαι ἁδροτέροις χρυσανθέσι πλέγμασι. Περιτελλομένων δὲ τῶν ὡρῶν θνήσκει ταῦτα, θνήσκοντα δὲ καταλιμπάνει στοιβάδα ἐπίλεπτον φυτικοῦ χοός· οὗτος δὴ ὁ χοῦς ἀγαθὸς γίγνεται εἰς αὔξησιν βρύων ἁβρῶν, ἅπερ ἄλλα εἴδη βρύων ἰσχυρότερα διαδέχεται· καὶ ταῦτα δὲ θνήσκοντα εἰς οὐδὲν ἄλλο προωρισμένα φαίνεται ἢ εἰς τὸ παρασχεῖν φυτοῖς μείζοσι στάσιν τε ἔγγειον καὶ αὔξησιν ἀγαπητήν. τουτὶ τὸ παράδειγμα ἀρχῆθεν μέχρι τέλους βουλήν τινα καὶ πρόνοιαν ἐλέγχει πάντως. (ἔπιθι πλὴν ἄλλων συγγραμμάτων καὶ τὸν Βρομμίου Ἄτλαντα εἰς τὸν Κόσμον τοῦ Χουμβόλτου. ἐκδ. Λ. σ. $45^6$ καὶ μάλιστα σ. $94^c$ —95. ἔνθα ἄλλως πως ἱστορεῖται ἡ τῶν νήσων ζωοποίησις.).

Ἔτι δὲ πάντα τὰ ἀναρίθμητα εἴδη τὰ ὀργανικά, τὸν ἡμέτερον πλανήτην θαυμαστῶς ὡς ζωοποιοῦντα, τά τε φυτὰ καὶ τὰ ζῷα καὶ πάντα τὰ μεταξὺ αὐτῶν οὐ χωρὶς ἀλλήλων γέγονεν, οἷά περ τανῦν ὁρᾶται, ἀλλ' ἐξ ἀλλή-

(α) Ἀλλὰ ποικίλως τὰ χρώματα μετανθεῖ καὶ εἰς λευκότητα αὐγάζουσαν, ὥστε ἀμπώτιδος οὔσης, ὁπότε αἱ ὕφαλοι ἀκάλυπτοι ὅλως ἔσθ' ὅτε μένουσι, πολυανθὴς χρωμάτων αἴγλη ἐπιπολῆς ἐπιπρέπει.

λων καὶ δι' ἀλλήλων πολλῷ μᾶλλον ἢ ἐκ τῶν ὡρῶν καὶ τῶν τόπων, ὡς οἱ πλεῖστοι τῶν φυσικῶν διατείνονται. Τίς γὰρ ἄν ποτε τὴν ὀργανικὴν διάθεσιν φυτῶν παρασίτων, τὴν ἑαυτῶν τροφὴν ἀπό τινων δένδρων διαμυζώντων καὶ τὴν σχέσιν αὐτῶν πρός τε τὰ δένδρα καὶ πρὸς ἄλλα ἑτερογενέστατα ὄντα, ὀρνίθιά τινα καὶ ἔντομα εἰς τὸ κλίμα ἀναφέρειν τολμήσειεν ; οἷον, φέρ' εἰπεῖν, ὁ ἰξός ἐστιν ἢ ἡ ἰξύα καὶ αἱ ποικιλίαι αὐτῆς, τὸ ὕφεαρ, ἢ στελὶς καὶ τὰ παραπλήσια, φυτὸν δένδρεσι παράσιτον, οὗτινος τὰ μὲν σπέρματα ὀρνίθιά τινα λαβόντα διασπείρει, τὰς δὲ ἄνθας, διὰ τὸ μὴ διφυεῖς εἶναι ἀλλ' ἑτεροφυεῖς, τῆς ἐργασίας ἐντόμων τινῶν χρῄζειν ὁρῶμεν, ἅπερ τὴν γονικὴν κόνιν ἀπὸ τοῦ ἄῤῥενος ἀνθέμου εἰς τὸ θῆλυ μετακομίζει. ἥκιστά γε τῶν τοιούτων ἢ κλίμα ἢ ἐθισμὸν ἢ βούλησιν αὐτοῦ τοῦ φυτοῦ αἰτιάσαιτ' ἄν τις, φησὶν ὁ περίπυστος Δαρβίνιος ἐν τῷ περὶ τοῦ ὅπως τὰ εἴδη ἀλλ' ἐξ ἄλλων γίγνεται διὰ φυσικῆς τιθηνεύσεως. (σ. 7—9 τῆς ὑπὸ τοῦ σοφοῦ Βροννίου γερμανικῆς μεταφράσεως.) Οὐκοῦν ἐναργῶς πρόνοιαν ἀγαθὴν ἐν τοῖς τοιούτοις φαίνεσθαι, εἴποι ἂν αὖθις ὁ εὐσεβῶς φιλοσοφῶν, οὕτω σωτηρίως τὰ ὀργανικὰ ὄντα σχετίζουσαν πρὸς ἄλληλα ;

Φυλλοβόρα ἔντομα χλοανθῆ ἐστι, φλοιοβόρα δὲ φαιόστικτα, τὸ περὶ τὰς Ἄλπεις νιφόρνεον τοῦ χειμῶνος διάλευκον, τὸ δὲ Καληδόνιον εἶδος, ὁ λαγώπους μυρικοειδής, ὁ δὲ τετράων ἢ ὁ τέτριξ (ὁ ἄγριος ἀλεκτρυών) τιφοειδὴς τὸ χρῶμα φαίνεται· καὶ ταῦτα ἡ φύσις οὐ τηνάλλως ἐμηχανήσατο, ἀλλὰ τὴν σωτηρίαν καὶ ὠφέλειαν τῶν ἐντόμων καὶ πτηνῶν προνοουμένη· καὶ γὰρ ὁ λαγώπους καὶ τὸ νιφόρνεον ἐς ἄκρον πολύτοκα ὄντα,



ὑπὸ οἰωνῶν ὀξυδερκῶν δεινότατα διώκεται. καὶ Πρόνοιά τις ἄρα ἀγαθὴ εὑρίσκει τοῖς ὀρνιθίοις σωτηρίαν, ἀφομοιοῦσα τὸ πτέρωμα αὐτῶν πρὸς τὸ ἔδαφος ἐν ᾧ δίαιταν ἔχει (Δαρβιν. αὐτ. σ. 89—90.).

Καὶ πολλὰ ἄλλα ἔχοι ἂν ὁ φιλομαθὴς παραδείγματα ἐκ τῶν περὶ τὴν φύσιν γιγνομένων εἰς μέσον προτεῖναι ἀγαθὴν πρόνοιαν καταθυμίως ὑποδηλοῦντα. — Ἀλλ' ὁ ἁμωςγέπως φιλοσοφίας ἡμμένος αὐτό γε τοῦτο τὸ ἐπὶ πάντων ἀναζητεῖ ἤτοι τό καθόλου. Πᾶν γὰρ «ἀξίωμα», ἐν ᾧ γ' ἂν καὶ μία «ἔνστασις» ἐγχωροίη, οὐκέτι ἀξίωμά ἐστιν, ἀλλὰ δόγμα («εἴδωλον») σφαλερόν. Τὴν δὲ σκοπιμότητα ἀμήχανον ἐπὶ πάντων ἀνθρώπῳ γε ὄντι ἀνευρεῖν, ἀλλ' οὐδ' ἐπὶ τῶν πλειόνων τῶν ἡμῖν γ' ὁπωςδήποτ' ἐφικτῶν ὄντων. Καὶ ἔνια μὲν μανθάνοντες χαίρομεν, ἔνια δὲ καινὰ δι' αὐτήν γε τὴν μάθησιν ἀγνοοῦντες λυπούμεθα, τῶν δ' ἑκάστοτ' ἀπορουμένων τὴν γνῶσιν ἀεὶ ἐπιζητοῦντες, βίον σύμμικτον διάγομεν, ὡς ἄνθρωποι, χαρᾷ καὶ λύπῃ, θάρσει καὶ ἀτολμίᾳ, ἐλπίδι καὶ ἀπελπισίᾳ συγκεχραμένον. σοφὸς δὲ ὁ ὄκνον ἀγνοῶν, ἀνδρείαν τε καὶ ἐλπίδα μηδέποτ' ἀποβάλλων. καὶ χαίρει γε ταύτῃ τῇ ἐναλλαγῇ γνώσεώς τε καὶ ἀγνοίας ὁ σοφός. αὕτη γὰρ ὁ ἀδαμάντινος δεσμός ἐστι τοῦ αἰσθητοῦ πρὸς τὸ νοητὸν καὶ τοῦ νοητοῦ πρὸς τὸ αἰσθητόν· ἑκάτερον δ' ἐξ ἑκατέρου ζῇ τε καὶ τελειοῦται τῇ βουλήσει Θεοῦ τοῦ Παναγάθου.

Ἄγε δὴ ἄλλην Μοῦσαν νῦν ἐπικαλεσώμεθα τἀναντία τοῖς ῥηθεῖσιν ὑποκρέκουσαν ἐπί τε τῶν πρόσθεν ἁπάντων καὶ ἐπὶ τῶν ἐφεξῆς οὐδὲν ἧσσον, ἐξ ὧν ἔνια οἱ θεωρητικοὶ φιλόσοφοι, ὡς πᾶσι πρόνοιαν φανῶς δηλοῦντα προφέρονται· τῷ δρυοκολάπτῃ φέρ' εἰπεῖν, τοι-

οὗτοι μὲν οἱ πόδες, τοιαύτη δὲ ἡ οὐρὰ, τοιοῦτον δὲ τὸ ῥάμφος, ἡ γλῶσσα, ὅλος ὁ ὀργανισμὸς πέφυκεν ἵνα τὴν δρῦν ἢ τὸ δένδρον οἷός τ' ᾖ κολάπτειν καὶ ἔντομα ὑποκάτωθεν τοῦ φλοιοῦ δεξιώτατα ὑφελκύειν κἀκ τούτου τοῦ ἔργου τρέφηται ἢ τοὐναντίον ἐκ τῆς κολάψεως τοῦ δένδρου τοιοῦτος τέλος ἐγένετο; Τῶν νησσῶν οἱ πόδες ὑμενόδετοι καὶ τὰ ῥάμφη πλατέα ἵν' ἐν τοῖς ὕδασι διαιτῶνται, ἢ τοιαῦτ' ἐγένετο ἐκ τῆς ἐν τοῖς ὕδασι διαίτης; τῶν πτηνῶν τὰ ὀστᾶ κοῦφα, καὶ τὰ πνευστικὰ ὄργανα τοιαῦτα, ἵν' οἷά τε αὐτὰ πέτεσθαι ποιῇ, ἢ ἐκ τῆς πτήσεως τοιαῦτα τέλος ἐγένετο; (α) τῶν τετραπόδων τὰ ῥύγχη, ὅσα ῥίζας ἀνορύσσοντα τρέφεται, τοιαῦτ' ἐγένετο, ἵνα οἷά τε αὐτὰ ποιῇ τὴν τροφὴν πορίζεσθαι, ἢ ἐκ τοῦ τοιούτου πορισμοῦ τῆς τροφῆς; καὶ ἄλλα μυρία ἔχοι τις ἂν εἰπεῖν μέχρι τοῦδε ὅλως ἀμφισβητήσιμα ὄντα. — Ἀλλ' οἱ τά γε τοιαῦτα καὶ, ὡς ἀληθῶς αὖθις εἰπεῖν, πολλῷ γε φορτικώτερα προτείνοντες φιλόσοφοι φαῖεν ἂν ἴσως, τῇ ἑαυτῶν φωνῇ χρώμενοι, ὅτι τυφλότης ἐστὶ φανερὰ τῶν ἀμφισβητούντων, οἵ γε οὐχ ὁρῶσιν ὅτι αὐτὸ ἤδη τὸ ἔμβρυον καὶ τὸ νεογνὸν ἅμα γεννώμενον, καὶ τὰ νῦν πρὸς οὐδὲν ὀργάνων τινῶν δεόμενον, ἔχει πάντα ταῦτα κατὰ σκοπόν τινα μέλλοντα. Λέγομεν αὐτοῖς θαρρούντως μάλα ὅτι ἥκιστα ἄρα καὶ αὐτοὶ ἐνενόησαν τὴν κατὰ κληρονομίαν διάδοσιν τῶν ἀλλοιώσεων τοῦ εἴδους. Ὡς ἀξιολογώτατον δὲ παράδειγμα προτείνουσι

ἐσωτερικοῦ ὀργανισμοῦ τῶν ζῴων καὶ

———

ν ἔχοι τι; εἰπεῖν ὡς τὰ πτηνὰ πτηνά τε
τη, οὐδ' ὡς τὰ χερσαῖα χερσαῖά τ' ἦν ἐξ



μάλιστα τοῦ ἀνθρώπου. Ἀλλ' ὁ Ἑρβέριος ἤδη παγκά-
λως τὴν ἀνάπτυξιν τοῦ ἐμβρύου περιγράφων, ἄρχεταί
πως ἀμφιβάλλειν, εἴπερ τὸ ὄργανον πρότερόν ἐστι τῆς
ὕλης τῆς ὑπαρχούσης ἢ ὕστερον. Πάντα ταῦτα μέρος
τοῦ ὅλου ὄντα, ἀποδείξεως ἡσύχου καὶ γαληνιαίας προς-
δεῖται. Ἀλλ' εἴτις ἂν νοῦν ἔχῃ καὶ φρένας, φαῖεν ἂν οἱ
φιλόσοφοι, ἅμα πρὸς τὸ Σύμπαν τόδε ἀποβλέψας καὶ
τὴν θεσπεσίαν αὐτοῦ εὐταξίαν τε καὶ ἁρμονίαν ἰδὼν,
οὐχ οἷός τ' ἔσται μὴ οὐ πιστεῦσαι Νοῦν εἶναι Πανάγαθ-
θον τὸν τὰ πάντα οὕτω σοφῶς καὶ κατὰ πρόνοιαν δια-
κοσμοῦντα. Πρῶτον τοίνυν καὶ ἡμεῖς τοῦ ἔμφρονος καὶ
εὐσεβοῦς ἀναγνώστου δεόμεθα ἐπιεικῶς τὸν ἡμέτερον
λόγον ὑπομεῖναι, ἕς τ' ἂν τὸ τέλος ἴδῃ, ὅπερ ζητοῦμεν.
Φέρε δὴ ὑποτεθείσθω ὅτι ἄψυχος καὶ ἄνους χεὶρ κόκ-
κους ἢ μόρια ὕλης εἰκῇ λαβοῦσα, ἀσκόπως πάνυ εἰς
χῶρον ἐλεύθερον καὶ ἀχανῆ ἀφίησιν. Ὑποτεθείσθω δὲ
προσέτι ὅτι οὐδὲν ἄλλο σῶμα μεῖζον ἐγγύς που ὂν τυγ-
χάνει, ὅπερ ἂν αὐτὰ πρὸς ἑαυτὸ ἑλκύσειεν, οἶσθ' ὅ,τι
συμβήσεται; — πρῶτον μὲν ὄψει αὐτὰ κατὰ δύο, κατὰ
τρία, κατὰ πέντε εἰκῇ συνελθόντα, ἤτοι ἀριθμὸν ὄψει
καὶ ἀναλογίας ἀριθμῶν εὐθὺς ἐξ ἀρχῆς, αὐτό γε δὴ
τοῦτο τάξιν τινὰ πάντως· πολλῷ δὴ μᾶλλον φαίην ἂν
σοι ἔγωγε ὅτι τούτου γε τοὐναντίον ἀμήχανόν ἐστιν
ὅλως ἐν παντὶ πράγματι τυχαίῳ, ἀ τ α ξ ί α ν ἐνιδεῖν.
Ἢ ἔχοις ἄν μοι ἔν τινι οἱῳδήποτε πράγματι τυχαίῳ ἀ-
ταξίαν ἐνδεῖξαι; — Φέρε δὴ, τί ἄλλο συμβήσεται; τὰ
μόρια ταῦτα τῆς ὕλης ἀποτελέσει ὄγκους μείζονας καὶ
ἐλάσσονας, ἐν ἐλευθέρῳ δὲ τόπῳ πάντα ὄντα, σφαῖρον
κατὰ μαθηματικὴν ἀνάγκην ἀποτελέσει, οὐχὶ ἀκινη-
τοῦντα, ἀλλὰ περὶ ἑαυτὸν κινούμενον πάντα· ἐν αὐτῷ δὲ

ἄλλοι μὲν ὄγκοι ἐλάσσονες θᾶσσον περὶ μείζονας ὁδεύσουσι καὶ οἱ μείζονες αὖ περὶ ἄλλους μείζονας, τροχιάς τε κυκλικὰς καὶ ἐλλείψεις ἀποτελοῦντες, ἔνιοι δὲ περὶ τὸν ἑαυτῶν ἄξονα ἀχθήσονται θᾶσσον ἢ βράδιον· καὶ κλίσεις ἀξόνων σκοπήσεις καὶ φῶς ἐκλελυμένον καὶ διανέμησιν φωτὸς κατὰ νόμους καὶ ἐφ' ἑκάστου γε τῶν ὄγκων ἐναλλαγὰς ὡρῶν ἐναρμονίους καὶ ὅσα ἄλλα τοιαῦτα. — Ὁρᾷς τοῦτον τὸν ἄπειρον καὶ χρυσόγλαυκον τοῦ οὐρανοῦ θόλον παγκάλων ἀστέρων μαρμαρυγαῖς σελαγιζόμενον; μύρια μυριαχοῦ ἀθροίσματα ἡλίων ὡς εὐκοσμίας τε καὶ τάχους πρὸς ἄλληλα ἔχει, ὡς δὲ παγκάλως καὶ πολυπλόκως περὶ ἄλληλα χορεύει καὶ ὁ ἑκάστῳ προσήκων τῆς κινήσεως χρόνος ὡς πανσόφως ἐπιμεμετρημένος, ὥστε πάντ' ἀβλαβῆ τὸν πάντα αἰῶνα κινεῖσθαι! Πάντα τοῦτον τὸν ἔκπαγλον διάκοσμον ἐξηγήσομαί σοι, ἐὰν ἕν μοι μόνον δῷς· οὔ τοι πολλὰς δυνάμεις αἰτοῦμαί σε· μίαν μόνην δύναμιν δὸς συνεκτικὴν ἢ ἐφελκυστικὴν ἢ βαρύτητα ἢ ὅπως ἂν ἄλλως χαίρῃς αὐτὴν ἀποκαλῶν, ταύτην δὲ τῇ ὕλῃ ἐμπεφυκυῖαν, καὶ τὸ πᾶν τόδε τὸ θεσπέσιον καὶ μεγαλοπρεπὲς ἕξεις· πᾶς οὗτος ὁ διάκοσμος ἐξηγηθήσεται. — Ὁρᾷς τοίνυν, φαίη ἂν ὁ φιλόσοφος, ὡς καὶ σύ γε τὸ Πάνσοφον καὶ Παντοδύναμον τοῦ Ὑψίστου ἄκων ὑμνεῖς τε καὶ μεγαλύνεις; τί γὰρ μεῖζον τεκμήριον ἔχοι τις ἂν τελειότητος καὶ Παντοδυναμίας ἢ τῷ ἐλαχίστῳ καὶ ἁπλουστάτῳ τὰ κάλλιστα καὶ μέγιστα καὶ θαυμασιώτατα ἐς τὸν πάντα αἰῶνα ἀΐδια ἀπεργάζεσθαι; ὁρᾷς οὖν ὡς ἡ θεία φιλοσοφία Θεὸν Πανάγαθον καὶ Παντέλειον διδάσκει; ὁρᾷς τὸ κῦρος αὐτῆς καὶ μάλα ἄκοντα ἀναγκάζον σε προσκυνεῖν Θεὸν Παντοδύναμον; — Πάνυ μὲν οὖν, καὶ μάλα ἑκουσίως, νὴ τὴν σεπτὴν Ἀλήθειαν, μεγαλύνω τὸ ὄνομα αὐτοῦ τὸ ἅγιον· Ἀλλὰ σοί γε λέγω ὅτι οὐδ' οὗτος ὁ λόγος ἐς δέον ἐπικουρήσει σοι. Τότε γὰρ μόνον εἶχες ἂν βουλῆς ἔργον ὑψίστης τὴν ἔμφυσιν τῆς δυνάμεως ἐκείνης τῇ ὕλῃ εἰπεῖν, εἴπερ τὸ τέλος ἐδείκνυες τὸ ἔσχατον, πρὸς ὃ ἡ Πρόνοια βλέπουσα, τὴν δύναμιν ἐκείνην τῇ ὕλῃ ἐνεποίησεν· ἢ πολλῷ μᾶλλον (τοῦτο γὰρ καὶ τὸ ζητούμενον) ἔχοις ἂν ἱκανῶς μεταδιδάξαι τὸν διϊσχυριζόμενον ὅτι οὔπω ἀναγκαία ἀναπέφανται ἐν τούτῳ Βούλησις Ὑψίστου καὶ προσωπικοῦ Ὄντος κατὰ πρόνοιαν δρῶσα, ἀλλ' ἱκανῶς ἂν ἔχοι, εἴ τις ἂν ἐξ ἀρχῆς ἐμπεφυκυῖαν τὴν δύναμιν ἐκείνην τῇ ὕλῃ ὑπολάβοι; καὶ γὰρ ἂν οὕτω, φαίη ἄν, πάντ' ἐκεῖνα τὰ ἐν τῷ κόσμῳ θαυμάσια αὐτομάτως πως συντελεῖσθαι (α). Ἢ

---

(α) Τοιούτῳ παραδείγματι σαφηνείας χάριν μᾶλλον ἐχρησάμεθα. νοητέον δὲ τὰς ἀτόμους οὐσίας ὡς ἀρχῆθεν ἐν ἐλευθέρῳ τῷ περιέχοντι οὔσας. ἀλλ' ἀπορήσειεν ἄν τις ἴσως ὅτι πάντα τὰ ἄλλα κοσμικὰ καὶ γήϊνα φαινόμενα εἰς τὴν ἔμφυτον ταῖς ἀτόμοις ὑπάρχουσαν συνεκτικὴν ἢ τὴν βαρύτητα ἀνάγομεν, μαγνητικὴν δύναμιν καὶ ἠλεκτρικὴν καὶ θερμότητα καὶ φῶς, ὅπερ ἄϋλον ἤδη ἀποδέδεικται καὶ πάντα τὰ τοιαῦτα· τῇ κινήσει γὰρ τῶν ἀρχῆθεν μορίων τῆς ἐν τῷ Παντὶ ὕλης τὰ πάντα ἡμεῖς γε τολμῶμεν ἀποδιδόναι· καὶ αὐτὸν δὲ τὸν αἰθέρα τὸν λεπτότατον καὶ διὰ πάντων ἥκοντα, ὅνπερ οἱ νῦν δὴ περὶ τὰ τοιαῦτα δεινοὶ πᾶσι τοῖς σώμασι πρὸς τῇ ὕλῃ προςνέμουσιν, εἰς τὴν κίνησιν τῶν ἀρχῆθεν τῆς ὕλης μορίων ἡμεῖς γε ἀνάγομεν, αὐτοῖς γε τούτοις τοῖς ἐξόχοις ἀνδράσι τρόπον τινὰ ἑπόμενοι. Πᾶσα δὲ κίνησις καὶ χημικὴ λεγομένη λειτουργία ἐκ τῆς βαρύτητος πάντως προέρχεται. (ἐπιθ. τοῦ Οὐμβόλδου τὸν Κόσμον. Τ. Ε. σ. θ κ. φ. ξ.) Καὶ τὴν ἐν τοῖς σώμασι λανθά-

φιλοσοφία τοίνυν, ἣν πᾶς ἄνθρωπος ὡς σεπτὴν καὶ εὐεργέτιδα θεὰν ὀφείλει ἐξυμνεῖν, ἔν γε τοῖς τοιούτοις ζητήμασιν οὐ πέραν τοῦ πιθανοῦ προβαίνει. Καὶ ὁ τὴν τελεωτάτην καὶ ὑπὲρ ἄνθρωπον Ἀλήθειαν παρὰ τῆς φιλοσοφίας προσδοκῶν, ἀεὶ δὲ ταύτης, ὡς εἰκός γε, ἀπολειπόμενος, τελευτῶν δὴ ὅμοιόν τι ἐκείνῳ πάσχει, ὅπερ ὁ θεῖος Πλάτων ἐν Φαίδωνι λέγει· μισόλογος γὰρ ὁ ἀνὴρ γίγνεται καὶ τῆς ἱερᾶς φιλοσοφίας τρόπον τινὰ ὡς ἐνδεοῦς ἢ καὶ ἀπατηλῆς δεινὸς καταφρονητής. Τοιούτους δὲ πάλαι τε καὶ νῦν οὐκ ὀλίγους εὑρήσεις, ἀλλ' ὅσους καὶ μισανθρώπους δι' ὁμοίαν τινὰ αἰτίαν ὡσαύτως γιγνομένους. ἀμφότεροι γὰρ τῆς ἑαυτῶν φύσεως ἥκιστά γε πεῖραν λαβόντες, ὧν τ' ἂν δέωνται ἀτευκτοῦντες, μεμψίμοιροί τινες καὶ δύσκολοι παρὰ πάντα τὸν βίον καθίστανται.

---

νουσαν καὶ εἰδικὴν θερμότητα ὡσαύτως ἄν τις φαίη, ἐκ κινήσεώς τινος προέρχεσθαι· καὶ ἐπὶ μὲν τῶν ὀργανικῶν ὄντων καθόλου, τοῦτό γε φανερόν· ἀλλὰ καὶ ἐπὶ τῶν ἀνοργάνων κίνησίς τις ἀεὶ ὑπολανθάνει, ἥτις ἐστὶν ἡ τῶν μορίων πρὸς ἄλληλα ἐφέλκυσις ἤτοι ἡ συνεκτικὴ λεγομένη δύναμις, δι' ἧς γε τὰ σώματα συνέχεται. ἀλλὰ φανερὸν ὅτι ἡ μᾶλλον ἢ ἧσσον ἔντασις τῆς θερμότητος λόγον ἔχει καὶ πρὸς τὴν δεῖνα ἢ δεῖνα εὔθυνσιν, καθ' ἥνπερ ἡ κίνησις καὶ τριβὴ γίγνεται. κίνησις δὲ σφοδροτέρα καὶ οἷον σύγκρουσις τῶν τῆς ὕλης μορίων πρὸς ἄλληλα μείζων ἐν κεκλεισμένῳ χώρῳ γίγνεσθαι φιλεῖ, ὡς ἐν τοῖς σπλάγχνοις τῆς γῆς, ἔνθα μεγίστη θερμότης ἀναπτύσσεται καὶ κατὰ νόμους εἰς τὴν φλοιὸν μεταδίδοται. Αἱ φαειναὶ τοῦ ἡλίου ἀκτῖνες, αἱ ποικιλόχρωμοι τῶν ἀστέρων μαρμαρυγαὶ ἐκ τῆς τῶν σωμάτων βαρύτητος πάντως προέρχονται (α). Ἥκιστα δὲ ἡμᾶς ταῦτα λέγοντας διαφεύγει ὅτι π ρ ο κ α ί ρ ω ς τὰ τοιαῦτα εἴς τι καθολικώτατον ἀνάγομεν. τοῦτο δὲ ποιοῦμεν, οὐχ ὅτι τῶν σοφωτάτων παραινέσεων Ἀλεξάνδρου τοῦ Οὐμβόλτου ἐπιλανθανόμεθα, ἀλλὰ καὶ πρὸς τὸν ἔσχατον τῶν λόγων βουλόμενοι ἀντειπεῖν τῶν λογικῶς τε καὶ μεταφυσικῶς τὰ περὶ τὴν φύσιν, ὡς τὸ δημιούργημα, ἐξηγουμένων.

(α) Μετὰ λόγου καὶ προσπαθήσεώς τινος Χάλλευς ὁ περικλεὴς ἀστρονόμος καὶ ἐκδότης τοῦ ἀθανάτου συγγράμματος τοῦ Νεύτωνος «Philosophiae naturalis principia mathematica» ἔν τινι ᾠδῇ τὸν δαιμόνιον τοῦ Νεύτωνος νοῦν ἐγκωμιάζει, ὅστις τὸν τῆς καθόλου βαρύτητος νόμον ἀνεῦρε καὶ ἐπιστημονικῶς ἵδρυσεν.



Ἔτι δὲ πρὸς τούτοις λανθάνειν φαμὲν τοὺς πλείστους τῶν οὕτω φιλοσοφούντων ὅτι οὐ πάνυ ἀπηλλαγμένοι τυγχάνουσι τῆς Μούσης τῶν ἐ θ ν ι κ ῶ ν, ἐξωτερικῆς τε καὶ κατ' ἀνθυπόστασιν μάλιστα οὔσης, ὡς ἄμοιρον δ' ἐ σ ω τ ε ρ ι κ ῆ ς, ᾠδικῶς γ' ἀνθρωπικῆς, πεῖρας τὴν φιλοσοφίαν τοῦ νέου ἀνθρώπου διαβάλλουσι, δι' ἧς πολλῷ ἐγγύτερον τῆς συναισθήσεως τοῦ Θείου φύσει πως ἐξικνούμεθα. ταυτηνὶ τὴν γ ν η σ ί α ν ὁδὸν ὑπεδείξαμεν ἤδη ἐν τοῖς ἔμπροσθεν, εἰσαῦθίς τε κατὰ δύναμιν ὑποδείξομεν, καταλύσαντες πρότερον τὴν ἐ θ ν ι κ ὴ ν μέθοδον τοῦ θεολογεῖν.

Πρὸς τί δὴ οὖν τὸν πρόσθεν λόγον ἐξ ὑπογυίου καὶ ἰδιωτικῶς πάνυ φ θ ά σ α ς διεξῆλθον; Δύο τινὰ μάλιστα θηρῶν, τάδε·

Πρῶτον μὲν οὖν ἐκ πείρας πέπεισμαι ὅτι ἡ πρόνοια, ἥν τινες ποιοῦνται ἐκ παντὸς τρόπου τοὺς νέους κωλύειν τοὺς ἐναντίους λόγους περί τινος ἀκούειν, τοὺς ἑτέρους ἀθρόους τοῖς ὠσὶν αὐτῶν ἐμβάλλοντες, πολλῆς κουφονοίας, δυσανασχετήσεως καὶ ἀναρχίας πρόξενος γίγνεται. Καὶ γὰρ οὕτω παρεσκευασμένοις αὐτοῖς καὶ

πρὸς τοὺς ἐναντίους λόγους μηδ' ὁπωστιοῦν τὴν διάνοιαν ἐῤῥωμένοις ψιλὸς λόγος ὕστερόν ποθεν προσπτὰς, τὴν ψυχὴν αὐτῶν ἐκ βάθρων ἔσεισε, φύσει τῶν καινῶν καὶ τῆς ἐλευθερίας ἐφιεμένην καὶ διὰ τὴν κώλυσιν πάντας τοὺς πρόσθεν λόγους ἀποστρεφομένην. Πολλοὺς γὰρ ἄν τις παῖδας μὲν εὐσεβοῦντας ἴδοι, μειράκια δὲ καὶ ἄνδρας διὰ κουφόνοιαν καὶ ἀπαιδευσίαν ἀσεβοῦντας, μακρᾷ ἕξει ἑτεροζήλως καὶ τοὺς ὕστερον λόγους προσιεμένους· Εἴ τινες ἀσεβεῖς ἄκοντες (ἑκὼν γὰρ οὐδεὶς) ἐν ἀνθρώποις ὤφθησαν, οὗτοι παῖδες ὄντες διὰ μυωπίαν τῶν διδασκόντων ὑπὸ τῶν ἑτέρων λόγων ἐτράφησαν, τῶν ἑτέρων πάμπαν ἀποκωλυόμενοι. Οἱ δ' οὕτω τοὺς νέους διδάσκοντες φανεροί εἰσιν ὡς οὐδ' αὐτοὶ τὸ ἄσειστον καὶ ὅλως ἀκράδαντον χῦρος τῆς ἱερᾶς Θρησκείας συναισθάνονται· πᾶς γὰρ ἐναντίος λόγος, ἐξ ἀπορίας τὸ πρῶτον ὁρμώμενος καὶ φιλομαθείας τὴν Ἀλήθειαν ἐπιῤῥώνυσι καὶ προσφιλεστάτην ἀπεργάζεται. Ταῦτα δ' εἰρήσθω μοι ἐκείνῳ τῷ γένει τῶν παρ' ἡμῖν ἀνθρώπων, οἵτινες πάντα ὁμοίως ἐναντίον λόγον καὶ πρὸς ἐπίῤῥωσιν τοῦ ἐναντίου καὶ ἀληθοῦς λεγόμενον ἀποβάλλουσιν, ἀξιοῦντες τοὺς νέους ὅλως ἀνηκόους εἶναι τῶν ἐναντίων λόγων, βλακώδεις τινὰς καὶ προσελήνους τὸν πάντα αἰῶνα διαμένειν καὶ θερμουργοὺς καὶ ἀμειλίκτους πρὸς πᾶσαν ἀληθινὴν μάθησιν.

Δεύτερον δὲ, εἰ καὶ κατὰ Θείαν Πρόνοιαν οἱ καιροὶ ἐκεῖνοι ἤδη παρῆλθον, ἐν οἷς γε ὁ Ἰορδάνης Βρούνων ἐπὶ πανθεϊσμῷ ἐν Ῥώμῃ δημοσίᾳ ὑπὸ τῶν ἱερέων ἐκαίετο, ὁ δὲ Γαλιλαῖος ἐπὶ στρέβλης πατρικῶς τε καὶ φιλοστόργως τεταμένος μειλιχίᾳ φωνῇ τε καὶ μαχαίρᾳ ἐδιδάσκετο τῇ παλαιᾷ Γραφῇ ὁμολογῆσαι καὶ τὴν ἑαυτοῦ



ψυχὴν διασῶσαι, ὁ δὲ Κεπλέριος ἱερῷ βουλεύματι τῆς ἐν Στουτγάρτῃ συνόδου ἐνουθετεῖτο τὴν μάργον γλῶσσαν χαλινῶσαι καὶ παύσασθαι τοῦ λοιποῦ τῷ ἀσεβεῖ Κοπερνίκῳ ἑπόμενος, βλασφημίας ἀτασθάλους περὶ τὰ θεῖα βάζειν, ὁ δὲ Οὐόλφιος τῇ χρηστῇ τῶν θεολόγων ὑποθημοσύνῃ καὶ τῇ ἀρωγῇ τινος γελωτοποιοῦ ἢ κρανοφόρων τινῶν λίαν εὐφυῶν παρὰ τῷ Ἀρηϊφίλῳ βασιλεῖ τῆς Πρωσσίας εὐδοκιμούντων οὐ μόνον τῆς ἐν Ἅλαις διδασκαλικῆς καθέδρας ἀπεβλήθη, ἀλλὰ καὶ πέραν τῶν ὁρίων τοῦ Πρωσσικοῦ βασιλείου ἐντὸς τεσσαράκοντα ὀκτὼ ὡρῶν μετὰ τῆς ὑπὸ ζώνης φερούσης καὶ βαρυνομένης συζύγου ἐπὶ ποινῇ ἀ γ χ ό ν η ς ἐφυγαδεύθη· ὁ καιρὸς οὗτος λέγομεν παρῆλθεν ἤδη· καὶ ὁ ἐπιεικὴς καὶ ἱστορίας ἐμβριθοῦς ἡμμένος ἀνὴρ, τὴν ἀνθρωπότητα κατὰ σμικρὸν τελειουμένην γιγνώσκων, οὐχ ὑπεράγαν τοῖς θεολήπτοις ἐκείνοις χαλεπαίνει, ἀλλὰ πολλῷ μᾶλλον οἰκτείρει, ὡς ἀμαθίᾳ, προλήψει καὶ δεισιδαιμονίᾳ πρὸς τὴν Ἀλήθειαν ἐξαγριαινομένους. Ἀλλ' εἴ τις ἂν καὶ τὰ ὑπό τινων τῶν νῦν λεγόμενά τε καὶ πρασσόμενα σκέψαιτο, ὁμολογήσει πάντως ὅτι, εἰ καὶ ὁ φόβος τοῦ γέλωτα παρὰ τοῖς πλείστοις τῶν γε νῦν ἀνθρώπων ὀφλισκάνειν τὴν θεοληψίαν αὐτῶν ἀμωσγέπως περιστέλλει, οὐχ ἧσσον μέντοι διάθεσιν καὶ προαίρεσιν ἱκανὴν οἱ ἄνδρες εἶχον τὰ ἀσεβῆ τεκνία καὶ διὰ πυρὸς, εἰ δέον, ἐξαγνίζειν. κατὰ τοσοῦτον δὲ τῶν πρότερον διαφέρουσι, καθ' ὅσον ἐκεῖνοι μὲν πεποιθήσει τινὶ τυφλῇ καὶ ζήλῳ, ἀγρίῳ μὲν ἀλλ' εἰλικρινεῖ, ἔπρασσον πάνθ' ὅσα ἐνόμιζον ὑπὲρ τοῦ Θείου πράσσειν· οὗτοι δὲ ἐπ' αὐτοφώρῳ συλλαμβάνονται ὅτι ὅσα λέγουσιν οὐδ' αὐτοὶ ἐνδομύχως πιστεύουσι. πάντων δὲ τούτων ἀμέσως ἢ ἐμμέσως οὐδὲν

ἄλλο αἴτιον ἢ ἡ ἀνέκαθεν τῆς Θρησκείας σύγχυσις μετὰ τῆς φιλοσοφίας.

Ἀλλὰ καὶ πολλοὶ ἄλλοι ἄνδρες σοφώτατοι καὶ φιλανθρωπότατοι ἐπεχείρησαν εἰς ταὐτὸν τὴν Θρησκείαν τῇ φιλοσοφίᾳ συνάψαι, ἐν οἷς καὶ ὁ ἔξοχος Λεϊβνίτιος, ἀλλ' ἥσσονα ἑαυτῶν εἰπόντες ἀπήλλαξαν. Φύσει γὰρ ἀδύνατον τὸ πρᾶγμα. Καὶ παρ' ἡμῖν δὲ σοφός τις ἀρχιερεὺς καὶ διδάσκαλος Εὐγένιος ὁ Βούλγαρις τῷ Λεϊβνιτίῳ ἴσως ἑπόμενος, πολλαχοῦ ἐπειράθη τὰς τῶν ἱερῶν Γραφῶν ῥήσεις φιλοσοφικοῖς δόγμασι συμβιβάσαι. πολυμαθέστατος ὁ ἀνὴρ καὶ ἐκ παντὸς τρόπου προθυμούμενος τοὺς Ἑλλήνων παῖδας ὡς δυνατὸν πλεῖστα διδάξαι καὶ δὴ καὶ ἀστρονομίαν βουλόμενος διδάξαι, ἀλλ' ὡς ἔοικε τὸν ληρώδη ζῆλον καὶ τὰς διαβολὰς τῶν τότε ἀντιπάλων εὐλαβούμενος, ὑπεισηγεῖται μὲν λαθραίως πως τὸ ἀστρονομικὸν σύστημα τὸ ὑπὸ Κοπερνίκου ἐπινοηθὲν, ὑπὸ δὲ Κεπλερίου καὶ Γαλιλαίου καὶ Ἀλλευίου ἀναπτυχθὲν καὶ ὑπὸ τοῦ μεγάλου Νεύτωνος δαιμονίως καὶ ἐπιστημονικῶς ἤδη ἀποδειχθὲν, ἀλλ' ἐν τῷ φανερῷ, τοιούτων ἀνδρῶν λελησμένος, τολμᾷ αὐτὸ ἄντικρυς διαψεῦσαι, τοὺς σακκοφόρους μᾶλλον φοβούμενος ἢ Τύχωνα τὸν περιώνυμον ἀστρονόμον μιμούμενος. Διὰ δειλίαν οὖν παράτολμος γίγνεται καὶ τὴν Ἀλήθειαν λατρεύων, τῷ ψεύδει ἑκουσίως ἐμμένει, ὡς μαρτυρεῖ σαφῶς τὸ «περὶ τοῦ συστήματος τοῦ παντὸς» πόνημα. Καὶ ὁ ἀνὴρ ἱκανώτατα καὶ τὰ τοῦ Βάκωνος ἐγίγνωσκεν, ὃς ἄλλα τε πολλὰ εἶπεν, ἐν δ' αὐτοῖς καὶ τόδε· ὅτι βλάσφημον ἂν εἴη καὶ ἀνόσιον πρᾶγμα ψεῦδος ὑπὲρ τοῦ Θείου ἐθέλειν λέγειν. Ἀλλὰ τοιοῦτοί εἰσιν οἱ καρποὶ τῶν προθυμουμένων τὰ ἀσυμβίβαστα συμβιβάσαι καὶ συγκλῶσαι τὰ ἀσύγκλωστα.



Χωριστέον τοίνυν κατ' οὐσίαν τὴν Θρησκείαν, ὡς ἕτερόν τι ὂν, τῆς φιλοσοφίας, οὕτω γὰρ ἑκάτερον τὴν οἰκείαν ὁδὸν εἰς ὄφελος τῆς ἀνθρωπότητος βαδιεῖ. Αἱ δ' ἐν φιλοσοφίᾳ ἀπορίαι περὶ ψυχῆς, ἀθανασίας, Θεοῦ καὶ τῶν τοιούτων οὐκ ἀπεργάζονται τοὺς ἀνθρώπους ἀτασθάλους καὶ ἀθέους· ἐπεὶ ἡ τοῦ φιλοσόφου διάνοια οὔπω ἀσφαλῆ καὶ τελέαν πίστιν τῷ ἀνθρώπῳ ἐνεργάζεται, ἀλλὰ μόνη ἡ Θρησκεία. Ἥκιστα τοίνυν θεωρητέον τοὺς νῦν δὴ περὶ τῶν τοιούτων ἐπιστημονικῶς ἀποροῦντας ὡς ἀθέους, ἀλλὰ καθ' ἃ προελέχθη, ὡς νέαν φάσιν, νέαν ἀναγέννησιν τούτου τοῦ ἀθανάτου ἐν θνητοῖς πράγματος, τῆς φιλοσοφίας ἡμῖν ἐξαγγέλλοντας. Δύο δὲ περιόδους ἡ φιλοσοφία ἀνέκαθεν μέχρι δεῦρο διήνυσεν· Διὸ καὶ ἡ ἱστορία αὐτῆς διχῆ διήρηται, εἴς τε τὴν ἀρχαίαν καὶ τὴν νέαν. Ῥητέον δὲ νῦν ὡς ἐν τύπῳ λαβόντας καὶ τὰ ἑκατέρᾳ ἰδιάζοντα πλεονεκτήματα.

Α'· μὲν οὖν ἡ ἀρχαία φιλοσοφία ὥς τι ὅλον συνεχὲς φύσει πως καὶ ἀναλογίᾳ ἡρμοσμένον συντετέλεσται, ἀρχὴν, μέσον καὶ τέλος διακριδὸν ἡμῖν ἐμφαίνουσα· καὶ εἰκονικώτερον εἰπεῖν, ὡς καὶ πᾶν ἄλλο ἔργον τῶν πάλαι (λέγω δὲ τῶν Ἑλλήνων) πλαστικώτερον εἶδος περιβέβληται.

Β'· δὲ οὐδεμίαν θεωρίαν, οὐδὲ ἓν ἐπινόημα γενναῖον, οὐδὲ ἓν δόγμα βριθός τι ἔχον εὑρήσεις παρὰ τοῖς νέοις φιλοσόφοις, ὅπερ οἱ πάλαι ἢ οὐκ εἶπον ἢ οὐχ ὑπηνίξαντο ἢ οὐ συνῄσθοντο· καὶ κατὰ τοῦτο ἄρα φανερὰ ἡ ἐκ τῆς πάλαι φιλοσοφίας προσγιγνομένη ἡμῖν ὠφέλεια,

καθ' ὅσον καὶ τὸ τὴν ἀρχὴν καὶ ἐπίδοσιν παντὸς πράγματος σπουδαίου ἀνασκοπεῖν ὠφέλιμον ὑπάρχει.

Γον τὰ πάλαι ἔθνη τρόπον τινὰ εἰλικρινέστερα ἦν τῶν νῦν δὴ ἀκμαζόντων καὶ τῶν φιλοσόφων ἕκαστος κατά γε τὰ ἑαυτοῦ δόγματα καὶ τὴν διαγωγὴν τοῦ βίου ἐῤῥύθμιζεν· ὁ Πυθαγορικὸς φιλόσοφος Πυθαγορικὸν βίον διῆγεν, ὁ Ἐλεατικὸς Ἐλεατικόν, ὁ ἡδονικὸς ἡδονικόν, ὁ κυνικὸς κυνικόν, ὁ στωϊκὸς στωϊκὸν καὶ οὕτως ἐφεξῆς. Ὁ γὰρ λόγος εἰκὼν τῆς ψυχῆς ὑπάρχει, λέγομεν δ' αὖθις καὶ τῆς ἀγωγῆς· Διὸ οὐ πάνυ τι τὴν γνώμην τινῶν προσιέμεθα λεγόντων (ἐν οἷς καὶ γαλάτης τις ὁ Βοσάγγιος), ὡς εἴ τις ἐθέλει τὸν βίον καὶ τὸ ἦθος ἑκάστου τῶν νεωτέρων φιλοσόφων μαθεῖν, παραλαμβανέτω τὰ ἐκ διαμέτρου ἀντικείμενα τοῖς ὑπ' αὐτοῦ λεχθεῖσι καὶ οὕτως ἀποτελέσει τὸν χαρακτῆρα τοῦ φιλοσοφοῦντος· καὶ γὰρ τοιαῦτά πού φησιν ὁ μὴ ἐμβριθῶς τοῖς λεγομένοις ἐγκύπτων· ἀναμάρτητον γὰρ ὁ πᾶς αἰὼν ἀνέφηνε τὸ πρόσθεν ῥηθέν, ὅτι ὁ λόγος ἐστὶ τῆς ψυχῆς εἰκών· ὁμολογητέον μέντοι ὅτι οὐ τοσοῦτον ἀκριβῶς ὁ τῶν νεωτέρων βίος τοῖς δόγμασιν αὐτῶν ἥρμοσται, ὥσπερ παρὰ τοῖς πάλαι. Τοῦτο δὲ πολλῶν ἕνεκα συμβαίνει, ὧν ἕν ἐστι καὶ τόδε· τῶν γὰρ νῦν ἀνθρώπων ὁ ἰδίᾳ βίος οὐχ οὕτως ἀπρὶξ ἔχεται τοῦ δημοσίᾳ, ἀλλ' ἤτοι ἀπολείπεται ἢ προσωτέρω αὐτοῦ τείνει, ὥστε ὁ φιλοσοφῶν δι' ἀγάπην, φιλίαν, συνήθειαν καὶ ὡς ἑνί γε λόγῳ εἰπεῖν, διὰ τὸ φιλόκοινον ἀναγκάζεται ταῖς ὑπαρχούσαις περιστάσεσιν ὑπείκειν, ἔστι μὲν ὅτε βελτιούμενος, ἔστι δ' ὅτε διαφθειρόμενος. Ἀλλ' ἡ πάλαι φιλοσοφία προτερεῖ πως τῆς νέας ὡς ἀκριβέστερον ἡμῖν τὴν ὅλην κοινωνίαν τῶν τηνικαῦτα ἀνθρώπων ὥς γ' ἐπὶ τὸ πολύ, δηλοῦσα.



Καὶ Δον ὅπερ ἐκ τοῦ ἄρτι λεχθέντος παραλαμβάνεται· κόμπου γὰρ λέξεων τοῖς πλείστοις δυσλήπτων, πολλάκις καὶ τὰ πάνυ σαφῆ καὶ ὡς ἔπος εἰπεῖν τετριμμένα καὶ ἀγοραῖα ὑπὲρ μοῖραν, διὰ τὸ ἀκοινώνητον ἴσως, σεμνύνοντος σχεδόν τι πάμπαν ἡ πάλαι φιλοσοφία ἀπηλλαγμένη φαίνεται. Διὸ καὶ προσιτὴ τοῖς πᾶσιν ὑπῆρχεν. Εἰ γὰρ ἦν σοφιστῶν τερθρεία, ῥήμασι μεγαλείοις τὰς κούφας αὐτῶν γνώμας κοσμούντων, τοῦτο μάλιστα διὰ παντὸς ἔθηρα, τὸ τὰς ἀκοὰς τῶν πολλῶν πάσῃ τέχνῃ κατακηλεῖν, ὅπερ πάντῃ διάφορον τῆς γλώσσης ἐστίν, ᾗ περ οἱ νῦν δὴ φιλοσοφοῦντες χρῶνται. —

Προέχει δ' αὖ ἡ νῦν φιλοσοφία τῆς πάλαι κατὰ δύο μάλιστα ταῦτα· Αον μέν, ὡς ἂν τις φαίη, κατὰ ποσόν· οὐ γὰρ μόνον πᾶν ὅ,τι καὶ λόγου τινὸς ἄξιον τῶν τοῖς πάλαι ἔθνεσι δεδογμένων ἐκ παντοίων παραδόσεων παρείληφεν, ἀλλὰ καὶ ἑκάστη τῶν ἄλλων ἐπιστημῶν, ἐξ ὧν γε τὰ καθόλου πορίζεται, ἐκ παντοίων ἀφορμῶν πείρᾳ ἀμφιλαφεῖ ηὐξήθησαν.

Βον δὲ κατὰ ποιόν· Ἐξ οὗ γὰρ χρόνου ἡ θεία χάρις τοῦ χριστιανισμοῦ ὡς θαλπνὴ καὶ ζείδωρος ἀκτὶς τὸν γνόφον τῶν πρώην προλήψεων διεσκέδασε καὶ τὸ ἀνθρώπειον πᾶν ἐν ἑνὶ Θεῷ ἁγίῳ ἑνιαῖον ἀνέδειξε, τῇ θειοτάτῃ τῆς ἰσότητος ἰδέᾳ αὐτὸ θηλάσασα, ἔρωτα, ἀγάπην, φιλίαν καὶ ἑνί γε λόγῳ εἰπεῖν, τὸ θυμοειδὲς πᾶν ἐξαγνίσασα, γενναῖόν τι καὶ ἀθέσφατον βάθος ταῖς τῶν ἀνθρώπων ψυχαῖς ἐνεποίησεν, ὅπερ ἐν ζωγραφικῇ, μουσικῇ, ποιήσει καὶ λόγῳ παντὶ προδήλως πάνυ ἐκφαίνεται. Ὁ Θεάνθρωπος ἐτίμησε τὸν ἰδίᾳ ἄνθρωπον· ἡ δὲ Θεοτόκος καθαγιάσασα τὸ ἑαυτῆς φῦλον, καθηγίασε καὶ τὸν ἄνδρα· ὁ ἰδίᾳ ἄνθρωπος πέποιθεν ἐν Χριστῷ ὅτι

θείας τινὸς μοίρας μετέχων, ἀθάνατόν τι ὄν ἐστι καὶ ἀνώλεθρον. πάντων δὲ τῶν ἐθνικῶν φιλοσόφων μόνος ὁ θεῖος Πλάτων τῆς τῶν πάλαι ψυχρότητος κρείσσων φαίνεται (α). Ὁ θεῖος λόγος τοῦ Πλάτωνος ὡς ἑωθινὴ αὖρα γλυκερᾶς ἡμέρας θάλπει καὶ μειλίσσει καὶ γοη-

(α) Ἀλλ' ἐν αὐτῷ τῷ Φαίδωνι, ἐν ᾧ γε τὴν τελευτὴν τοῦ ἀοιδίμου Σωκράτους ἄληστον τῷ ἀνθρωπίνῳ γένει ἐς πάντα τὸν αἰῶνα κατέστησε, ψυχρότητός τινος τῶν πάλαι οὐ τελέως ἀπήλλακται. αὕτη δ' ἦν ἡ ὀλιγωρία καὶ καταφρόνησις τοῦ γυναικείου φύλου ὡς φύσει ὑποδεεστέρου ὄντος τῶν ἀνδρῶν καὶ τῆς σπουδαίας ὁμιλίας αὐτῶν ὅλως ἀναξίου. « Ἀπαγέτω τις ταύτην οἴκαδε » ἦν ἡ τοῦ Σωκράτους παρηγορία πρὸς τὴν Ξανθίππην, ἧς τὴν χαλεπότητα καὶ ἀτοπίαν πάντες εὖ ἴσμεν, ὡς καὶ τὴν τῶν ἀνδρῶν ἀμέλειαν, ἀλλ' οὐκ ἂν οἷοίτε εἴημεν μὴ οὐκ οἴκτῳ τινὶ καὶ αἰσθήματι δυσαρέστῳ καταληφθῆναι, ὁρῶντες αὐτὴν καὶ τὸ παιδίον μετὰ κλαυθμῶν τε καὶ γόων οἴκαδε ἀπαγομένην καὶ τῆς ὑστάτης τοῦ συζύγου καὶ συμβίου παραμυθίας στερουμένην, εἰ καὶ ἐν τῷ τέλει τοῦ διαλόγου πάλιν αὖθις τὸ γύναιον προσερχόμενον εἰσάγεται. Καὶ ἐν τῷ πρόσθεν δὲ βίῳ ὁ Σωκράτης, πειρώμενός ποτε πεῖσαι τὸν ἑαυτοῦ παῖδα ( Ξενοφ. Ἀπομνημ. ) ὅτι ὀφείλει τὴν τῆς μητρὸς χαλεπότητα φέρειν, μόνον τοὺς λόγους τῆς ὠφελείας εἰς μέσον προφέρεται. Ἡ ἁγνοῦ ἄρα τοῦ ἤθους ἀναθάλλησις, ἡ ἔκφανσις τῆς ἐν ἡμῖν θείας ἐπιπνοίας, ἀγάπης, ἰσότητος, δῶρον πολυτιμότατόν ἐστι τοῦ θείου χριστιανισμοῦ. Ὁ Βόλνεϋς (προσφιλὴς γάρ μοι ὁ ἀνὴρ ἀνέκαθεν), ὁ ἁγνὴν καὶ παγκάλην ψυχὴν ἔχων Βόλνεϋς, πάθη εἰδωλολατρικὰ ὡς αὐτὸν τὸν χριστιανισμὸν καταπολεμῶν, οὐ συνῄδει ἑαυτῷ ἀχάριστόν πως τέκος τοῦ Χριστοῦ ὤν. πόθεν γὰρ ἐκείνην τὴν θείαν τῆς ψυχῆς διάχυσιν παρέλαβεν, ἥτις τὸν νέον ἄνθρωπον κοσμεῖ τε καὶ ἁγιάζει;



τεύει τὴν ἡμετέραν ψυχήν, ὡς ἐκ συναισθήσεως ἱερωτάτης ἐκπνέουσα, περὶ ἧς ὁμολογητέον ὅτι παρὰ τοῖς πάλαι οἷον νεναρκωμένη ἦν διὰ τὴν τύρβην τῶν μεθ' ἡμέραν. Ἀλλ' οὐχ ἧσσον καὶ αὐτὸς ὁ Πλάτων ἐλάνθανεν ἑαυτὸν τοιαύτην συναίσθησιν ἔχων, οἷον δὴ τὸ πᾶν κῦρος τῇ διανοίᾳ καὶ τῷ λόγῳ ἀπονέμων. Καὶ οἱ περὶ ἀθανασίας δὲ τῆς ψυχῆς λόγοι αὐτοῦ, τίσεως τε καὶ ἀμοιβῆς τῶν ἐνθάδε βεβιωμένων, ὅσοι ἐν τῷ Φαίδωνι καὶ ἀλλαχοῦ διαλεκτικώτερόν τε καὶ μυθικώτερον ἐκτίθενται, οὔπω οἷοί τέ εἰσι τὴν τοῦ ἀνθρώπου ψυχὴν τελέως ἀποπληρῶσαι· πάντες γὰρ πειθοῦς, οἵας γε δὴ ἡμῖν διὰ τοῦ ἱεροῦ εὐαγγελίου ἐνεργαζομένης, προσδέονται. Ὁ δὲ Θεάνθρωπος οὐ τέχνῃ διαλεκτικῇ τὸ ἀνθρώπειον περὶ τῶν τοιούτων ἐδίδαξεν, ἀλλὰ λόγον τῇ ἠθικῇ ἡμῶν συναισθήσει ἐνεφύσησεν ἱερόν. Μάτην ἄρα οἱ τὰ πάντ' ἐκλογικευόμενοι καὶ ἐλευθεριάζειν δοκοῦντες, μηδ' εἰδότες ἴσως ὅσον τὸν ἄνθρωπον συμποδίζουσι, καὶ αὐτὴν τὴν θείαν τῆς Ἀληθείας ἀποκάλυψιν, ἤτοι αὐτὴν τὴν θρησκείαν τῷ λόγῳ μόνῳ καὶ τῇ διανοίᾳ ληπτὴν εἶναι ἀποφαίνονται, ὥστε θρησκείαν καὶ φιλοσοφίαν ἓν καὶ ταὐτὸν ἄμφω εἶναι. Οἱ τά γε τοιαῦτα λέγοντες ἀπειρίᾳ τῆς ἀνθρωπικῆς φύσεως λέγουσιν. Ὁ Χριστιανισμὸς ἄρα ὁ γενναῖόν τι βάθος ταῖς τῶν ἀνθρώπων ψυχαῖς ἐνεργασάμενος, τὸ ἐν αὐταῖς τέως κεκοιμημένον σφόδρα ἐγείρας, ἔμελλε πάντως διαλάμψειν καὶ ἐν πᾶσι τοῖς ἀνθρωπείοις λόγοις τε καὶ ἔργοις.

Εἰ καὶ οἱ ἀμφὶ τὸν ἡδύφωνον Βιγκελμᾶνα καὶ συχνοὶ τῶν νῦν ἠσκημένῃ τῇ διανοίᾳ εἰς τὸν χρυσοῦν τῶν πάλαι αἰῶνα προσαναβαίνοντες καὶ τρόπον τινὰ ἐν τῇ ἀνταυγείᾳ αὐτοῦ θαλπόμενοι, ὅλῃ τῇ ψυχῇ ταῖς μυθολο-

γικαῖς χάρισι τῶν καλῶν τεχνῶν διαχέονται, πᾶν δ' ὅ,τι αὐτοὶ ἀλλοθέν ποθεν παραλαβόντες συναισθάνονται, τοῦτο ἐν αὐτοῖς τοῖς ἑλληνικοῖς καλλιτεχνήμασιν ἐνορᾷν δοκοῦσιν (α)· εἰ καὶ συχνοὶ καὶ μάλα σοφοὶ ἄν-

(α) Ταύτης τῆς περὶ τὰ τοιαῦτα ὑπερβολῆς τῶν ἀρχαιολόγων πολλὰ μὲν ἄλλα αἴτια, οὐχ ἥκιστα δὲ καὶ τόδε· τὴν γὰρ ἑαυτῶν συναίσθησιν καὶ διάνοιαν τῇ τῶν πάλαι εἰς ταὐτὸν συγχέοντες, τὰ δὲ καλλιτεχνήματα τῶν πάλαι ὡς ἔκφανσιν ὅλης τῆς θρησκευτικότητος τῶν εὐμούσων Ἑλλήνων ὑπολαμβάνοντες, ἐοίκασι καθ' ἑαυτοὺς ὡδέπως λέγειν· τουτὶ τὸ ἄγαλμα, ὅπερ ὁ πάλαι ὡς τοῦ δεῖνος ἢ δεῖνος θεοῦ εἰκόνα ἐλάτρευεν, ἔδει πάντως αὐτῷ τοιόνδε ἢ τοιόνδε θαυμασμὸν καὶ σέβας ἐμποιεῖν· ὀφείλω ἄρα κἀγὼ νῦν τὴν ἐμὴν διάνοιαν καὶ συναίσθησιν συντείνας, πάνθ' ὅσα ὁ πάλαι ποιῶν ἢ θεώμενος αὐτὸ συνῃσθάνετο ἀνακαλῦψαι καὶ συναισθέσθαι. Ἴθι τοίνυν, ὦ Μοῦσα, ᾆδε, ἄν τ' ἐγὼ συναισθάνωμαι, ἄν τε μή. Οὐδὲ γὰρ ὄναρ ἴσως ἐπῆλθε τοῖς πάλαι, ὅσα περ ἔνιοι τῶν νῦν σοφῶν αὐτοῖς βίᾳ περιάπτουσι. Πολλοὶ δὲ τῶν ἀρχαιολόγων μελετῶσι τὰ παλαιά, οὐχ ὡς παλαιὰ ἵνα ἀεὶ ἐπὶ τὰ πρόσω χωροῖεν συμπληροῦντες, ἀλλ' αὐτῶν γε τῶν παλαιῶν χάριν, παρὰ πάντα τὸν βίον ἐν τῷ παλαιῷ κόσμῳ συγκλειόμενοι καὶ ζῶντες, τῶν μὲν πάλαι παρὰ Μοῖραν γλιχόμενοι, τῶν δὲ νέων παντάπασιν ὀλιγωροῦντες. Χαρίεις δέ τις καὶ μάλα κομψὸς συγγραφεὺς ἔργον τι ὡς ἀληθῶς πάγκαλον τοῦ Κανόβα μονονοὺ ἐς τὸ μηδὲν ἀποῤῥίπτει δι' ἄλλην μὲν αἰτίαν εὔλογον οὐδεμίαν, ἀλλ' ἢ ὅτι οὐχ ὡς ἄλλαι τινὲς τὰ τοῦ Φειδίου ἢ Πραξιτέλους ἀκριβῶς πάνυ ἐμιμήθη! Οὐδὲν θαυμαστὸν εἰ τὰ τεχνήματα τῶν νῦν τεχνιτῶν οὐκ ἴσης τιμῆς τοῖς πρώην ἀξιοῦται· σπάνις γὰρ νῦν ὡς ἀληθῶς καλλιτεχνῶν, σπάνις ποιητῶν· καὶ καλλιτέχναι τινὲς τὴν κυνῆν τοῦ Ἄϊδος ἐπιθέμενοι καὶ τὰ πτηνὰ τοῦ Ἑρμοῦ πέδιλα ὑποδεθέντες, τὸν δὲ νέον κόσμον λακτίσαντες, εἰς τὸν πάλαι ἐπήρθησαν ἀφανεῖς ὅλως γενόμενοι.



δρες παντοίως ἰσχυρίζονται ὅτι τὰ νέα καλλιτεχνήματα μηδαμοῦ ἂν φανείη πρὸς τὰ τῶν πάλαι παραβαλλόμενα, ὀφείλομεν ἡμεῖς γε αὐτοὺς τοὺς σοφοὺς ἄνδρας σεβόμενοι, εἰλικρινῶς μάλα ὁμολογῆσαι ὅτι οὐδ' ὁπωστιοῦν ἂν ἔχοιμεν νοῆσαι ὅπως ποτέ τις τῶν νῦν ἀνθρώπων ἔχοι ἂν τελέως τὴν ἑαυτοῦ ψυχὴν ἀποπληρῶσαι τὰ τῶν πάλαι ἔργα θεώμενος· οὐδέν τε ὑποστελλόμενοι παῤῥησιαζόμεθα ὅτι μάτην ἡμῖν ἡ μελισταγὴς τοῦ Βιγκελμᾶνος γλῶσσα σέβας πειρᾶται ἐμποιῆσαι πρὸς τὸν καλόν, φέρ' εἰπεῖν, Ἀπόλλωνα ὡς πρὸς θεόν· Μειράκιον γὰρ χάριεν καί πως ψυχρόν μοι φαίνεται ὁ Ἀπόλλων πρὸς τὰ ἔργα τοῦ Μιχαὴλ Ἀγγέλου ἢ τοῦ Ῥαφαὴλ παραβαλλόμενος. Τῶν γὰρ πάλαι ἡ Μοῦσα, καί τοι τοῦ θείου μετέχουσα, ψυχρά πως φαίνεταί μοι πρὸς τὴν τῶν Ἰταλῶν, Ἱσπανῶν, Ἄγγλων καὶ Γερμανῶν. Λέγω δὲ πᾶν ὅ,τι αὐτὸς συναισθάνομαι, μηδ' ὁτιοῦν τῇ τῶν σοφῶν κατεχόμενος γνώμῃ. Μοῦσα γὰρ ἄνευ βάθους ἀληθείας, ἤτοι Μοῦσα μὴ ὁλοσχερῶς τῆς τοῦ ἀνθρώπου συναισθήσεως κυριεύουσα, ἔχει τι παιγνιῶδες καὶ ψυχρόν. Καὶ καλλιτέχνημα μανίας Πλατωνικῆς ἄμοιρον ἡμιτελὲς ἐξ ἀνάγκης ἐστί. Πλατωνικὴ δὲ μανία ὅλως ἀδύνατος παντὶ καλλιτέχνῃ καθίσταται, ὃς ἂν ἑαυτοῦ γε ἐν τῷ ποιεῖν συνείδησιν ὡς ἑτέρου τινὸς ὄντος ἔχει, ἢ τὸ ἔργον, ὅπερ ποιεῖ. ἐὰν γὰρ μὴ ὅλην τὴν ἑαυτοῦ φύσιν ὁ καλλιτέχνης θείῳ πυρὶ οἷον τετηκυῖαν μετὰ μανίας τινὸς εἰς τὸ ποιούμενον διαχέῃ, ἐὰν μὴ πρότερον θ ρ η σ κ ε υ τ ι κ ῶ ς πιστεύσῃ ὅ,τι ἂν ποιῇ, τὸ καλλιτέχνημα ἐξ ἀνάγκης ἤτοι ἔργον νοῦ ἢ μαθήσεως ἔσεται (καὶ τοῦτο εἴη ἂν ἀφόρητος τῶν πρώην ἐπανάληψις ἢ μίμησις) ἢ ἔργον οὐχ ὅλης τῆς εὐφυΐας αὐτοῦ οἷον ἔκμαγμα,

ἀλλὰ μοίρας τινὸς μόνον αὐτῆς. Ἡ δὲ τοιαύτη συνείδησις ἐν τέχνῃ διχασμός ἐστι· καὶ ὁ διχασμὸς οὐδεπώποτε ἔργον θαυμάσιον παράγει. Ὡσαύτως δὲ λεκτέον καὶ περὶ τοῦ τῶν καλῶν ἀπολαύοντος· ἀπολαύει γάρ τις τῶν καλῶν ἔργων τότε μόνον ὡς ἀληθῶς τε καὶ γνησίως ὁπόταν αὐτός, ὥσπερ ὁ ποιήσας, δημιουργὸς τρόπον τινὰ τοῦ ἔργου γίγνηται. Ὁπόταν ἅμα τῇ θέᾳ τοῦ καλλιτεχνήματος πῦρ ἱερὸν ὑπεισδῦν, τὴν ἑαυτοῦ ψυχὴν ἐκκαύσῃ καὶ αὕτη οἷον ταχεῖσα, τῷ καλλιτεχνήματι διαχυθῇ καὶ εἰς ταὐτὸν αὐτῷ ἁρμοσθῇ. Ἐν ὅσῳ γὰρ ἂν ὁ θεατὴς τὴν ἑαυτοῦ ψυχὴν καὶ τὸ καλλιτέχνημα μὴ ὡς ἓν καὶ ταὐτὸν γενόμενον συναισθῆται, ὡς δ' ἕτερόν τι ἢ μᾶλλον ὡς μόριόν τι ἑαυτοῦ θεᾶται, φανερὸν ὅτι οὐ τελέως αὐτοῦ ἀπολαύει. Ἀλλ' ὁ διχασμὸς οὗτος ὁ ἐν τέχνῃ τότε μόνον αἴρεται, ὅταν τὸ καλλιτέχνημα οἷόν τ' ᾖ τῆς ὅλης φύσεως τοῦ ἀνθρώπου κυριεῦσαι, καὶ ὡς ἐν ἄλλῳ λόγῳ εἰπεῖν, ὅταν μανίας Πλατωνικῆς ἔργον ὂν τυγχάνῃ καὶ μετὰ μανίας Πλατωνικῆς θέαμα. Ἀλλ' ἡ τοιαύτη μανία ἐκ θειοτέρας τινὸς ἐπιπνοίας τῷ ἀνθρώπῳ ἐπιφοιτᾶν φιλεῖ. Ἡ δὲ θεία ἐπίπνοια οὐχ ἐν παντὶ αἰῶνι ἡ αὐτὴ ὑπάρχει. Καθ' ὅσον γὰρ ὁ ἄνθρωπος καθολικώτερον τὸ θεῖον συναισθάνεται, κατὰ τοσοῦτον καὶ ἡ ἐπίπνοια καὶ μανία καθολικωτέρα γίγνεται. Πάντα μὲν οὖν τὰ καλὰ ἔργα τῶν πάλαι Ἑλλήνων θαυμασμοῦ ἄξιά ἐστιν καὶ μελέτης ἐμβριθοῦς· πάντα γὰρ μετὰ μανίας Πλατωνικῆς πάντως ἐποιήθη· ἀλλ' οὐ χρὴ ἀμνημονεῖν ὅτι ἐκείνη ἡ ἐπίπνοια καὶ κατοχὴ οὐκέτι ἡμῖν ὁλοσχερὴς ἐμφύεται, οὐδὲ ὁλοσχερῶς τῆς ἡμετέρας ψυχῆς κυριεύει, ἀλλ' ἤτοι μάθησις ἢ ἐπίπνοια μερικὴ παρ' ἡμῖν τανῦν καθέστηκε. πάντα γὰρ τὰ ἔργα τῶν



πάλαι Ἑλλήνων πλαστικὸν χαρακτῆρα ἔχει καὶ πεπερασμένον· τὰ δὲ τοῦ νέου ἀνθρώπου ἔχει χαρακτῆρα ζωγραφικὸν καὶ ἐπ' ἄπειρον τείνοντα· ὅταν, φέρ' εἰπεῖν, τὴν Θεοτόκον τοῦ Ῥαφαὴλ ἢ τοῦ Μουρίλλου ἢ τὰ θεσπέσια τοῦ Μιχαὴλ-Ἀγγέλου ἔργα καὶ τοῦ Τιτιανοῦ τὸν Χριστὸν μάλιστα θεῶμαι, ἡ ψυχή μου πτεροφυήσασα εἰς τὸ καθόλου καὶ ἄπειρον ἀνίπταται· οὐ γὰρ μόριόν τι φύσεως τῆς ἀνθρωπικῆς τὰ καλλιτεχνήματα ταῦτα ἐκφαίνει μοι, ἀλλ' ὅλην τὴν φύσιν τοῦ ἀνθρώπου καθηγιασμένην, ἤτοι ἰδέαν καθολικωτάτην· καθόλου μέν τι πάντως καὶ ὁ Ἀπόλλων, ἡ Ἄρτεμις, ἡ Ἀφροδίτη ἐκφαίνει, ἀλλ' οὐ καθολικώτατα ὅλην τὴν φύσιν τοῦ ἀνθρώπου ἐκθειάζει (α). Ἐὰν δέ τις τῶν καλῶν ἔργων κριτικὸς διϊσχυ-

---

(α) Ὁ Λαοκόων τὸ θαυμάσιον τοῦτο τῆς ἑλληνικῆς (Ῥοδίας) τέχνης μνημεῖον ἐν πολλοῖς πάντως πλεονεκτεῖ ἑκατέρου τῶν δούλων τοῦ Μιχαὴλ Ἀγγέλου. Ἀλλ' οὗτος ὁ δοῦλος δεινοπαθοῦσαν τὴν ἀνθρωπότητα καθόλου παρίστησιν. ἡ δὲ ἀγάπη καὶ ἡ ὑψηλὴ τῆς ἰσότητος συναίσθησις, ἣν ἐν τῇ γενναίᾳ τοῦ ποιήσαντος ψυχῇ ἢ καὶ ἐν σοί γε αὐτῷ ὁ θεατὴς ἀνακαλύπτεις, τὴν ὅλην ἀνθρωπότητα διατραγῳδεῖ· οὐ μέν τοι ἐπίσης καθολικὸν φαίνεται καὶ τὸ τοῦ Λαοκόωντος πάθος, μερικώτερον πάντως ὑπάρχον· ὁ γὰρ δοῦλος αὐτὸ τὸ ἱερὸν εὐαγγέλιον τρόπον τινὰ ἐκπροσωπεῖ, εὐσπλαγχνίαν καὶ ἀπὸ τοῦ ἴσου ἀγάπην πρὸς τὴν θλιβομένην ἀνθρωπότητα ἐμφαίνων. κατὰ τοῦτο ἄρα, δηλονότι κατ' οὐσίαν γε, τὸ τοῦ Μιχαὴλ Ἀγγέλου ἔργον καὶ αὐτοῦ τοῦ Λαοκόωντος προέχει, εἰ καὶ κατὰ τὸ σκευαστικὸν τῆς τέχνης μόριον αὐτοῦ ἀπολείπεται. Τιτιανὸς δὲ ὁ πολυένδοξος «τῶν ζωγράφων βασιλεὺς» τῶν Ἑνετίῃσιν μετὰ μεγάλης πομπῆς εἰς Ῥώμην ποτὲ ἐλθών, ὅτε ὑπὸ Παύλου τοῦ Γʹ προσεκλήθη, καὶ τὰ τῶν πάλαι ἀριστοτεχνήματα ἐπιστρεφῶς μελετήσας, ἅμα

ρίσηται ὅτι καὶ τὸ τοῦ Ἀπόλλωνος εἶδος ἢ τῆς Ἀρτέμιδος καθολικώτατόν τι ἐκφαίνει, ἴστω ὅτι διαβάλλει πως τοὺς περὶ τὰς καλὰς τέχνας λόγους, ὡς μηδὲν ἄρα ἀληθὲς λέγοντας· Πῶς γὰρ ἂν εἴη δυνατὸν τὸ τῆς Ἀρτέμιδος ἄγαλμα καθολικώτατόν τι ἐκφαίνειν, ὅπερ ὑπ' αὐτοῦ τοῦ καλλιτέχνου πρὸς ἔκφανσίν τινος μερίου τῆς ἀνθρωπικῆς φύσεως ἐποιήθη; οὕτω γὰρ ἂν κατὰ διάθεσίν τινα καὶ τύχην τὰ καλὰ πάντα κρίνεσθαι. ἐὰν γὰρ ἔργον τι καὶ ἄλλα πάμπολλα ἢ μᾶλλον εἰπεῖν πᾶν ἄλλο σημαίνῃ ἢ ὅπερ ὁ καλλιτέχνης ἐν τῇ διανοίᾳ εἶχεν,

---

εἰς τὴν ἑαυτοῦ ἐπανελθὼν, ἐζωγράφησε τὸν Χριστὸν τῷ ἀκανθίνῳ στεφάνῳ στεφόμενον. Ἐν θαύματι δὲ ἔτι, ὡς ἔοικε, τὸ ἀπὸ τοῦ Λαοκόωντος ἀπίνδαλμα ποιούμενος, ἐζωγράφησε τὴν τοῦ Χριστοῦ κεφαλὴν παρεμφερεστάτην τῇ τοῦ δεινοπαθοῦντος Λαοκόωντος· καὶ οὕτω τὸ θεῖον καὶ καθολικώτατον πάθος τῷ κατὰ μέρος ἀντήλλαξεν. Ἔνιοι δὲ τῶν περὶ τὰ καλὰ ἐμπείρων ἀποδοκιμάζουσι ταύτης τῆς εἰκόνος τὸ συμπαθὲς, ἴσως δὲ καὶ ἥμερον καὶ, ὡς ἔπος εἰπεῖν, ἀνθρωποειδὲς τῶν δημίων ἦθος, ὡς τὴν τραγικὴν ἀλήθειαν παραβλάπτον καὶ τὸ τῆς συναισθήσεως βάθος τρόπον τινὰ σμικρύνον. Ἀλλ' οἱ θαυμασταὶ τῶν πάλαι ἀριστοτεχνημάτων αὐτό γε τοῦτο μάλιστ' ὤ φ ε ι λ ο ν θαυμάσαι, τὴν παγκάλην μετριότητα τοῦ Τιτιανοῦ, ἐκ διαμέτρου ἀντικειμένην τῇ ὑπερβολῇ τοῦ Ρουβενσίου, τοῦ Ριβέρα, πάντων δὲ μάλιστα Ἀλβέρτου τοῦ Δουρίου. Τὸ δέ γ' ἡμέτερον, τοσόνδε μόνον ἐπὶ τοῦ παρόντος ἐθέλομεν ὑπαινίξασθαι· ὅτι ὁ Τιτιανὸς πολλῷ μᾶλλον οἷός τ' ἂν ἐγένετο εἰς μετάνοιαν συγκινῆσαι τὸν ἑαυτοῦ ἑταῖρον Ἀρετῖνον, τὸν ἐχιδνόγλωσσον, εἰ ἐδωρήσατο αὐτῷ ἀντιγραφὴν τοῦ θαυμασίου ἔργου ὅπερ il Cristo della moneta καλούμενον ἐν τῇ ἀξιολογωτάτῃ πινακοθήκῃ τῆς ἐπὶ τῷ Ἄλβι Φλωρεντίας (τῆς Δρέσδης) ἀνάκειται. Χαρίεις δέ τις



αὐτὸ ποιῶν, οἴχονται οἱ περὶ καλλιτεχνημάτων λόγοι ψοῦδοι καὶ μάταιοι ὅλως. Ἀλλὰ φαίη τις ἂν πᾶν καλλιτέχνημα παλαιὸν ἢ νέον αὐτοῦ γε τοῦ καλοῦ τέλος καὶ ἔκφανσιν εἶναι· τοῦ δὲ καλοῦ ἀεὶ τοῦ αὐτοῦ ὄντος καὶ τὸ καλλιτέχνημα ἄρα ἀΐδιον ὑπάρχειν. Σύμφημι ὅτι τὸ καλλιτέχνημα ἀΐδιόν πως ὑπάρχει. Ἀλλ' ὅταν καλὸν λέγῃς ἢ ὑψηλὸν, ὡς τίνος ὄντος αὐτοῦ τοῦ καλοῦ, αὐτοῦ τοῦ ὑψηλοῦ καθ' αὑτὸ, τί καλὸν, τί ὑψηλόν ἐστιν; Τὸ Τί ἀπόκριναι· «τῷ καλῷ τὰ καλὰ γίγνεται καλά.» Ἀλλὰ τίνος ὄντος τοῦ καλοῦ καθ' αὑτὸ, Τί καλὸν, καλόν ἐστί τε καὶ λέγεται; αὐτὸ γὰρ τὸ καλὸν καθ' ἑαυτὸ, ἤτοι χωριστὸν, οὐχ ὑπάρχει, ἀλλ' ἢ κατὰ Πλάτωνα μόνον, ὥστε μηδ' ἂν οὐσίαν εἶναι καὶ ὑπόστασιν τοῦ καλλιτεχνήματος· τὸ καλὸν ἀχώριστόν ἐστι τοῦ Τινός. — Ἀλλ' ἔστι τοῦτό γε, ὃ λέγομεν, τὸ τοῦ Ἀπόλλωνος εἶδος πεπερασμένον τι καὶ χάριεν μόνον ἐκφαίνει, ὡσαύτως τῆς Ἀρτέμιδος, Ἀφροδίτης καὶ λοιπῶν, πλὴν

---

καὶ μάλα σοφὸς περιηγητὴς ἱππότου Μελιταίου ἀνδρὸς ἀπείκασμα ὑπὸ τοῦ Γεωργιῶνος, ἔντεοῦ καὶ τούτου ὄντος καὶ συγχρόνου τῷ Τιτιανῷ, ἐν τῇ στοᾷ τῶν ἀγαλμάτων τῆς κλεινῆς Φλωρεντίας ἀνακείμενον ἰδὼν (ὅπερ καὶ ἡμεῖς ἐθεωρήσαμεν) ἰσχυρίζεται ὅτι κατὰ τοῦτο τὸ ἐν τῇ φύσει παράδειγμα ὁ Τιτιανὸς καὶ τὸ πρόσωπον τοῦ Χριστοῦ ἐζωγράφησεν. ἔστω, ἀλλὰ πάντες ἴσμεν ὡς ὁ ἀνέφικτος εἰκονογράφος τὸ ἐν τῇ φύσει ὑπάρχον ἐξιδεάζετο ἢ μᾶλλον εἰπεῖν τὸ ἀληθὲς ἄνθος τῆς καθόλου ἀνθρωπικῆς φύσεως λυρικῇ συναισθήσει, ὡς λαμπάδι περιαυγάζων, ἔκφαντον ἐν χρώμασιν ἐποίει. τὸ τοῦ Χριστοῦ πρόσωπον ἐν ταύτῃ τῇ εἰκόνι ἐστὶν ὁ νέος ἄνθρωπος ἐν Θεῷ ζῶν τε καὶ λάμπων.

τοῦ Διός καὶ τῆς Ἀθηνᾶς· ταῦτα γὰρ καθόλου τι σημαίνει· καὶ γὰρ καὶ ἐν τέχνῃ ὡς ἐν παντὶ πράγματι ἀνθρωπείῳ συνέχειαν καὶ κατὰ σμικρὸν τελείωσιν ἡμεῖς γε δεχόμεθα.

Ὁ μὲν οὖν Ἕλλην τῆς τύρβης τῶν βιωτικῶν πραγμάτων ἀντεχόμενος, τοῦ παρελθόντος τρόπον τινὰ ὀλιγώρει, ἐν τῷ παρόντι μόνον ζῶν, τοῦ δὲ μέλλοντος σχεδόν τι πάμπαν λελησμένος. Ὁ δὲ νέος ἄνθρωπος, πᾶν τοὐναντίον, τοῦ παρόντος, ὡς ἔπος εἰπεῖν, ἐπιλανθανόμενος, ὡς συνέχειαν δὲ τοῦ παρελθόντος ἐκλαμβάνων, εἰς τὸ μυστηριῶδες καὶ ἄπειρον μέλλον ὅλος βυθίζεται. Ἡ δὲ βαθεῖα τοῦ μέλλοντος καὶ ἀπείρου μελέτη ἐνεργάζεται τῇ ψυχῇ συναίσθησιν καθολικήν, τοῦ καθόλου καὶ μεγαλοπρεποῦς ἐφιεμένην. Ἡ πολυθεΐα, ἥπερ πέφυκε τὸν ἄνθρωπον ἐν τοῖς ἐπὶ μέρους ἐμπορπᾶν, κατελύθη, καὶ ἀντ' αὐτῆς ἡ γνησία Μονοθεΐα ἐξέλαμψεν, ΜΙΑΝ ἀνθρωπότητα διδάσκουσα, ἱερᾷ πνοῇ ἀγάπης καὶ ἰσότητος ἀναβιωσκομένην. Ὅθεν δήποτ' ἂν ὁ ἄνθρωπος νῦν ὁρμηθῇ, ὁπουδήποτ' ἂν ἀποπλανηθῇ, εἰς ἑστίαν ἱερὰν τέλος κατάγεται. Τοῦτό ἐστι τὸ Καθόλου, τοῦτο τὸ κατ' ἐξοχὴν Ἀληθές, Ἄπειρον, Ἀΐδιον, οὐσία παντὸς καλοῦ ἐν νόμῳ τοῦ ἀγαθοῦ. Ἡ δὲ μελέτη καὶ ἔφεσις τούτου γε τοῦ Ἑνὸς καὶ Ἀπείρου ἁγνὴν καὶ καθολικὴν τὴν συναίσθησιν ἀπεργάζεται, πάσης ΕΘΝΙΚΗΣ προλήψεως καὶ ἀνισότητος ἀπηλλαγμένην. Αὕτη ἡ τῆς συναισθήσεως καθολικότης ἐκφαίνεται ἐν παντὶ λόγῳ τε καὶ ἔργῳ τῶν νῦν ἀνθρώπων, οὐχ ἥκιστα δὲ καὶ ἐν φιλοσοφίᾳ.

Κατὰ ταῦτα ἄρα ἡ νέα φιλοσοφία τῆς πάλαι προέχει· προέχει ἄρα οὐκ ὀλίγον. Ἀλλὰ καὶ περὶ τούτου εἰσαῦθις διὰ μακροτέρων.



Ἐκ πάντων οὖν τῶν πρόσθεν ἀτελῶς πάνυ ῥηθέντων δῆλόν που γένοιτ' ἂν ὅτι τῆς μὲν πάλαι φιλοσοφίας ἡ ἱστορία κυριώτατος κλάδος ἐστὶ τῆς ὅλης ἀρχαιολογίας, τῆς δὲ νέας, σύνοψις ἡ συγκεφαλαίωσις τῶν ἐπιστημῶν καὶ πάσης ἄλλης ἀνθρωπικῆς παιδείας· ἀμφοτέρων δ' ἅμα τῆς τε παλαιᾶς καὶ νέας οὐσιωδέστατος καρπὸς ἡ κατ' ἐξοχὴν γνῶσις τοῦ ἀνθρώπου, ὡς καθόλου τινὸς ὄντος ἀϊδίου καὶ κατὰ νόμον τελειουμένου. Ἐντεῦθεν ἄρα δῆλον καὶ ὅσον τὸ ὄφελος ἀπὸ τῆς παρούσης ἐπιστήμης, τῆς Ἱστορίας τῆς φιλοσοφίας.

Ῥητέον δέ μοι βραχέα τινὰ καὶ περὶ ἀρχῆς ταύτης τῆς ἐπιστήμης.

Ἀρχὴν γὰρ καὶ οἷον πυρῆνα αὐτῆς ἔχοι τις ἂν εὑρεῖν καὶ παρά τισι τῶν πρὸ Σωκράτους πεφιλοσοφηκότων, οἵ γε δὴ ἐν τοῖς ἑαυτῶν πονήμασι καὶ τὰ τοῖς πρόσθεν ἄλλως δεδογμένα, ὡς τῆς ἀληθείας πάμπαν ἀπολειπόμενα, παρεισηγοῦντο ἵνα τὰ ἑαυτῶν περιφανέστερα καταστήσειαν. Καὶ οὐδὲν θαυμαστόν, εἴτις τῆς τῶν τότε ἀφελοῦς δόξης ἀναμνησθείη, τὴν ἀλήθειαν πεπερασμένον τι καὶ μιᾷ ἀνθρωπικῇ διανοίᾳ ἐφικτὸν εἶναι οἰομένων. Ὁ δὲ θεῖος Πλάτων κἀν τούτῳ καθολικώτερος ἐκείνων φαίνεται· Ἐκ παντοίων γὰρ φιλοσοφημάτων, ὅσα ἀλλήλοις συνῇδεν ἢ αὐτός γε συνᾴδειν ἐποίησε, τοῖς ἑαυτοῦ δαιμονίως συγκαταμίσγων καί, ὡς ἔπος εἰπεῖν, συνδιαλλάσσων, καθολικὸν καὶ ἀξιάγαστον σύστημα ἀπειργάσατο.

Ἀλλὰ πρῶτον ἱστοριογράφον τῶν τοῖς πρόσθεν φιλοσόφοις δεδογμένων τὸν Ἀριστοτέλη μάλιστα ὀνομαστέον, ὃς καὶ ἰδίας πραγματείας συνέγραψεν, ὧν τινὲς μὲν τῷ χρόνῳ ἠφανίσθησαν, τινὲς δὲ καὶ εἰς ἡμᾶς δια-

σώθησαν. Καθολικὴν δὲ τῶν πρότερον φιλοσοφημάτων σύνοψιν ὡς ἐν προοιμίου μέρει ποιεῖται ἐν τῷ πρώτῳ τῶν μετὰ τὰ φυσικά, ἐν οἷς τὴν πρώτην κατ' αὐτὸν λεγομένην φιλοσοφίαν, τὴν θεωρητικὴν διεξέρχεται. Ἀλλὰ καὶ οὗτος τὰ πρώην εὑρημένα κατά γε τὰ ἑαυτῷ δόξαντα καὶ ἔστιν ὅτε βίᾳ προσέλκων ἑρμηνεύει καὶ οὐκ οἶδ' ὅπως ἐνίοις αὐτῶν ἔννοιαν ὑποβάλλει, ἥν περ ἀρχῆθεν οὐκ εἶχεν. (ἀλλὰ καὶ τούτου πέρι οὐχ ὁ τυχὼν ἀγών, οὐδὲ τοῦ παρόντος καιροῦ.)

Καὶ ἄλλοι δὲ συχνοί, μάλιστα δὲ τῶν περιπατητικῶν, ἱστορικὰς πραγματείας συνέγραψαν, αἵτινες ἡμῖν οὐ περιγεγόνασι· παραδόσει δὲ τὰ ὀνόματα τῶν συγγραφάντων γιγνώσκομεν, ἐκ τῶν ὕστερον ἀπανθισμάτων καὶ μάλιστα Διογένους τοῦ Λαερτίου, ὃς ἥκιστα φιλοσοφικοῦ συνειρμοῦ ἐπαΐων, τὰς τῶν φιλοσόφων γνώμας καὶ τὰ περὶ αὐτῶν θρυλλούμενα, οὐδ' ὁπωστιοῦν τὸ βρίθος αὐτῶν νοῶν, φύρδην μίγδην ἡμῖν παραδέδωκε· κοῦφος γὰρ ὁ ἀνὴρ παντάπασιν ἦν, καί τοι φιλομαθής· ἀλλ' εἰλικρινής τε καὶ δι' αὐτὴν τὴν κουφότητα πάντῃ ἀβλαβής· οὐδὲν γὰρ ἄλλο, ὡς ἔοικεν, ἐν τούτῳ τῷ πονήματι ἐθήρευσεν ἢ τὴν ἑαυτοῦ ἀβελτηρίαν δι' ἐπιγραμμάτων εἰς αἰῶνα τὸν ἅπαντα παραδιδόναι. ὥστε μηδαμῶς εἰς τὸ μηδὲν, τούς γε τοιούτους ἀποῤῥιπτέον, ὥς τινες δύσπιστοι ὑπεράγαν ποιοῦσιν, ἀλλὰ πολλῷ μᾶλλον δι' αὐτὴν αὐτῶν τὴν κουφότητα πάνυ ἀξιοπίστους ἐν πολλοῖς ἡγητέον.

Παραλείποντες δὲ καὶ ἄλλα ἄλλων δοκίμια παλαιότερα, λέγομεν ὅτι καὶ τῆς ἱστορίας τῆς φιλοσοφίας, ὡς ἐπιστήμης, δημιουργοὺς καὶ πατέρας τοὺς Γερμανοὺς ἐγκωμιαστέον. Γερμανικῆς γὰρ βαθυνοίας καὶ ἀτρύτου



ἐπιμελείας καρπὸς καὶ οὗτος γνήσιος ὑπάρχει. Φανερὸν ἄρα ὅτι παρὰ Γερμανοῖς πολλὰ καὶ ἀξιάγαστα περὶ ταύτην τὴν ἐπιστήμην συγγέγραπται. Σκοποῦντι δέ μοι τὸ μέγα ὄφελος αὐτῆς καὶ προθυμουμένῳ τὸ κατὰ δύναμιν τοῖς ἐμοῖς πολίταις ἐπικουρῆσαι, ἔδοξεν ἐπιχειρῆσαι ἕν τούτων τῶν πολλῶν τῶν περὶ τῆς παρ' Ἕλλησι φιλοσοφίας ἐξελληνίσαι. Ἀλλὰ τὰ μὲν αὐτῶν μακρότερα καὶ ὡς ἂν φαίη τις, ἐπιστημονικώτερα πρὸς τὴν πρώτην χρείαν ὑπάρχει, αἱ δὲ μονογραφίαι πολλοῦ μὲν λόγου ἄξιαι, ἀλλὰ τὴν τοῦ ὅλου γνῶσιν κατ' ἀνάγκην προϋπολαμβάνουσαι. Ἐκ δὲ τῶν ἐγχειριδίων χρησιμώτατον ἔκρινα τὸ τοῦ Σβεγλερίου, ὅπερ καὶ ἐν αὐτῇ τῇ Γερμανίᾳ οὐκ ὀλίγον ἐπαινεῖται.

Ὅτι μὲν οὖν ἡ ἐξελλήνισις πονήματος φιλοσοφικοῦ γερμανιστὶ γεγραμμένου τῶν χαλεπωτάτων ἔργων ὑπάρχει, τοῦτό γε τοῖς παρ' ἡμῖν εὐμούσοις φανερώτατον. Ἀλλ' ἱστορίαν τῆς ἑλληνικῆς φιλοσοφίας ἐξελληνίσαι ἀκριβῆ μελέτην προαπαιτεῖ ἑνὸς ἑκάστου τῶν φιλοσοφημάτων κατὰ τὰς ἀρχικὰς πηγάς. Εἰ δέ τι τοῦ συγγράμματος μετέβαλον ἢ κατὰ τὰς πηγὰς ἐπηύξησα, τὸ τοῖς Ἑλλήνων παισὶν ὠφέλιμον ἐπιζητῶν, τοῦτ' ἐποίησα. Ἐπεὶ δὲ τὸ πόνημα ἀπὸ Θάλητος τοῦ Μιλησίου ἄρχεται, τὰ πρότερον, ὡς μὴ ὤφελε, σιγῇ παραδραμὸν, προὐθυμήθην μὲν αὐτὸς ἀφήγησιν προοιμιώδη περὶ τούτων προτάξαι ἤτοι «περὶ ἀρχῆς καὶ γενέσεως τῆς παρ' Ἕλλησι φιλοσοφίας», ἀλλ' ἀρξάμενος ἐν αὐτοῖς σχεδὸν τοῖς προοιμίοις πολλῶν ἕνεκα ἠναγκάσθην ἐπισχεῖν, τὴν συνέχειαν εἰσαῦθις ἀναβαλών. Βουλόμενος γάρ, εἰ καὶ πάνυ ἀτελῶς, ὅσον δ' ἔμοι γε ἐφικτὸν, τοῖς Ἑλλήνων παισὶν ὑποδεῖξαι, εἴπως ἐκ τῆς ἐπιστημονικῆς συγκρί-

σεως τῶν γλωσσῶν πρὸς ἀλλήλας ἐπ' αὐτὴν τὴν ἀρχὴν τοῦ Ἰνδοευρωπαϊκοῦ καὶ Σημιτικοῦ φύλου, τῶν δύο κυριωτάτων κλάδων τῆς καταχρηστικῶς λεγομένης Καυκασιακῆς φυλῆς ἔστι προςαναβῆναι, ἐξ ὧν πᾶσα συλλήβδην ἡ ἀνθρωπικὴ παιδεία καὶ φιλοσοφία προῆλθεν, ὅπως ἔκ τε ταύτης τῆς κατ' ἀρχὴν συγγενείας ἑκατέρου πρὸς ἑκάτερον τῶν φύλων καὶ τῆς ὕστερον ἐπιμιξίας αὐτῶν τῆς πρὸς ἄλληλα τὴν ἐν τοῖς θρησκεύμασι καὶ φιλοσοφήμασιν ἐνυπολανθάνουσαν ὁμοιότητα πορισθῶ, βουλόμενος δ' ἅμα ὅσον οἷόν τε σαφῶς τοῖς ἐντευξομένοις ἀφηγηθῆναι καὶ εὖ εἰδὼς ὅτι τά γε τοιαῦτα ἔτι καὶ νῦν τῇ ἑλληνικῇ νεολαίᾳ σχεδόν τι πάμπαν ἄγνωστα ὑπάρχει, ἐξηνέχθην πως εἰς λόγους μακροτέρους καὶ ἐν αὐτοῖς τοῖς προοιμίοις κατέμεινα. Ὅμως δ' οὖν προτάξω ταῦτα ὅπως νῦν ἔχει, συγγνώμην τε τοὺς ἐπιεικεῖς ἀναγνώστας ἐξαιτούμενος καὶ ἅμα ὑπισχνούμενος ἐν οἰκείῳ τόπῳ τὴν συνέχειαν αὐτῶν εἰςαῦθις ἀποδώσειν. Πέποιθα δ' ὅτι οἱ παρ' ἡμῖν τὰ τοιαῦτα σοφοὶ φύσει καὶ ἀγωγῇ ἐπιεικεῖς ὄντες ἀνέξονταί μου ταῦτα ψελλίζοντος εἰς τὴν ἐμὴν προθυμίαν μᾶλλον ἀποβλέποντες καὶ τὴν παρ' ἡμῖν μεγάλην δυςχέρειαν περὶ τοῦτο τὸ εἶδος τῆς μαθήσεως. (α) Περὶ δὲ τῆς ἀρχαϊζούσης γλώσσης ᾗ περ ἐν τούτῳ τῷ πονήματι ἐχρησάμην οὐκ ἀπολογήσομαι λέγων ὅτι αὐτό γε τὸ πρᾶγμα καὶ ἡ ἐνύφανσις τῶν πάλαι φιλοσοφικῶν φθεγμάτων καὶ λόγων φύσει πως τὸν ἀρχαϊσμὸν ἀπήτει ἤ τι ἄλλο τοιοῦτον, ἀλλὰ θαῤῥούντως μάλα λέγω ὅτι ἥξει ποτὲ χρόνος, ὅτε ἡ μέλλουσα γενεὰ θαυμάσεται ὅπως ποτὲ ἡμεῖς γε νῦν ἠδυνήθημεν ἄλλην γλῶσσαν τὴν κοινὴν λεγομένην δημιουργῆσαι καὶ τοῦ εἴδους αὐτῆς κατὰ τὸ κυριώτατον μέρος, καθ' ὅ γε οἱ ὑποθετικοὶ λόγοι κατασκευάζονται, οἳ δὴ καὶ λογικῶς ὑπὲρ τὸ τρίτον μέρος τῆς ὅλης διαλεκτικῆς πλοκῆς ἀποτελοῦσιν, ἀλλοκότως πάνυ ξενίσαι, τύπους τινὰς εἰκῇ καὶ κατὰ ψευδῆ ἀναλογίαν πρὸς τὰς ῥωμανικὰς γλώσσας παραλαμβάνοντες, ὅλως τῇ φύσει ἤγουν τῷ εἴδει τῆς ἑλληνικῆς γλώσσης ἀντιβαίνοντας· οὐδὲ τοῦτο ἐν νῷ λαβόντες ὅ,τι ἀναμάρτητον ὁ πᾶς αἰὼν ἀνέδειξεν· ἐὰν γὰρ ἔθνος τι ἀλλότριον εἶδος γλώσσῃ τινὶ περιάψῃ, προδηλότατον ὅτι καὶ αὐτὸ ἀλλότριόν ἐστιν αὐτῆς τῆς γλώσσης, ἥν περ οὕτως ἀλλοιοῖ. Ὥστε εἴπερ οἱ ἐθελήσαντες ἡμᾶς ὡς μιγάδας ἀναδεῖξαι καὶ ταύτης τῆς μαθήσεως ἀμηγέπῃ μετεῖχον, ἴστε σαφῶς ὅτι τοῦτό γ' ἂν τεκμήριον ἀναντίῤῥητον ἐς μέσον προέθεντο ὅτι ξενικὸν εἶδος προθυμούμεθα τῇ ἑλλήνων γλώσσῃ περιάψαι, ὅπερ, εἰ ἑλληνιστὶ τεθραμμένοι ἦμεν, οὐδ' ὁπωςτιοῦν ἂν ἐδεχόμεθα, ὡς ὅλως ἄσημον καὶ πάντῃ ἀνάρμοστον τῷ ἑλληνισμῷ ὑπάρχον. Ἀλλ' ὁ λαὸς τἀναντία τούτου μαρτυρεῖ, ὡς καὶ πρότερόν μοι ἄλλοθι εἴρηται, γνήσιον τὸ ἑλληνικὸν εἶδος διασώσας, καίπερ λιτὸν εἰς ἄκρον καὶ πρὸς εὐμούσων ἀνδρῶν χρῆσιν ἀνεπαρκές. Εἰ δέ τις τῶν ζηλωτῶν ἐξαφθεὶς ἐθελήσειεν ἡμῖν πρὸς ταῦτα ἀντειπεῖν· λέγομεν αὐτῷ θαῤῥούντως ὅτι μάτην πονήσει· οὗτος γὰρ ὁ λόγος ἀναμφίλεκτος ἤδη ἀποδέδεικται. Ἔθνη μέν γε πολλὰ πολλάκις τὴν ἑαυτῶν γλῶσσαν διαφθείρει, καθ' ὕλην πολλαχῶς ξενίζοντα· ὅταν ὅμως ἔθνος γλῶσσαν ἔχον συνθετικήν, εἶδος κατὰ τὸ κυριώτατον ἀναλυτικῆς γλώσσης παρα-

(α) Ταυτηνὶ τὴν πραγματείαν μέλλομεν ἐκδώσειν μετὰ τοῦ λόγου τοῦ πρὸς τὴν Ἑλλ. νεολαίαν.

λαμβάνῃ, πάντῃ ἄλλην ἔννοιαν κατὰ τὴν ἑαυτοῦ φωνὴν ἔχον καὶ ταῦτα ἐπ' ἀδείας πολλῆς ποιῇ, δῆλον ὅτι τὸ ἔθνος τοῦτο ἀλλότριον τῆς φωνῆς ἐστιν, ἥν περ οὐκέ τ' ἄν τις εἴποι ὅτι ἁπλῶς διαφθείρει, ἀλλὰ καταλυμαίνεται καὶ ὅλως ἀφανίζει. Εἰ μὲν οὖν τινες τῶν παρ' ἡμῖν λογίων, ὡς πεζοὶ οἰχνεύοντες παρὰ Λύδιον ἅρμα, Γουλιέλμου τοῦ Οὐμβόλτου ἀπολείπονται, οὐδὲν θαυμαστόν, οὐδὲ ψεκτόν· Οὐμβόλδος τε γὰρ ὁ ἀνὴρ καὶ ἐν βαθυσόφῳ Γερμανίᾳ τραφείς τε καὶ παιδευθείς. Ἀλλ' ὅτι μέν τοι καὶ κατ' αὐτό γε τοῦτο τοῦ σοφοῦ ἐκείνου ἀνδρὸς μακρῷ ἀπολείπονται, ἐν ᾧ γε ἐθήλασαν, ἐπαιδεύθησαν καὶ κύριον μελέτημα διὰ παντὸς τοῦ βίου προείλοντο, τοῦτ' ἔστι κατὰ τὴν ἐπιστημονικὴν διάγνωσιν αὐτῆς γε ταύτης τῆς πατρίου φωνῆς, τοῦτό γε, οἶμαι, πάνυ θαυμαστὸν καί πως ἀνάρσιον τοῖς πᾶσι φανεῖται. καὶ γὰρ ὁ Οὐμβόλδος ὁπωσδήποτ' ἐν ἄλλῃ γλώσσῃ τραφεὶς καὶ εἰς πολλὰς ἄλλας δεκάδας γλωσσῶν μεριζόμενος, διέγνω μέντοι τὴν φύσιν οὐ μόνον τῆς τοῦ χρυσοῦ αἰῶνος ἑλληνικῆς (ἐπεὶ τοῦτό γε οὐδὲν θαυμαστόν), ἀλλὰ καὶ αὐτῆς ταύτης τῆς παρ' ἡμῖν καθομιλουμένης γλώσσης μακρῷ κάλλιον ἐνίων τῶν παρ' ἡμῖν περὶ μόνα τὰ ἑλληνικὰ γράμματα διὰ παντὸς τοῦ βίου νυχθημερὸν ἀσχολουμένων. Ταῦτα δ' οὕτως ἐνεργῶς λέγοντες, κινδυνεύομεν ἐνίοις δόξαι πρῶτον μὲν πικροὶ καί πως προπετεῖς εἶναι· ἀλλὰ καί τοι εἰλικρινῶς τοὺς παρ' ἡμῖν λογίους καὶ πολλαχῶς ὑπὲρ ἡμῶν μοχθήσαντας σεβόμενοι, ἀχάριστοι δὲ ἥκιστα ὄντες καὶ τὴν μέμψιν αὐτῶν ἐς τὰ μάλιστα εὐλαβούμενοι, ἀλλὰ πρὸς τὸ μεγαλεῖον τοῦ πράγματος ἀποβλέποντες, ἐξ οὗ γε πᾶσα ἡ παρ' Ἕλλησι παιδεία ἐξήρτηται, πᾶσαν τὴν εὐθύνην ἀναδεχόμεθα,



λέγοντες δυοῖν θάτερον ἢ αὐτοὶ οὐχ ἱκανῶς περὶ τῆς παρ' ἡμῖν καθομιλουμένης γλώσσης ἐσκέψαντο ἢ πᾶσαι αἱ τῶν σοφωτάτων γλωσσοδιφῶν γνῶμαι περὶ φύσεως ἤτοι εἴδους τῆς γλώσσης ἐν γένει πάμπαν ἡμαρτημέναι ἐξελέγχονται. Ἀλλὰ τοῦτό γε ὅλαις δυνάμεσιν ὡς βλασφημίαν πρὸς τὰς Μούσας καὶ αὐτὴν τὴν ἀλήθειαν ἀποβάλλομεν.

Ἓν δὲ κινδυνεύομεν καλοῖς τισι κἀγαθοῖς δόξαι ἡμᾶς αὐτοὺς καλῶς ἑλληνίζειν οἴεσθαι, τοῦ τε γνῶθι σαυτὸν παντάπασι λελησμένους καὶ ἑλληνικῆς χάριτος καὶ εὐφραδείας μηδ' ὁτιοῦν ἐπαΐοντας. Ἀπολογούμενοι δὴ οὖν πρὸς ταύτην τὴν ἐνδεχομένην δόξαν, λέγομεν ὡς οὔτε τινὸς τῶν δοκίμων Ἑλλήνων τὴν λέξιν προαιρούμεθα μιμεῖσθαι καὶ εἴπερ ἄλλως τοῦτό γε ἡμῖν δυνατὸν ὑπῆρχεν, μάταιόν τε ὅλως καὶ ἐπιβλαβὲς αὐτὸ ἡγούμεθα εἶναι, τοὺς Κικερωνιστὰς τῶν πρώην χρόνων πρὸ ὀφθαλμῶν ἔχοντες, τοῦ τε προτιθεμένου σκοποῦ πόῤῥω πάνυ ἀπελαῦνον. γλῶσσαν γὰρ τοιάνδε τινὰ ἡμεῖς γε ἐπιζητοῦμεν, τὸ μὲν γνήσιον εἶδος οἵαν τ' εἶναι κατὰ τὰ κυριώτατα διασώζειν, ἀλλά πως καὶ μᾶλλον τῆς πάλαι λελυμένην καὶ εὐχερέστερόν πως τὸν γραφικὸν ἢ ἀφῃρημένον χαρακτῆρα τῶν νῦν δὴ ἀκμαζουσῶν προσδεχομένην. Οὔτ' αὖ ἡμᾶς γε αὐτοὺς εὐθὺς ἐξ ἀρχῆς οἵους τ' εἶναι τοῦτο ποιῆσαι ὑπολαμβάνομεν, ἀλλ' οὐδὲ διὰ τὴν ἡμετέραν ἀδυναμίαν ὡς ὅλως ἀδύνατον αὐτὸ ἀπελέγξαι τολμῶμεν. Πεπεισμένοι δὲ καὶ μάλα ὡς οὐκ ἔστιν ἄλλως γενέσθαι, εἰς τὸν χαλεπὸν ἀγῶνα ἀποδυόμεθα, ἐλπίδα καλὴν ἔχοντες ὅτι εἴτινες ἄνδρες εὔμουσοι ἐθελήσουσι τῇ διανοίᾳ ἅμα πάντα λαβεῖν, ὅσα περ καὶ ἄλλοτε περὶ τοῦ αὐτοῦ πράγματος εἰρήκαμεν (ἐροῦ-

μεν δὲ καὶ πλείονα ἐν τῷ μέλλοντι), οὗτοι ἀνεκτικώτεροι πάντως ἔσονται, ἴσως δὲ καὶ κατὰ πάντα ἡμᾶς δικαιώσουσιν.

Ἔγραφον ἐν Μονάχῳ τῆς Βαυαρίας ἐν ἔτει 1862.

## ΕΛΕΓΧΟΣ ΠΑΡΟΡΑΜΑΤΩΝ.

8. στίχ. 36. μετὰ τὴν παραπομπὴν πρόσθες τόδε· μέρ. γ'. σ. 410 κ.φ.ξ. — σ. θ'. στίχ. 34. ἀντὶ τοῦ ὅσον· οἱόντ', γρ. ὅσον οἷόν τ'. — σ. ιδ'. στίχ. 22 καὶ σ. ιζ'. στίχ. 10. ἀντὶ τοῦ ἀπηρχαιώμένη, γρ. ἀπηρχαιωμένη. — σ. ιθ'. στίχ. 23. μετὰ τὸ εὑρίσκομεν, γρ. ὥςπερ καὶ ὁ σοφὸς . . . — σ. μθ'. σημειώσεως στίχ. 1. μετὰ τὸ ὑπόστασις, γρ. καί. — σ. ν'. στίχ. 24. μετὰ τὸ εἴπερ, γρ. ταύτην. — σ. νέ. στίχ. 1. ἀντὶ τοῦ χθὺν, γρ. ἰχθύν. — σ. νθ'. στίχ. 21. ἀντὶ τοῦ ὄντα, γρ. ὄντων. — αὐτ. στίχ. 23, ἀντὶ τοῦ 6ιοθαλλῶν γρ. βιοθαλῶν. — σ. ξ6'. στίχ. 22. ἀντὶ τοῦ ἀπηρχαιωμένον, γρ. ἀπηρχαιωμένον. — σ. ϞΊ. στίχ. 6. γρ. γλωσσοδῖφαι. — σ. Ϟ6'. στίχ. 11. ἀντὶ τοῦ ἐνειμένοι γράφε μᾶλλον ἐνημμέναι. — σ. Ϟθ'. στίχ. 13—15. Τουτὶ τὸ χωρίον δεῖται διασαφήσεως, καθ' ὅσον ἐγράψαμεν αὐτὸ πρὶν ἢ ἀναγνῶναι τὰς τῶν πάλαι Περσῶν σφηνοειδεῖς ἐπιγραφὰς τὰς ὑπὸ Σπιγελίου ἑρμηνευθείσας.

σ. ρ6'. Ἐνταῦθα συνέβη δυοῖν στίχων ἐκτοπισμὸς κατὰ τὴν τύπωσιν. Δέον τοίνυν τὸν ἀναγνώστην ἅμα ἀναγνόντα ὅλην ταύτην τὴν ρ6' σελίδα, μεταβῆναι αὐτίκα εἰς τὴν ρδ' καὶ ἐκ ταύτης τοὺς δύο πρώτους στίχους παραλαβόντα ὑποστρέψαι αὖθις εἰς τὴν ργ' σελίδα καὶ οὕτω τὰ λοιπὰ ἐφεξῆς ἀκωλύτως ἀναγνῶναι, πλὴν ἀμφοῖν τῶν στίχων τῶν προαναγνωσθέντων δηλονότι. —

Σ. ρέ. στίχ. 22. γρ. ἕξεις. — σ. ρί. στίχ. 18. γρ. καθημένη. — σ. ριέ. στίχ. 6. γρ. κατισχῦσαν. — σ. ρκθ', ἐν τῷ τελευτ. στίχ. γρ. ἀντὶ τοῦ ἥ, ἤ. — σ. ρμ6'. στιχ. 19. ἀντὶ τοῦ ἐὰν γρ. ἐάν. —

Σ. ρμζ'. στίχ. 28 μεταθετέον τὴν μέσην στιγμὴν εἰς τὸν ἀμέσως ἑπόμενον στίχον μετὰ τὸ περιπολουμένην. — σ. ρνά σημ. στίχ. 2. γρ. ὡς προείπομεν. — σ. ρνδ'. στίχ. 21. στίξον τὸ διαχέομαι μέσῃ στιγμῇ. — σ. ρνή. στίχ. 4 ἀντὶ τοῦ δ', γρ. δι'. — σ. ροέ. στίχ. 12. γρ. οὐδ' ὁπωςτιοῦν. — σ. ροϛ'. σημ. (6) στίχ. 10. γρ. δογμάτων ,. — αὐτ. στίχ. 11. γρ. ψυχῆς· — σ. ρ'ιθ'. στίχ. 10. γρ. ἐνέδοσαν. — σ. σδ'. στίχ. 10. γρ. Καραδοῦβη. — σ. σιά. στίχ. 20. γρ. μνημονευθέντων. — σ. σιγ'. στίχ. 6. γρ. ,φαμεν,. — σ. σιδ', στίχ. 6. γρ. ἰνδοευρωπαίους. — σ. σκϐ'. στίχ. 9. γρ. νοούμενος,. — σ. σκγ'. στίχ. 13. γρ. λαμπαδηφόρους. — σ. σλϐ'. στίχ. 22. γρ. *Φυσικοθεολογικήν*. — σ. σμά. στίχ. 6. ἀπὸ τοῦ Ἀλλ' εἴ τις ἂν . . . . ἄλλου ἐδαφίου ἐναρκτέον. — σ. σνϐ'. σημ. στίχ. 9 γρ. ἀμέλειαν· — σ. σνδ'. σημ. στίχ. 11. ἀνακαλύψαι.